This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

LIBRARY OF THE
Leland Stanford Junior University
NOT TO BE TAKEN OUT OF THE LIBRARY

STANFORD UNIVERSITY LIBRARY

Dionysius, of Halicarnassus

# DIONYSI

## HALICARNASENSIS

# ANTIQUITATUM ROMANARUM

QUAE SUPERSUNT

EDIDIT

**CAROLUS JACOBY**

---

VOLUMEN ALTERUM

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI

MDCCCLXXXVIII

RP

PA3404
D6
1885
V.2

LELAND STANFORD JUNIOR
LIBRARY
UNIVERSITY.

11.25680.
3 1896

LIPSIAE: TYPIS B. G. TEUBNERI

# PRAEFATIO.

Nunc demum tomus alter huius editionis in lucem prodit, quem quominus prius ederem rebus gravissimis magno cum meo dolore impeditus sum. Neque vero multa ad ea, quae in praefatione tomi primi exstant, addenda videntur esse, praeterquam quod Mavius, vir doctissimus et codicum conferendorum peritissimus, diligentissime atque accuratissime codicem Urbinatem (B 105) meo sumptu denuo contulit, cuius diversitates non omnes illas quidem, sed quae notatu viderentur esse digniores in adnotationibus commemoravi. Quas quidem esse uberiores quam in aliis Teubneri editionibus neminem spero moleste laturum esse. — In interpunctione constituenda a Reiskio et Kiesslingio, quorum modus interpungendi rationi multis locis repugnare videretur, discrepare consilium meum fuit, neque hiatum saepius quam antea tollere dubitavi.

Praeter editionem denique Parisiensem, quam cum alii tum ipse recensui, cum ab anno 1885 nihil fere editum sit, quod hoc loco dignum esset compluribus verbis, nomina tantum eorum librorum, qui Antiquitates attingunt, ita afferam, ut indicem continuem:

16) K. Schwartz, ad Dionysii Halicarnassensis Antiquit. Rom. librum primum. Mnemosyne XIII p. 451—456.
17) Dionysii Halicarnassensis Romanarum Antiquitatum quae supersunt Graece et latine ex rec. A. Kiessling et V. Prou. Accedunt indices scriptorum nominumque. Paris, Firmin-Didot. 8 à 2 col. 761 p.
18) K. Jacoby, zu Dionysios von Halikarnass. Fleckeisens Jahrbücher Bd. 133 (1886) p. 28—32.
19) K. Schwartz, ad Dionysium Halicarnassensem. Mnemosyne XIV p. 197—198; p. 445—448.
20) K. Jacoby, zu Dionysios von Halikarnass. Ant. Rom. IV 15. Fleckeisens Jahrbücher Bd. 135 (1887) p. 766—767.

Scribebam Hamburgi Pridie Kal. Sept. a. 1888.

**Carolus Jacoby.**

# ΔΙΟΝΥΣΙΟΥ

## ΑΛΙΚΑΡΝΑΣΕΩΣ

# ΡΩΜΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

## ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

---

Reiskianae editionis

p. 633 *Βασιλεὺς μὲν δὴ Ταρκύνιος οὐ μικρῶν οὐδ' ὀλί-
γων Ῥωμαίοις ἀγαθῶν αἴτιος γενόμενος, ὀκτὼ καὶ
τριάκοντα ἔτη τὴν ἀρχὴν κατασχὼν οὕτω τελευτᾷ υἱω-*
634 *νούς τε δύο καταλιπὼν νηπίους καὶ δύο θυγατέρας
ἀνδράσιν ἤδη συνοικούσας. διάδοχος δὲ τῆς ἡγεμονίας ὁ γαμβρὸς αὐτοῦ γίνεται Τύλλιος ἐνιαυτῷ τετάρτῳ τῆς πεντηκοστῆς ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Ἐπιτελίδης Λάκων ἄρχοντος Ἀθήνησιν Ἀρχεστρατίδου·*

ΔΙΟΝΥϹΙΟΥ ΑΛΙΚΑΡΝΑϹΕΩϹ Γ̄ A ΔΙΟΝΥϹΙΟΥ ΑΛΙΚΑΡΝΑϹΕΩϹ ΡΩΜΑΙΚΗϹ ΑΡΧΑΙΟΛΟΓΙΑϹ Γ̄ B quarto libro titulus neque in A neque in B praepositus est; in utroque codice index vel potius summa rerum earum, quae in eo narrantur, legitur; verba sunt haec: *ἡ τετάρτη βίβλος τῆς ῥωμαικῆς ἀρχαιολογίας ἣν συνέγραψε διονύσιος ἀλεξάνδρου ἀλικαρνασσεὺσ περιείληφε τὰ πραχθέντα ὑπὸ βασιλέωσ σερουΐου τυλλίου τοῦ μετὰ λεύκιον ταρκύνιον πρίσκον ἄρξαντοσ καὶ ὑπὸ λευκίου ταρκυνίου σουπέρβου τοῦ τελευταίου τὴν δυναστείαν κατασχόντοσ. χρόνοσ ὅσοσ περιείληφε τὰσ ἀμφοτέρων τῶν βασιλέων πράξεισ ἔτη ἑξήκοντα ἐννέα: ἐν ταύτῃ ταριβυλλία* B (*τὰ ταρβύλλια* A) *κεκόμισται εἰς ῥώμην ἐπὶ ταρκυνίου σουπέρβου.*

1 *μὲν δὴ* B *δὲ* A 3 *υἱωνούς* c. Casaubonus *υἱούς* O

περὶ οὗ καιρὸς ἤδη λέγειν, ἃ κατ' ἀρχὰς παρελίπομεν, ἐξ ὧν τε γονέων ἔφυ καὶ τίνας ἀπεδείξατο πράξεις ἰδιώτης ὢν ἔτι καὶ πρὶν ἐπὶ τὴν δυναστείαν παρελθεῖν. 2 τὰ μὲν οὖν περὶ τοῦ γένους αὐτοῦ λεγόμενα, οἷς μάλιστ' ἔγωγε συγκατατίθεμαι, τοιαῦτ' ἐστίν. ἐν Κορνικόλῳ πόλει τοῦ Λατίνων ἔθνους ἀνήρ τις ἐκ τοῦ βασιλείου γένους Τύλλιος ὄνομα γυναικὶ συνῆν Ὀκρισίᾳ καλλίστῃ τε καὶ σωφρονεστάτῃ τῶν ἐν Κορνικόλῳ γυναικῶν. αὐτὸς μὲν οὖν ὁ Τύλλιος, ὅθ' ἡ πόλις ὑπὸ Ῥωμαίων κατελαμβάνετο, μαχόμενος ἀποθνήσκει, τὴν 635 δ' Ὀκρισίαν ἐγκύμονα οὖσαν ἐξαίρετον ἐκ τῶν λαφύρων λαμβάνει Ταρκύνιος ὁ βασιλεὺς καὶ δίδωσι δωρεὰν τῇ ἑαυτοῦ γυναικί. μαθοῦσα δ' ἐκείνη πάντα τὰ περὶ τὴν ἄνθρωπον οὐ πολλοῖς χρόνοις ὕστερον ἐλευθέραν αὐτὴν ἀφίησι καὶ πασῶν μάλιστα γυναικῶν 3 ἀσπαζομένη τε καὶ τιμῶσα διετέλεσεν. ἐκ ταύτης γίνεται τῆς Ὀκρισίας ἔτι δουλευούσης παιδίον, ᾧ τίθεται τραφέντι ἡ μήτηρ τὸ μὲν ἴδιόν τε καὶ συγγενικὸν ὄνομα Τύλλιον ἐπὶ τοῦ πατρός, τὸ δὲ κοινὸν καὶ προσηγορικὸν Σερούιον ἐπὶ τῆς ἰδίας τύχης, ὅτι δουλεύουσα ἔτεκεν αὐτόν. εἴη δ' ἂν ὁ Σερούιος εἰς τὴν Ἑλληνικὴν διάλεκτον μεταβιβαζόμενος Δούλιος.

II. Φέρεται δέ τις ἐν ταῖς ἐπιχωρίοις ἀναγραφαῖς ⟨καὶ⟩ ἕτερος ὑπὲρ τῆς γενέσεως αὐτοῦ λόγος ἐπὶ τὸ μυθῶδες ἐξαίρων τὰ περὶ αὐτόν, ὃν ἐν πολλαῖς Ῥω-

2 ἀπεδείξατο ABa ἐπεδείξατο Bb 4 μάλιστα om. B 11 λαφύρων ἐξαίρετον λαμβάνει A 15 ἀφίησι] post ι litteram erasum videtur esse in B ν ἐφελκυστικόν, quod cum saepissime sit factum posthac non notabo 16 τε om. B 24 ante ἕτερος una litt. erasa est B | καὶ add. Kiessling 25 ὃν] ὃ c. *Bücheler*

*μαϊκαῖς ἱστορίαις εὕρομεν, εἰ θεοῖς τε καὶ δαίμοσι
λέγεσθαι φίλος τοιοῦτος· αἵτινες ἀπὸ τῆς ἑστίας τῶν
636 βασιλείων, ἐφ' ἧς ἄλλας τε Ῥωμαῖοι συντελοῦσιν ἱε-
ρουργίας καὶ τὰς ἀπὸ τῶν δείπνων ἀπαρχὰς ἁγίζουσιν,
ὑπὲρ τοῦ πυρὸς ἀνασχεῖν λέγουσιν αἰδοῖον ἀνδρός.
τοῦτο δὲ θεάσασθαι τὴν Ὀκρισίαν πρώτην φέρουσαν
τοὺς εἰωθότας πελάνους ἐπὶ τὸ πῦρ καὶ αὐτίκα πρὸς
τοὺς βασιλεῖς ἐλθοῦσαν εἰπεῖν. τὸν μὲν οὖν Ταρκύνιον* 2
*ἀκούσαντά τε καὶ μετὰ ταῦτ' ἰδόντα τὸ τέρας ἐν θαύ-
ματι γενέσθαι, τὴν δὲ Τανακυλίδα τά τ' ἄλλα σοφὴν
οὖσαν καὶ δὴ καὶ τὰ μαντικὰ οὐδενὸς χεῖρον Τυρρη-
νῶν ἐπισταμένην εἰπεῖν πρὸς αὐτόν, ὅτι γένος ἀπὸ
τῆς ἑστίας τῆς βασιλείου πέπρωται γενέσθαι κρεῖττον
ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν ἐκ τῆς μιχθείσης τῷ
φάσματι γυναικός. τὰ δ' αὐτὰ καὶ τῶν ἄλλων τερα-
τοσκόπων ἀποφηναμένων δόξαι τῷ βασιλεῖ τὴν Ὀκρι-
σίαν, ᾗ πρώτῃ ἐφάνη τὸ τέρας, εἰς ὁμιλίαν αὐτῷ συν-
ελθεῖν· καὶ μετὰ τοῦτο τὴν γυναῖκα κοσμησαμένην, οἷς
ἔθος ἐστὶ κοσμεῖσθαι τὰς γαμουμένας, κατακλεισθῆναι
637 μόνην εἰς τὸν οἶκον, ἐν ᾧ τὸ τέρας ὤφθη. μιχθέντος* 3
*δή τινος αὐτῇ θεῶν ἢ δαιμόνων καὶ μετὰ τὴν μίξιν
ἀφανισθέντος εἴθ' Ἡφαίστου καθάπερ οἴονταί τινες
εἴτε τοῦ κατ' οἰκίαν ἥρωος, ἐγκύμονα γενέσθαι καὶ
τεκεῖν τὸν Τύλλιον ἐν τοῖς καθήκουσι χρόνοις. τοῦτο
τὸ μύθευμα οὐ πάνυ τι πιστὸν εἶναι δοκοῦν ἑτέρα*

2 *φίλον* c. Stephanus | *τοιοῦτοσί τις* A spatium duarum litt. et ante et post *τι* Ba *τοιοῦτος· αἵτινες* Bb | *λέγεσθαι φίλος ἐστὶν τοιοῦτος· ἀπὸ* eqs c. Bücheler *τοιοῦτός τις ἄξιος* c. Kayser Ann. phil. 1866 p. 44  3 *βασιλείων* Sylburg *βασιλέων* O  6 *πρῶτον* AB  16 *τὴν Ὀκρισίαν* add. B  17 *πρώτῃ* B *πρῶτον* R  22 *τινες* add. B  25 *τι* et *θεία* add. B

*τις ἐπιφάνεια θεία γενομένη περὶ τὸν ἄνδρα θαυμαστὴ*
4 *καὶ παράδοξος ἧττον ἀπιστεῖσθαι ποιεῖ. καθημένου*
*γάρ ποτ' αὐτοῦ μεσούσης μάλισθ' ἡμέρας ἐν τῇ πα-*
*στάδι τῶν βασιλείων καὶ κατενεχθέντος ἐφ' ὕπνον,*
*πῦρ ἀπέλαμψεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ἥ τε μήτηρ*
*αὐτοῦ καὶ ἡ τοῦ βασιλέως γυνὴ πορευόμεναι διὰ τῆς*
*παστάδος ἐθεάσαντο καὶ πάντες ὅσοι σὺν ταῖς γυναιξὶν*
*ἐτύγχανον τότε παρόντες, καὶ μέχρι τούτου διέμενεν ἡ*
*φλὸξ ὅλην αὐτοῦ καταλάμπουσα τὴν κεφαλήν, ἕως ἡ*
*μήτηρ προσδραμοῦσα διανέστησεν αὐτὸν καὶ ἡ φλὸξ*
*ἅμα τῷ ὕπνῳ διασκεδασθεῖσα ἠφανίσθη. τὰ μὲν δὴ*
*περὶ τοῦ γένους αὐτοῦ λεγόμενα τοιαῦτ' ἐστίν.*

III. *Ἃ δὲ πρὸ τοῦ βασιλεῦσαι διεπράξατο λόγου* 638
*ἄξια, ἐξ ὧν Ταρκύνιός τ' αὐτὸν ἠγάσθη καὶ ὁ Ῥω-*
*μαίων δῆμος τῆς μετὰ βασιλέα τιμῆς ἠξίου, τοιάδε.*
*ἀντίπαις μὲν ὢν ἔτι τῇ πρώτῃ στρατείᾳ, ἣν ἐπὶ Τυρ-*
*ρηνοὺς Ταρκύνιος ἐστράτευσεν, ἐν τοῖς ἱππεῦσι τε-*
*ταγμένος οὕτως ἔδοξεν ἀγωνίσασθαι καλῶς, ὥστε περι-*
*βόητος εὐθὺ γενέσθαι καὶ τἀριστεῖα πρῶτος ἁπάντων*
*λαβεῖν· ἔπειθ' ἑτέρας γενομένης ἐπὶ τὸ αὐτὸ ἔθνος*
*στρατείας καὶ μάχης καρτερᾶς περὶ πόλιν Ἤρητον*
*ἀνδρειότατος ἁπάντων φανεὶς στεφάνοις αὖθις ἀρι-*
2 *στείοις ὑπὸ τοῦ βασιλέως ἐκοσμεῖτο. ἔτη δὲ γεγονὼς*
*εἴκοσι μάλιστα τῆς συμμαχικῆς στρατηγὸς ἀπεδείχθη*

4 *βασιλείων* Sylburg *βασιλέων* O | *ἐφ' ὕπνον* Bb *ἐπ' ὕ.* Ba *ἐφ' ὕπνῳ* R 5 *ἀνέλαμψεν* c. Reiske *ἐπὶ*] *ἀπὸ* c. Gelenius *ἐκ* c. Bücheler 6 *τῆς* add. B 9 *καταλάμπουσαν* A *καταλαβοῦσα* c. Kiessling 10 *διανέστησεν* B *διανίστησιν* R 15 *τιμῆς αὐτὸν ἠξίου* A 16 *ἀντίπαις* B *παῖς* R | *στρατία* Ba *στρατεία* Bb *στρατιᾶ* R 19 **τὰ ἀριστεῖα* O 21 *στρατείας* B *στρατιᾶς* R

δυνάμεως, ἣν Λατῖνοι ἔπεμψαν, καὶ συγκατεκτήσατο
βασιλεῖ Ταρκυνίῳ τὴν τῶν Τυρρηνῶν ἀρχήν· ἔν τε
τῷ πρὸς Σαβίνους πολέμῳ τῷ πρώτῳ συστάντι τῶν
ἱππέων ἀποδειχθεὶς ἡγεμὼν ἐτρέψατο τοὺς τῶν πολε-
μίων ἱππεῖς καὶ μέχρι πόλεως Ἀντέμνης ἐλάσας τἀρι-
639 στεῖα καὶ ἐκ ταύτης τῆς μάχης ἔλαβεν· ἑτέρας τε πολλὰς
πρὸς τὸ αὐτὸ ἔθνος ἀγωνισάμενος μάχας τοτὲ μὲν
ἱππέων ἡγούμενος, τοτὲ δὲ πεζῶν ἐν ἁπάσαις ἐφάνη
ψυχὴν ἄριστος καὶ πρῶτος ἐστεφανοῦτο τῶν ἄλλων.
καὶ ἐπειδὴ παρέστη Ῥωμαίοις εἰς ὑπόταξίν τε καὶ παρά- 3
δοσιν τῶν πόλεων τὸ ἔθνος, αἰτιώτατος εἶναι δόξας
Ταρκυνίῳ καὶ ταύτης τῆς δυναστείας τοῖς ἐπινικίοις
στεφάνοις ἀνεδεῖτο ὑπ' αὐτοῦ. ἦν δὲ καὶ φρονῆσαι
τὰ πολιτικὰ συνετώτατος καὶ λόγῳ τὰ βουλευθέντα
ἐξενεγκεῖν οὐδενὸς χείρων ἁπάσαις θ' ἁρμόσαι ταῖς
τύχαις καὶ παντὶ συνεξομοιωθῆναι προσώπῳ δυνατώ-
τατος. καὶ διὰ ταῦτα Ῥωμαῖοι μὲν αὐτὸν ἐκ τοῦ δή- 4
μου μεταγαγεῖν ἠξίωσαν εἰς τοὺς πατρικίους ψῆφον
ἐπενέγκαντες, ὥσπερ Ταρκύνιόν τε πρότερον καὶ ἔτι
πρὸ τούτου Νόμαν Πομπίλιον· ὁ δὲ βασιλεὺς κηδε-
στὴν ἐποιήσατο τὴν ἑτέραν τῶν θυγατέρων ἐγγυήσας,
καὶ πάνθ' ὅσα διὰ νόσους ἢ διὰ γῆρας ἀδύνατος ἦν
ἐπιτελεῖν, δι' ἑαυτοῦ τούτῳ πράττειν ἐπέσκηπτεν, οὐ
640 μόνον τὸν ἴδιον οἶκον ἐπιτρέπων, ἀλλὰ καὶ τὰ κοινὰ
τῆς πόλεως διοικεῖν ἀξιῶν. ἐν οἷς ἅπασιν ἐξητάσθη
πιστὸς καὶ δίκαιος, καὶ οὐδὲν ᾤοντο διαφέρειν οἱ δη-

5 *τὰ ἀριστεῖα O 8 ποτὲ — ποτὲ B 10 ὑπ⟨οτ⟩αξιν B 16 συνεξομοιωθῆναι B συνομοιωθῆναι R τρόπῳ ABa προσώπῳ Bb 18 ψῆφον B ψήφους R 19 πρ⟨ό⟩τερον B 20 Πομπ⟨ίλ⟩ιον B 23 τούτῳ B τοῦτο R

μόται Ταρκύνιον ἐπιμελεῖσθαι τῶν κοινῶν ἢ Τύλλιον· οὕτως ἐξεθεραπεύθησαν ὑπ' αὐτοῦ ταῖς εὐεργεσίαις.

IIII. Φύσεώς τε δὴ μετειληφὼς ἀποχρώντως κατεσκευασμένης πρὸς ἡγεμονίαν οὗτος ὁ ἀνὴρ καὶ τὰς παρὰ τῆς τύχης πολλὰς καὶ μεγάλας ἐσχηκὼς ἀφορμάς, ἐπειδὴ τελευτῆσαι συνέβη Ταρκύνιον ἐπιβουλευθέντα ὑπὸ τῶν Ἄγκου Μαρκίου παίδων ἀνασώσασθαι τὴν τοῦ πατρὸς ἀρχὴν βουλομένων, ὡς ἐν τῷ πρὸ τούτου δεδήλωκα λόγῳ, δόξας ὑπὸ τῶν πραγμάτων αὐτῶν ἐπὶ τὴν βασιλείαν καλεῖσθαι, δραστήριος ἀνὴρ
2 οὐκ ἀφῆκεν ἐκ τῶν χειρῶν τὸν καιρόν. ἡ δὲ συγκατασκευάσασα τὴν ἡγεμονίαν αὐτῷ καὶ πάντων αἰτία γενομένη τῶν ἀγαθῶν ἡ τοῦ τετελευτηκότος βασιλέως ἦν γυνὴ γαμβρῷ τε συλλαμβάνουσα ἰδίῳ καὶ ἐκ πολλῶν συνεγνωκυῖα θεσφάτων, ὅτι βασιλεῦσαι Ῥωμαίων ἐκεῖνον τὸν ἄνδρα εἵμαρτο. ἔτυχε δ' αὐτῇ νεανίας μὲν 641
υἱὸς οὐ πρὸ πολλοῦ τετελευτηκὼς χρόνου, παιδία δ' ἐξ
3 ἐκείνου δύο νήπια καταλειπόμενα. ἐνθυμουμένη δὲ τὴν περὶ τὸν οἶκον ἐρημίαν καὶ περιδεὴς οὖσα, μὴ κατασχόντες οἱ Μάρκιοι τὴν ἀρχὴν ἄρωνται τὰ παιδία καὶ πᾶσαν τὴν βασιλικὴν συγγένειαν ἀφανίσωσι, πρῶτον μὲν ἐπέταξε τὰς τῶν βασιλείων θύρας κλεῖσαι καὶ φύλακας ἐπ' αὐταῖς ἐπέστησε διακελευσαμένη μηδένα παριέναι μήτ' ἔσω μήτ' ἔξω· ἔπειτ' ἐκ τοῦ δωματίου πάντας ἐξελθεῖν κελεύσασα τοὺς ἄλλους, ἐν ᾧ τὸν

3 ἀποχρώντως κατεσκευασμένης πρὸς ἡγεμονίαν O praeter B 17 οὐ add. AB 18 καταλ⟨ι⟩πόμενα B | δὲ O δὴ Kiessling 20 αἴρωνται O ἄρωνται Sylburg | ἄρδην c. Pflugk 21 βασιλικὴν ABb βασιλεικὴν Ba | συγγέν⟨ε⟩ιαν B 22 ἔκλεισε sine ἐπέταξε et κλεῖσαι O praeter B 24 παριέναι ABb παρειέναι Ba | μήτε bis O

Ταρκύνιον ἡμιθνῆτα ἔθεσαν, τὴν δ' Ὀκρισίαν καὶ
τὸν Τύλλιον καὶ τὴν θυγατέρα τὴν συνοικοῦσαν τῷ
Τυλλίῳ κατασχοῦσα καὶ τὰ παιδία ὑπὸ τῶν τροφῶν
ἐνεχθῆναι κελεύσασα λέγει πρὸς αὐτούς· Ταρκύνιος μὲν 4
ἡμῖν ὁ βασιλεύς, ὦ Τύλλιε, παρ' ᾧ τροφῆς καὶ παι-
δείας ἔτυχες, ἁπάντων μάλιστα σὲ τιμήσας φίλων καὶ
συγγενῶν ἀνόσια παθὼν ἐκπεπλήρωκε τὴν ἑαυτοῦ μοῖ-
642 ραν οὔτε περὶ τῶν ἰδίων πραγμάτων διαθέμενος οὐδὲν
οὔτε περὶ τῶν κοινῶν καὶ πολιτικῶν ἐπισκήψας, ἀλλ'
οὐδ' ἀσπάσασθαί τινα ἡμῶν καὶ προσαγορεῦσαι τοὺς
ἐσχάτους ἀσπασμοὺς δυνηθείς. ἔρημα δὲ καὶ ὀρφανὰ
τὰ δύστηνα ταυτὶ παιδία καταλείπεται κίνδυνον οὐ τὸν
ἐλάχιστον ὑπὲρ τῆς ψυχῆς τρέχοντα· εἰ γὰρ ἐπὶ Μαρ-
κίοις τοῖς ἀνελοῦσι τὸν πάππον αὐτῶν τὰ τῆς πόλεως
ἔσται πράγματα, τὸν οἴκτιστον ἀπολοῦνται τρόπον ὑπ'
αὐτῶν· ἔσται γ' οὐδ' ὑμῖν ἀσφαλὴς ὁ βίος, οἷς ἐνεγ-
γύησε Ταρκύνιος τὰς ἑαυτοῦ θυγατέρας ἐκείνους ὑπερ-
ιδών, ἐὰν οἱ φονεύσαντες αὐτὸν τὴν ἀρχὴν κατάσχω-
σιν, οὐδὲ τοῖς ἄλλοις αὐτοῦ φίλοις καὶ συγγενέσιν
οὐδ' ἡμῖν ταῖς ἀθλίαις γυναιξίν· ἀλλὰ πάντας ἡμᾶς
φανερῶς τε καὶ κρύφα πειράσονται διολέσαι. ταῦτ' 5
οὖν ἐνθυμουμένους ἡμᾶς δεῖ μὴ περιορᾶν τοὺς ἐκεῖνον
ἀποκτείναντας ἄνδρας ἀνοσίους καὶ πᾶσιν ἡμῖν ἐχθροὺς
643 τοσαύτην ἀρχὴν κτησαμένους, ἀλλ' ἐναντιοῦσθαι καὶ
κωλύειν νῦν μὲν ἀπάτῃ καὶ δόλῳ χρησαμένους· τού-

1 ὀκρ⟨ι⟩σίαν B 5 παιδίας Ba 7 αὐτοῦ B 10 καὶ B οὐδὲ R οὐδὲ ἀσπάσασθαί τινα ἡμῶν τὰ ἔσχατα δυνηθεὶς c. Schnelle exercit. crit. p. 12 12 λείπεται AB | οὐ om. A 16 *γ'] τε O δὲ Pflugk om. Prou | ἐνεγύησε B ἠγγύησε c. L. Dindorf Ann. phil. 1869 p. 831 21 δι⟨ο⟩λέσαι B 23 ἀπο-κτείνοντας A 24 κτησομένους Stephanus

των γὰρ ἐν τῷ παρόντι δεῖ· ὅταν δὲ τὰ πρῶτα ἡμῖν
χωρήσῃ κατὰ νοῦν, τότε καὶ ἐκ τοῦ φανεροῦ πάσῃ
δυνάμει καὶ μεθ᾽ ὅπλων αὐτοῖς ὁμόσε χωροῦντας, ἐὰν
ἄρα καὶ τούτων δέῃ. ἀλλ᾽ οὐ δεήσει βουληθέντων
6 ἡμῶν πράττειν νῦν ἃ δεῖ. τίνα δὲ ταῦτ᾽ ἐστί; πρῶτον
μὲν κρυπτώμεθα τὸν τοῦ βασιλέως θάνατον καὶ πρὸς
ἅπαντας ἐξενεχθῆναι παρασκευάσωμεν, ὅτι πληγὴν οὐ-
δεμίαν ἔχει καίριον, οἵ τ᾽ ἰατροὶ λεγέτωσαν ἐν ὀλίγαις
ἡμέραις αὐτὸν ἀποδείξειν ὑγιῆ· ἔπειτ᾽ ἐγὼ προελθοῦσα
εἰς τοὐμφανὲς ἐρῶ πρὸς τὸν ὄχλον, ὡς δὴ Ταρκυνίου
μοι ταῦτ᾽ εἰπεῖν ἐπισκήψαντος, ὅτι πάντων ἀποδείκνυ-
σιν ἐπιμελητὴν καὶ φύλακα τῶν τ᾽ ἰδίων καὶ τῶν κοι-
νῶν, ἕως αὐτὸς ἐκ τῶν τραυμάτων ὑγιὴς γένηται, τὸν
ἕτερον τῶν ἑαυτοῦ γαμβρῶν, τὸ σὸν εἰποῦσα, ὦ Τύλ-
λιε, ὄνομα ἔσται δ᾽ οὐκ ἄκουσι Ῥωμαίοις, ἀλλὰ βου-
λομένοις ὑπὸ σοῦ τὴν πόλιν ἐπιτροπεύεσθαι, ὑφ᾽ οὗ
7 πολλάκις ἤδη καὶ πρότερον ἐπετροπεύθη. ὅταν δὲ τὸν
παρόντα κίνδυνον διασκεδάσωμεν, οὐδὲν γὰρ ἔτι τῶν 644
ἐχθρῶν ἰσχυρόν ἐστι ζῆν τοῦ βασιλέως ἀγγελλομένου,
παραλαβὼν σὺ τάς τε ῥάβδους καὶ τὴν τῶν ὅπλων
ἐξουσίαν κάλει τοὺς βουλεύσαντας ἀποκτεῖναι Ταρκύ-
νιον ἐπὶ τὸν δῆμον ἀπὸ τῶν Μαρκίου παίδων ἀρξά-
μενος καὶ πρόθες αὐτοῖς δίκας· τιμωρησάμενος δὲ
τούτους ἅπαντας, ἐὰν μὲν ὑπομείνωσι τὰς κρίσεις, θα-
νάτοις, ἐὰν δ᾽ ἐρήμους ἀφῶσιν, ὃ μᾶλλον αὐτοὺς οἶμαι
ποιήσειν, ἀειφυγίᾳ καὶ δημεύσει τῶν ὑπαρχόντων,

4 τούτων] τούτου c. Cobet Obs. p. 74 | ἀλλ᾽ οὐ δεήσει add. BC καὶ τούτων δεήσει βουληθέντων A 11 εἰπεῖν add. B 14 εἰποῦσα ὄνομα ὦ Τύλλιε O praeter B 19 ἀγγελλομένου ABb ἀγγελομένου R 23 πρόθες B πρόςθες R 25 ἀλῶσιν c. Kiessling 26 ἀειφυγίαι B

καθίστασ' ἤδη τὰ περὶ τὴν ἀρχὴν ὁμιλίαις τε φιλανθρώποις τὸ πλῆθος ἀναλαμβάνων καὶ τοῦ μηδὲν ἀδίκημα γενέσθαι πολλὴν ἔχων φροντίδα καὶ τοὺς ἀπόρους τῶν πολιτῶν εὐεργεσίαις τισὶ καὶ δωρεαῖς ὑπαγόμενος· ἔπειθ' ὅταν ἡμῖν καιρὸς εἶναι δοκῇ, τότε λέγωμεν ἀποτεθνηκέναι Ταρκύνιον καὶ ταφὰς αὐτοῦ ποιῶμεν ἀπὸ 8 τοῦ φανεροῦ. δίκαιος δ' εἶ, Τύλλιε, τραφείς θ' ὑφ' 645 ἡμῶν καὶ παιδευθεὶς καὶ πάντων μετεσχηκὼς ἀγαθῶν, ὅσων παρὰ μητρός τε καὶ πατρὸς υἱοὶ μεταλαμβάνουσι, καὶ θυγατρὶ συνοικῶν ἡμετέρᾳ, ἐὰν δὴ καὶ βασιλεὺς ἔτι γένῃ Ῥωμαίων ἐμοῦ καὶ εἰς τοῦτό σοι συναγωνισαμένης, πατρὸς εὔνοιαν τοῖς παιδίοις τοῖςδε παρασχέσθαι· ὅταν δ' εἰς ἄνδρας ἔλθωσι καὶ τὰ κοινὰ πράττειν ἱκανοὶ γένωνται, τὸν πρεσβύτερον αὐτῶν ἀποδεῖξαι Ῥωμαίων ἡγεμόνα.

V. Ταῦτ' εἰποῦσα καὶ τῶν παιδίων ἑκάτερον εἰς τὰς ἀγκάλας ἐμβαλοῦσα τοῦ τε γαμβροῦ καὶ τῆς θυγατρὸς καὶ πολὺν ἐξ ἀμφοτέρων κινήσασα οἶκτον, ἐπειδὴ καιρὸς ἦν, ἐξῆλθεν ἐκ τοῦ δωματίου καὶ παρήγγειλε τοῖς ἔνδον εὐτρεπῆ τὰ πρὸς τὴν θεραπείαν ἐπιτήδεια ποιεῖν καὶ τοὺς ἰατροὺς συγκαλεῖν. διαλιποῦσα δὲ τὴν μεταξὺ νύκτα τῇ κατόπιν ἡμέρᾳ πολλοῦ πρὸς τὰ βασίλεια συνδραμόντος ὄχλου προῆλθεν εἰς τοὐμφανὲς ταῖς θυρίσιν ἐπιστᾶσα ταῖς φερούσαις εἰς τὸν πρὸ τῶν θυρῶν στενωπόν, καὶ πρῶτον μὲν ἐδή-

1 *καθιστὰσ Ba καθιστᾶσ Bb καθίστασο R 4 ὑπαγόμενος B ἐπαγόμενος R 5 δοκ⟨ῇ⟩ B | λέγομεν A 6 ποιοῦμεν A | ἀπὸ] ἐκ c. Cobet Obs. p. 75 10 δὴ om. B ἐὰν δὲ A corr. Stephanus 19 ἐκ add. B 22 κατόπ⟨ι⟩ν B 24 βλεπούσαις c. Cobet Obs. p. 75 25 τὸν] τ⟨ὸ⟩ν B | ἐδήλωσ⟨ε⟩ Bb ἐδήλωσα Ba

λωσε τοῖς παροῦσι τοὺς βουλεύσαντας ἐπὶ τῷ βασιλεῖ
τὸν φόνον, καὶ τοὺς ἐπὶ τοὖργον ἀποσταλέντας ὑπ'
2 αὐτῶν δεδεμένους παρήγαγεν· ἔπειθ' ὡς εἶδε πολ- 64
λοὺς ὀλοφυρομένους τε τὸ πάθος καὶ τοῖς δεδρακόσιν
ἀπεχθομένους, τελευτῶσα εἶπεν οὐδὲν αὐτοῖς ἐκ τῶν
ἀνοσίων ἐπιβουλευμάτων γεγονέναι οὐ δυνηθεῖσιν ἀπο-
κτεῖναι Ταρκύνιον. ἀγαπητῶς δὲ τὸν λόγον ἁπάντων
δεξαμένων τότε τὸν Τύλλιον αὐτοῖς συνίστησιν ὡς
ὑπὸ τοῦ βασιλέως ἐπίτροπον ἁπάντων τῶν τ' ἰδίων
καὶ τῶν κοινῶν ἀποδεικνύμενον, ἕως αὐτὸς ῥαΐσῃ.
3 ὁ μὲν οὖν δῆμος ἀπήει περιχαρὴς γενόμενος, εἰ μηδὲν
πέπονθεν ὁ βασιλεὺς δεινόν, καὶ μέχρι πολλοῦ τὴν
δόξαν ἔχων ταύτην διετέλει. ὁ δὲ Τύλλιος ἰσχυρὰν
χεῖρα περὶ αὐτὸν ἔχων καὶ τοὺς ῥαβδούχους ἐπαγό-
μενος τοὺς βασιλικοὺς προῆλθεν εἰς τὴν ἀγορὰν καὶ
τοὺς Μαρκίους ἐκήρυττεν ἥκειν ὑφέξοντας δίκην· ὡς
δ' οὐχ ὑπήκουον, ἐπικηρύξας αὐτοῖς ἀϊδίους φυγὰς καὶ
τὰς οὐσίας ἀναλαβὼν εἰς τὸ δημόσιον ἀσφαλῶς ἤδη
τὴν Ταρκυνίου κατεῖχεν ἀρχήν.

VI. Βούλομαι δ' ἐπιστήσας τὸν ἑξῆς λόγον ἀπο-
δοῦναι τὰς αἰτίας, δι' ἃς οὔτε Φαβίῳ συγκατεθέμην 64
οὔτε τοῖς ἄλλοις ἱστορικοῖς, ὅσοι γράφουσιν υἱοὺς
εἶναι τοὺς καταλειφθέντας παῖδας ὑπὸ Ταρκυνίου, ἵνα
μή τινες τῶν ἐκείναις ἐντυχόντων ταῖς ἱστορίαις σχε-
διάζειν με ὑπολάβωσιν οὐχ υἱούς, ἀλλ' υἱωνοὺς αὐτοῦ

3 ἴδε Ba εἶδε ABb | τοὺς πολλοὺς c. Kiessling 5 ἀπ-εχθομένους B ἀπεχθανομένους R | ὡς ante οὐδὲν add. Kiessling 6 ἀνοσίων B ἐναντίων R | βουλευμάτων B | γέγονεν AB | οὐδὲν πλέον c. Reiske 11 ἀπείῃ Ba ἀπήει ABb 13 ταύτην τὴν δόξαν ἔχων B 15 βασιλ⟨ι⟩κοὺς B 22 τοῖς om. B 25 με add. AB

γράφοντα τοὺς παῖδας. παντάπασι γὰρ ἀπερισκέπτως καὶ ῥαθύμως οἱ συγγραφεῖς ⟨περὶ⟩ αὐτῶν ταύτην ἐξενηνόχασι τὴν ἱστορίαν οὐδὲν ἐξητακότες τῶν ἀναιρούντων αὐτὴν ἀδυνάτων τε καὶ ἀτόπων· ὧν ἕκαστον ἐγὼ πειράσομαι ποιῆσαι φανερὸν δι' ὀλίγων. Ταρκύνιος 2
ἐκ Τυρρηνίας μετανίσταται τὸν οἶκον ὅλον ἀνασκευασάμενος ἐν τῇ κρατίστῃ τοῦ φρονεῖν ὑπάρχων ἡλικίᾳ. πολιτεύεσθαι γὰρ ἤδη καὶ ἄρχειν καὶ τὰ κοινὰ πράττειν ἀξιῶν παραδίδοται, καὶ τὴν ἄπαρσιν ἐκεῖθεν πεποιημένος διὰ τὸ μηδεμιᾶς ἐν τῇ πόλει τιμῆς μεταλαμβάνειν. ἕτερος μὲν οὖν ἄν τις αὐτὸν ὑπέθετο καὶ 3
τριακοστὸν ἔτος ἔχοντα τοὐλάχιστον, ὅτ' ἀπῆρεν ἐκ
648 Τυρρηνίας· ἀπὸ ταύτης γὰρ οἱ νόμοι τῆς ἡλικίας καλοῦσιν ὡς ἐπὶ τὸ πολὺ τοὺς ἄρχειν τε καὶ πράττειν βουλομένους τὰ κοινά· ἐγὼ δ' ἔτι νεώτερον αὐτὸν ὑποτίθεμαι πέντε ὅλοις ἔτεσι, καὶ ποιῶ κατὰ τὸ πέμπτον καὶ εἰκοστὸν ἔτος ἀπανιστάμενον. καὶ μὴν ὅτι γυναῖκα Τυρρηνίδα ἐπηγάγετο, ἣν ζῶντος ἔτι τοῦ πατρὸς ἐγήμεν, ἅπαντες ὁμολογοῦσιν οἱ τὰς Ῥωμαϊκὰς συγγράψαντες ἱστορίας. παραγίνεται δ' εἰς Ῥώμην Ἄγκου 4
Μαρκίου βασιλεύοντος, ὡς μὲν Γέλλιος ἱστορεῖ κατὰ τὸν πρῶτον ἐνιαυτὸν τῆς βασιλείας, ὡς δὲ Λικίννιος γράφει κατὰ τὸν ὄγδοον. ἔστω δὴ κατὰ τοῦτον ἐληλυθὼς τὸν ἐνιαυτόν, καθ' ὃν γράφει Λικίννιος, καὶ μὴ πρότερον· ἐν ὑστέρῳ μὲν γὰρ οὐκ ἂν εἴη χρόνῳ παραγεγονώς, εἴγε δὴ κατὰ τὸν ἔνατον ἐνιαυτὸν τῆς

2 περὶ om. AB   6 δ' ἐκ B   δὴ ἐκ c. Kiessling   10 τῆς τιμῆς A   11 ὑποθοῖτο c. Bücheler   12 ἐκ] ἀπὸ A   13 ἀπὸ] πρὸ Prou   14 κωλύουσιν Prou | ἐπὶ πολὺ B   20 δὲ B   21 βασιλεύσαντος A

Ἄγκου δυναστείας ἱππέων ἡγούμενος ἐπὶ τὸν πρὸς
Λατίνους πόλεμον ὑπὸ τοῦ βασιλέως πέμπεται, ὡς ἀμ-
φότεροι λέγουσιν οἱ συγγραφεῖς· εἰ δὴ παρεγένετο μὲν
εἰς Ῥώμην οὐ πλείω τῶν πέντε καὶ εἴκοσι γεγονὼς 649
ἐτῶν, Ἄγκῳ δὲ βασιλεῖ κατὰ τὸν ὄγδοον τῆς ἀρχῆς
ἐνιαυτὸν φίλος γενόμενος ἑπτακαίδεκα διέτριψεν ἔτη
παρ' αὐτῷ τὰ λοιπά· τέτταρα γὰρ ἐπὶ τοῖς εἴκοσι βε-
βασίλευκεν Ἄγκος· ἔτη δ' ὀκτὼ καὶ τριάκοντα τὴν
βασιλείαν κατέσχεν αὐτὸς ὡς ἅπαντες ὁμολογοῦσιν,
ὀγδοηκονταέτης ἂν ἦν, ὅτ' ἐτελεύτα. ἐκ γὰρ τοῦ συλ-
λογισμοῦ τῶν ἐτῶν τοῦτο συνάγεται τὸ πλῆθος. ἡ γυνὴ
δ' εἰ πέντε ἔτεσιν ἦν αὐτοῦ νεωτέρα καθάπερ εἰκός,
ἑβδομηκοστὸν ἂν δήπου καὶ πέμπτον εἶχεν ἔτος, ὅτ'
ἀπέθνησκε Ταρκύνιος. εἰ δὴ τὸν νεώτερον τῶν υἱῶν
ἔσχατον ἐκύησεν ἔτος ἔχουσα πεντηκοστόν· προσωτέρω
γὰρ οὐκέτι κυΐσκεται τούτου τοῦ χρόνου γυνή, ἀλλ'
ἔστιν οὗτος αὐτὸς τῶν ὠδίνων ⟨ὁ⟩ ὅρος, ὡς οἱ ταῦτ'
ἐξητακότες γράφουσιν· οὗτος μὲν οὖν οὐκ ἂν ἐλάττω
γεγονὼς ἦν ἐτῶν πέντε καὶ εἴκοσι κατὰ τὸν τοῦ πα-
τρὸς θάνατον, ὁ δὲ Λεύκιος ὁ πρεσβύτερος οὐ μείων
ἑπτακαιεικοσαέτους· οὐκ ἄρα νηπίους κατέλιπεν υἱοὺς 650
ὁ Ταρκύνιος ἐκ ταύτης γεγονότας τῆς γυναικός. ἀλλὰ
μὴν εἴγ' ἀνδρῶν ἡλικίαν εἶχον οἱ παῖδες, ὅθ' ὁ πατὴρ
αὐτῶν ἀπέθνησκεν, οὔτ' ἂν ἡ μήτηρ αὐτῶν οὕτως ἦν

2 *Σαβίνους* c. Gelenius 5 *ἐτῶν*] *ἔτη* c. Cobet Obs. p. 75 8 *ἔτι* Ba *ἔτη* ABb 9 *πάντες* B 10 *ὅτε τελευτᾷ* A 11 *γυνὴ δὲ πέντε* O corr. Reiske 14 *εἰ δὲ δὴ* Reiske inde a voce *τὸν* usque ad *δρώντων* p. 16 l. 8 manus recentior legitur in B 17 *αὐτὸς* B *αὐταῖς* A | *ὁ* ante *ὅρος* add. Kiessling 21 *ἑπτακαιεικοσιέτους* B *ἑπτὰ καὶ εἴκοσιν ἐτῶν* R corr. Sint. Em. Dion. II 11 22 *ταύτης γε* c. Hertlein Hermes X 412

ἀθλία καὶ θεοβλαβής, ὥστ' ἀφαιρεῖσθαι μὲν τῶν ἑαυτῆς τέκνων ἣν κατέλιπεν αὐτοῖς ὁ πατὴρ ἀρχήν, τῷ δ' ἀλλοτρίῳ καὶ ἐκ δούλης γεγονότι χαρίζεσθαι· οὔτ' ἂν αὐτοὶ τῆς πατρῴας ἀρχῆς ἀποστερούμενοι φαύλως καὶ ῥαθύμως τὸ ἀδίκημα ἤνεγκαν καὶ ταῦτ' ἐν τῇ κρατίστῃ τοῦ λέγειν τε καὶ πράττειν ὄντες ἀκμῇ· οὔτε γὰρ εὐγενείᾳ προεῖχεν αὐτῶν ὁ Τύλλιος ἐκ δούλης μητρὸς ὢν οὔθ' ἡλικίας ἀξιώματι παρὰ πολὺ διήλλαττεν, ἀλλὰ τρισὶ μόνον ἔτεσι θατέρου πρεσβύτερος ἦν· ὥστ' οὐκ ἄν γε παρεχώρησαν αὐτῷ τῆς βασιλείας ἑκόντες.

VII. Ἔχει δὲ καὶ ἄλλας τινὰς τὸ πρᾶγμα ἀτοπίας, ἃς ἅπαντες ἠγνόησαν οἱ τὰ Ῥωμαϊκὰ συνταξάμενοι
651 πλὴν ἑνός, οὗ μετὰ μικρὸν ἐρῶ τοὔνομα. ὡμολόγηται γάρ, ὅτι μετὰ τὴν Ταρκυνίου τελευτὴν παραλαβὼν τὴν βασιλείαν Τύλλιος ἐπ' ἔτη τετταράκοντα καὶ τέτταρα κατέσχεν, ὥστ' εἰ κατ' ἐκεῖνον τὸν χρόνον ἑπτακαιεικοσαέτης ἦν, ὅτ' ἀπεστερεῖτο τῆς ἀρχῆς ὁ πρεσβύτερος τῶν Ταρκυνίων, ὑπὲρ ἑβδομήκοντα ἔτη γεγονὼς ἂν ἦν, ὅτε τὸν Τύλλιον ἀπέκτεινεν. ἐν κρατίστῃ δέ γ' 2
αὐτὸν ἡλικίᾳ τότ' ὄντα παραδεδώκασιν οἱ συγγραφεῖς καί φασιν, ὅτι Τύλλιον αὐτὸς ἀράμενος ἐκ τοῦ βουλευτηρίου καὶ φέρων ἔξω κατὰ τῶν κρηπίδων ἐξέχεεν. ἥ τ' ἐκ τῆς ἀρχῆς ἔκπτωσις αὐτοῦ γίνεται πέμπτῳ καὶ εἰκοστῷ μετὰ ταῦτ' ἔτει, καὶ τούτῳ τῷ ἔτει στρατευόμενος ἐν τῷ πρὸς Ἀρδεάτας εἰσάγεται πολέμῳ καὶ πάντα

2 τῷ δ' B τῷ δὲ R 7 αὐτοὺς AB | ἐκ δούλης μητρὸς ὢν add. B 8 διήλαττεν B 15 ὅτι καὶ B 17 ὥστε O ὥστ' εἰ Stephanus 19 ἑβδομήκοντα δὲ ABC 24 γίνεται· πέμπτῳ δὲ καὶ B

*τὰ ἔργα δι' ἑαυτοῦ τελῶν· οὐκ εἶχε δὲ λόγον ἐν πολέ-*
3 *μοις ἐξετάζεσθαι ἓξ καὶ ἐνενήκοντα βεβιωκὼς ἔτη. ἐκ-*
*πεσών τε τῆς ἀρχῆς ἔτι πολεμεῖν Ῥωμαίοις οὐκ ἐλάττω*
*τεττάρων καὶ δέκα ἐτῶν, αὐτὸς ἐν τοῖς πράγμασιν ἐξε-* 652
*ταζόμενος, ὥς φασι, παρὰ τὰς κοινὰς ἁπάντων ἐστὶ*
*δόξας, καὶ ὁ τοῦ βίου χρόνος αὐτῷ πλείων ἀναφαί-*
*νεται τῶν ἑκατὸν καὶ δέκα γεγονὼς ἐτῶν· τοῦτο δὲ*
*τὸ μῆκος τῶν βίων οὐ φέρουσιν οἱ καθ' ἡμᾶς τόποι.*
4 *ταῦτα δὴ τὰ ἄτοπα συνειδότες τῶν Ῥωμαϊκῶν συγ-*
*γραφέων τινὲς ἑτέραις αὐτὰ λύειν ἐπειράθησαν ἀτο-*
*πίαις, οὐ Τανακυλίδα ποιοῦντες μητέρα τῶν παιδίων,*
*ἀλλὰ Γεγανίαν τινά, περὶ ἧς οὐδεμίαν παρειλήφαμεν*
*ἱστορίαν· ἄωρος δὴ γίνεται πάλιν ὁ γάμος τοῦ Ταρ-*
*κυνίου μικρὸν ἀπολείποντος ἐτῶν ὀγδοήκοντα, καὶ ἡ*
*τῶν τέκνων γένεσις τοῖς ταύτην ἔχουσι τὴν ἡλικίαν*
*ἄπιστος· οὐδὲ γὰρ ἄπαις ἦν, ὥστ' ἐκ παντὸς ἐπιθυ-*
*μῆσαι τέκνων, ἀλλὰ θυγατέρες ἦσαν αὐτῷ δύο καὶ*
5 *αὗταί γ' ἤδη γεγαμημέναι. τούτων δὴ τῶν ἀδυνάτων* 653
*τε καὶ ἀτόπων ἕκαστα ἐπιλογιζόμενος οὐχ υἱοὺς εἶναι*
*Ταρκυνίου γράφω τοὺς παῖδας, ἀλλ' υἱωνούς, Λευκίῳ*
*Πείσωνι τῷ Φρῦγι συγκαταθέμενος. ἐκεῖνος γὰρ ἐν*
*ταῖς ἐνιαυσίοις πραγματείαις ταῦθ' ἱστόρηκε μόνος· εἰ*

1 *εἶχε* B *ἔχει* R 2 *ἐξετάζεσθαι σῶμα ἀνδρὸς — βεβιωκότος* O praeter B | *ἐνενήκοντα*] *ἑβδομήκοντα* B 3 *πολεμεῖν* Bb *πολεμεῖ* ABa 4 *τάγμασιν* c. Portus, *πρώτοις τάγμασιν* c. Kayser Ann. phil. 1866 p. 44 5 *φασιν* ὃ c. Portus 6 *πλεί⟨ω⟩ν* Bb *πλεῖον* ABa 8 *τόποι*] *τόκοι* c. Stephanus *ἄνθρωποι* c. Grasberger Phil. 28 (1869) p. 551 9 *συνειδότες* AB 11 *Τανακυλλίδα* B 12 *Γεμανίαν* A | *περιειλήφαμεν* A ⟨*περι*⟩*ειλήφαμεν* B 14 *ἔτη* B | *ἀπολιπόντος* A | *καὶ γὰρ — ἄπιστος, οὐδὲ ἄπαις — ἦν* c. Kiessling *καίτοι ἡ* c. Reiske 18 *αὐταί* Kiessling 21 *Φρυγὶ* O corr. Cobet Obs. p. 76 22 *τοῦτ' ἱστόρηκε* A *τοῦτο ἱ.* B

μή γ' ἄρα γόνῳ μὲν ἦσαν υἱωνοὶ τοῦ βασιλέως οἱ παῖδες, ποιήσει δ' υἱοί, καὶ τοῦτ' ἦν αἴτιον τῆς ἀπάτης τοῖς ἄλλοις ἅπασι τοῖς συγγράψασι τὰς Ῥωμαϊκὰς ἱστορίας. προειρημένων δὴ τούτων καιρὸς ἐπανάγειν ἐπὶ τὴν ἀπολειπομένην διήγησιν.

VIII. Ἐπειδὴ δὲ παραλαβὼν τὴν ἐπιτροπὴν τῆς βασιλείας ὁ Τύλλιος καὶ τὴν ἑταιρίαν τῶν Μαρκίων ἐξελάσας βεβαίως ἤδη τῆς ἀρχῆς ἐνόμιζε κρατεῖν, τόν τε βασιλέα Ταρκύνιον, ὡς ἐκ τῶν τραυμάτων τετελευτηκότα ἔναγχος, ἐκκομιδῇ τε πολυτελεῖ καὶ μνήματος ἐπισήμου κατασκευῇ καὶ ταῖς ἄλλαις τιμαῖς ἐκόσμει, καὶ τὸν ἐξ ἐκείνου χρόνον ὡς ἐπίτροπος ὢν τῶν ἐκ τοῦ βασι-
654 λείου γένους παίδων τόν τ' ἴδιον αὐτῶν βίον καὶ τὰ κοινὰ πράγματα τῆς πόλεως διὰ φυλακῆς τε καὶ φροντίδος ἐποιεῖτο. τοῖς δὲ πατρικίοις οὐκ ἦν τὰ γινόμενα 2
καθ' ἡδονάς, ἀλλ' ἠγανάκτουν καὶ χαλεπῶς ἔφερον οὐκ ἀξιοῦντες αὐτὸν ἑαυτῷ τινα μηχανήσασθαι βασιλικὴν ἐξουσίαν, μήτε βουλῆς ψηφισαμένης μήτε τῶν ἄλλων τῶν κατὰ νόμον ἐπιτελεσθέντων. συνιόντες τε πολλάκις οἱ πλεῖστον ἐξ αὐτῶν δυνάμενοι διελέγοντο πρὸς ἀλλήλους περὶ τῆς καταλύσεως τῆς παρανόμου ἀρχῆς, καὶ ἐδόκει αὐτοῖς, ἐπειδὰν πρῶτον εἰς τὸ συνέδριον ὑπὸ τοῦ Τυλλίου ἀναχθῶσιν, ἀναγκάσαι τὸν ἄνδρα τὰς ῥάβδους ἀποθέσθαι καὶ τὰ λοιπὰ τῆς ἀρχῆς σύμβολα· ὅταν δὲ τοῦτο γένηται, τοὺς καλουμένους μεσοβασιλεῖς ἀποδεῖξαι καὶ δι' ἐκείνων ἑλέσθαι τὸν ἄρξοντα τῆς

2 τοῦτο B 5 ὑπολειπομένην c. Stephanus 6 δὲ om. B 9 τῶν om. AB 15 γενόμενα c. Kiessling 23 συναχθῶσιν c. Reiske | τάς τε ῥάβδους c. Kiessling 26 δ⟨ι'⟩ B | ἄρξαντα A

3 πόλεως κατὰ νόμους. ταῦτα διανοουμένων αὐτῶν ἐπιγνοὺς ὁ Τύλλιος ἐπὶ τὸ δημαγωγεῖν καὶ θεραπεύειν τοὺς ἀπόρους τῶν πολιτῶν ἐτρέπετο, δι' ἐκείνων ἐλπίσας τὴν ἀρχὴν καθέξειν, καὶ συγκαλέσας τὸ πλῆθος εἰς ἐκκλησίαν τά τε παιδία προήγαγεν ἐπὶ τὸ βῆμα καὶ λόγον διεξῆλθε τοιόνδε.

VIIII. Πολλή με ἀνάγκη κατείληφεν, ἄνδρες πο- 655
λῖται, κήδεσθαι τῶν παιδίων τούτων καὶ νηπίων. Ταρκύνιος γὰρ ὁ πάππος αὐτῶν ἀπάτορα καὶ ἄπολιν ὄντα με παραλαβὼν ἐξέθρεψεν οὐδὲν ἐνδεέστερον ἄγων τῶν αὐτοῦ τέκνων καὶ τὴν ἑτέραν τῶν θυγατέρων ἔδωκέ μοι γυναῖκα, καὶ παρὰ ⟨πάντα⟩ τὸν τοῦ βίου χρόνον ὥσπερ ἐξ αὐτοῦ γεγονότα τιμῶν καὶ φιλῶν, ὡς καὶ ὑμεῖς ἴστε, διετέλεσε, καὶ ἐπειδὴ τὰ περὶ τὴν ἐπιβουλὴν αὐτῷ συνέπεσεν, εἴ τι πάθοι τῶν ἀνθρωπίνων,
2 ἐμοὶ τὴν ἐπιμέλειαν τῶν παιδίων ἐπίστευσε. τίς οὖν ἢ πρὸς θεοὺς ὅσιον ἢ πρὸς ἀνθρώπους δίκαιον ὑπολήψεταί με, ἐὰν ἐγκαταλίπω καὶ προδῶ τοὺς ὀρφανούς, οἷς τοσαύτας ὀφείλω χάριτας; ἀλλ' οὔτε τὴν ἐμαυτοῦ προδώσω πίστιν οὐδὲ τὴν τῶν παιδίων ἐρημίαν ἐγκαταλείψω κατὰ δύναμιν τὴν ἐμήν. δίκαιοι δ' ἐστὲ καὶ ὑμεῖς διαμεμνῆσθαι τὰς εὐεργεσίας, ἃς ὁ πάππος αὐτῶν τὸ κοινὸν εὐηργέτησεν ὑποτάξας μὲν ὑμῖν τὰς Λατίνων 656
τοσαύτας πόλεις ἀντιποιουμένας τῆς ἀρχῆς, ὑπηκόους δὲ ποιήσας Τυρρηνοὺς ἅπαντας μέγιστον τῶν περιοι-

3 ἐτράπετο c. Kiessling 7 με] μὲν A 8 καὶ νηπίων AB τῶν ν. R 11 et 13 αὐτοῦ AB | ἀποδέδωκε B 12 παρὰ πάντα τὸν c. Cobet Obs. p. 76 πάντα om. O 13 ὥσπερ B | ὡς R 16 οὖν ἢ B ἢ om. R 20 οὐ — οὐδὲ c. Sintenis Em. Dion. II 12 | παίδων O παιδίων Kiessling 21 κατὰ τὴν δύναμιν A 23 εὐεργέτησεν B

κων δυναμένους, ἀναγκάσας δὲ τὸ Σαβίνων ἔθνος ὑποχείριον ὑμῖν γενέσθαι, μετὰ πολλῶν ἅπαντα ταῦτα καὶ μεγάλων κινδύνων κατεργασάμενος. ὅσον μὲν οὖν 3 αὐτὸς ἔζη χρόνον, ἐκείνῳ προσῆκεν ὑμᾶς ⟨τὰς⟩ ὑπὲρ τῶν εὐεργεσιῶν χάριτας εἰδέναι, ἐπειδὴ δὲ τετελεύτηκε τὸν βίον τοῖς ἐγγόνοις αὐτοῦ τὰς ἀμοιβὰς ἀποτίνειν, καὶ μὴ συγκατορύττειν ἅμα τοῖς σώμασι τῶν εὐεργετῶν καὶ τὴν μνήμην τῶν ἔργων. δόξατε οὖν κοινῇ πάντες ἐπίτροποι καταλελεῖφθαι τῶν παιδίων καὶ βεβαιοῦτε αὐτοῖς ἣν ὁ πάππος κατέλιπεν ἀρχήν. οὐδὲν γὰρ τοσοῦτον ἀπολαύσειαν ⟨ἂν⟩ ἐκ τῆς ἐμῆς ἑνὸς ὄντος προστασίας, ὅσον ἐκ τῆς κοινῆς ἁπάντων ὑμῶν βοηθείας. ταῦτα δ' εἰπεῖν ἠνάγκασμαι συνισταμένους τινὰς ἐπ' 4 αὐτοὺς αἰσθόμενος καὶ τὴν ἀρχὴν ἑτέροις παραδοῦναι βουλομένους. ἀξιῶ δ' ὑμᾶς, ἄνδρες Ῥωμαῖοι, καὶ τῶν
657 ἐμῶν μεμνημένους ἀγώνων, οὓς ὑπὲρ τῆς ἡγεμονίας ἠγωνισάμην, οὔτε μικρῶν ὄντων οὔτ' ὀλίγων, οὓς οὐδὲν δέομαι πρὸς εἰδότας ὑμᾶς λέγειν, τὰς ἀντὶ τούτων ὀφειλομένας ἐμοὶ χάριτας τοῖς παιδίοις ἀποδοῦναι τούτοις. οὐ γὰρ ἰδίαν ἀρχὴν ἐμαυτῷ κατασκευαζόμενος, ἧς οὐδενὸς ἧττον ἄξιος ἦν βουληθεὶς τυγχάνειν, ἀλλὰ τῷ Ταρκυνίου γένει βοηθῶν τὰ κοινὰ πράττειν προῄρημαι. ἱκέτης δ' ὑμῶν γίνομαι μὴ τοὺς ὀρφανοὺς ἐγκατα- 5

4 τὰς ὑπὲρ Cobet Obs. p. 76  5 τὰς χάριτας c. Kiessling  7 συγκατορύττειν B  κατορύττειν R  9 παίδων B παιδίων R | βεβαιοῦντες O praeter B  10 γὰρ ἂν c. Reiske, post ἀπολαύσειαν ego ἂν addidi  12 ὅσον — βοηθείας om. B in mg. ead. man. γρ καὶ βοηϑ̃  16 οὓς] ὡς c. Sintenis Em. Dion. II 12  20 οὐδενὸς ἦν βουληθεὶς ἧττον ἄξιος B  23 *μήτε O correxi μήτε ἐμὲ add. Reiske μηδὲ τοὺς ὀρφανοὺς c. Sintenis Em. Dion. II 14 | ἐγκαταλιπεῖν B  καταλιπεῖν R

λιπεῖν νῦν μὲν ὑπὲρ τῆς ἀρχῆς κινδυνεύοντας, εἰ δ'
ἡ πρώτη πεῖρα τοῖς ἐχθροῖς αὐτῶν χωρήσει κατὰ νοῦν,
καὶ ἐκ τῆς πόλεως ἐξελαθησομένους. ἀλλ' ὑπὲρ μὲν
τούτων ὡς ἐγνωκόσιν ὑμῖν τὰ δέοντα καὶ ποιήσουσιν,
ὅσα προσήκει, οὐδὲν δέομαι πλείω λέγειν· ἃ δὲ παρ-
εσκεύασμαι ποιεῖν ὑμᾶς αὐτὸς ἀγαθὰ καὶ ὧν χάριν
6 τὴν ἐκκλησίαν συνεκάλεσα, ἀκούσατέ μου. ὅσοι μὲν
ὑμῶν ὀφείλοντες ἤδη χρέα διὰ πενίαν ἀδύνατοί εἰσιν
ἀποδοῦναι, τούτοις βοηθεῖν προθυμούμενος, ἐπειδὴ 658
πολῖταί τ' εἰσι καὶ πολλοὺς ὑπὲρ τῆς πατρίδος ἀνηυ-
τλήκασι πόνους, ἵνα μὴ τὴν ἰδίαν ἀφαιρεθῶσιν ἐλευ-
θερίαν οἱ τὴν κοινὴν βεβαιώσαντες, ἐκ τῶν ἐμαυτοῦ
7 χρημάτων δίδωμι διαλύσασθαι τὰ χρέα. ὅσοι δ' ἂν
μετὰ ταῦτα δανείσωνται, τούτους οὐκ ἐάσω πρὸς τὰ
χρέα ἀπάγεσθαι καὶ νόμον θήσομαι μηδένα δανείζειν
ἐπὶ σώμασιν ἐλευθέροις ἱκανὸν ἡγούμενος τοῖς δανει-
σταῖς τῆς οὐσίας τῶν συμβαλόντων κρατεῖν. ἵνα δὲ
καὶ τὰς εἰς τὸ δημόσιον γινομένας εἰσφοράς, δι' ἃς οἱ
πένητες ἐπιβαροῦνταί τε καὶ ἀναγκάζονται δανείσματα
ποιεῖν, κουφοτέρας εἰς τὸ λοιπὸν φέρητε, τιμήσασθαι
τὰς οὐσίας ἅπαντας κελεύσω καὶ ἀπὸ τοῦ τιμήματος
ἕκαστον εἰσφέρειν τὸ ἐπιβάλλον, ὡς ἐν ταῖς μεγίσταις
καὶ εὐνομωτάταις πόλεσι πυνθάνομαι γινόμενον, δί-

2 *χωρήσειε* c. Reiske 4 *ὡς ἐν* c. Grasberger Tess. Herbip. p. 17 | *ὑμῖν* del. idem Philol. 28 (1869) p. 348 5 *ὥσπερ προσήκει* c. Kiessling, post *προσήκει* intercidisse *εἰρηκὼς* aut *ὑπομνήσας* aut *προειπὼν* susp. Reiske 10 *τε* A om. R 15 *θήσομαι* B *θήσω* R 17 *συμβαλλόντων* O *συμβαλόντων* c. Cobet Obs. p. 76 18 *γενομένας* B 20 *ποιεῖσθαι* Schnelle Obs. p. 5 | *κουφοτέρας* AB *κουφοτέρως* R | *εἰς* del. Kiessling 22 *εἰσφέρειν* c. Bücheler *φέρειν* O 23 *γενόμενον* O corr. Sintenis *Em.* Dion. II 13

καιόν τε καὶ συμφέρον τῷ κοινῷ τοῦθ᾽ ἡγούμενος
659 τοὺς μὲν πολλὰ κεκτημένους πολλὰ εἰσφέρειν, τοὺς
δ᾽ ὀλίγα ἔχοντας ὀλίγα. δοκεῖ δέ μοι καὶ τῆς δημο- 8
σίας γῆς, ἣν διὰ τῶν ὅπλων κτησάμενοι κατέχετε, μὴ
τοὺς ἀναιδεστάτους ὥσπερ νῦν κρατεῖν οὔτε χάριτι
λαβόντας οὔτ᾽ ὠνῇ κτησαμένους, ἀλλὰ τοὺς μηδένα
κλῆρον ἔχοντας ὑμῶν, ἵνα μὴ θητεύητε ὄντες ἐλεύ-
θεροι μηδὲ τὰς ἀλλοτρίας κτήσεις, ἀλλὰ τὰς ἰδίας
γεωργῆτε· οὐ γὰρ ἂν γένοιτο φρόνημα εὐγενὲς ἐν ἀν-
δράσιν ἀπορουμένοις τῶν καθ᾽ ἡμέραν ἀναγκαίων.
ὑπὲρ ἅπαντα δὲ ταῦτ᾽ ἔγνων καὶ ἴσην καὶ κοινὴν ποιεῖν 9
τὴν πολιτείαν καὶ τὰ δίκαια πᾶσι πρὸς ἅπαντας ὅμοια.
εἰς τοῦτο γὰρ ἥκουσί τινες αὐθαδείας, ὥσθ᾽ ὑβρίζειν
εἰς τὸ δημοτικὸν ἀξιοῦσι καὶ μηδ᾽ ἐλευθέρους ἡγεῖσθαι
τοὺς πένητας ὑμῶν. ἵνα δὲ καὶ λαμβάνωσι τὰ δίκαια
καὶ ὑπέχωσιν οἱ μείζους τοῖς ἐλάττοσιν ἐξ ἴσου, νό-
μους θήσομαι κωλυτὰς μὲν τῆς βίας, φύλακας δὲ τῆς
δικαιοσύνης καὶ αὐτὸς οὐδένα χρόνον ἀνήσω τῆς ἁπάν-
των προνοούμενος ἰσηγορίας.

660 X. Τοιαῦτα λέγοντος αὐτοῦ πολὺς ἔπαινος ἐκ τῆς ἐκκλησίας ἐγένετο τῶν μέν, ὅτι πιστὸς ἦν καὶ δίκαιος περὶ τοὺς εὐεργέτας, ἐπαινούντων, τῶν δ᾽, ὅτι φιλάνθρωπος καὶ μεγαλόψυχος εἰς τοὺς ἀπόρους, τῶν δ᾽, ὡς μέτριος καὶ δημοτικὸς πρὸς τοὺς ταπεινοτέρους, ἁπάντων δ᾽, ὅτι νόμιμος καὶ δίκαιος ἄρχων, ἀγαπών-

1 τε γὰρ καὶ Reiske | τὸ αὐτὸ ἡγοῦμαι O τοῦτο ἡγούμενος Sintenis Em. Dion. II 13  8 μηδὲ Sintenis ibidem p. 12 μήτε O  9 γένηται AB  12 πᾶσι] ἅπασι c. Schäfer de Comp. Verb. p. 124 ἅπαντα AB  14 μήτε O μηδὲ Reiske | ἐλευθέρως B  15 ὑμᾶς AB corr. Sintenis Em. Dion. II 13 | καὶ om. B  17 θήσω c. Reudler Tiroc. p. 32

2 των τε καὶ τεθαυμακότων. διαλυθείσης δὲ τῆς ἐκκλη-
σίας ταῖς ἑξῆς ἡμέραις ἀπογράφεσθαι κελεύσας τοὺς
ὑποχρέους, ὅσοι τὴν πίστιν ἀδύνατοι ἦσαν φυλάττειν,
τίσιν ὀφείλουσι καὶ πόσον ἕκαστος, ἐπειδὴ τὰς ἀπο-
γραφὰς ἔλαβε, τραπέζας θεὶς ἐν ἀγορᾷ πάντων ὁρών-
3 των ἀπηρίθμει τοῖς δανεισταῖς τὰ χρέα. ταῦτα δια-
πραξάμενος ἐξέθηκεν ἐν φανερῷ διάταγμα βασιλικόν,
ἐκχωρεῖν τῆς δημοσίας γῆς τοὺς καρπουμένους τε καὶ
ἰδίᾳ κατέχοντας αὐτὴν ἐν ὡρισμένῳ τινὶ χρόνῳ, καὶ
τοὺς οὐδένα κλῆρον ἔχοντας τῶν πολιτῶν πρὸς ἑαυτὸν
ἀπογράφεσθαι· νόμους τε συνέγραφεν ⟨οὓς μὲν⟩ ἐκ 661
τῶν ἀρχαίων καὶ παρημελημένων ἀνανεούμενος, οὓς
Ῥωμύλος τ' εἰσηγήσατο καὶ Νόμας Πομπίλιος, οὓς δ'
4 αὐτὸς καθιστάμενος. ταῦτα δ' αὐτοῦ πολιτευομένου
χαλεπῶς ἔφερον οἱ πατρίκιοι καταλυομένην τὴν δυνα-
στείαν τῆς βουλῆς ὁρῶντες καὶ λογισμοὺς οὐκέτι τοὺς
5 αὐτούς, ἀλλ' ἐναντίους τοῖς προτέροις ἐλάμβανον. ἐν
ἀρχαῖς μὲν γὰρ ὥρμησαν ἀφελέσθαι τὴν παράνομον
αὐτοῦ δυναστείαν ἀποδείξαντες μεσοβασιλεῖς καὶ δι'
ἐκείνων ἑλέσθαι τὸν κατὰ νόμους ἕξοντα τὴν ἀρχήν·
τότε δὲ στέργειν ἐπὶ τοῖς παροῦσιν ᾤοντο δεῖν
καὶ μηδὲν πολυπραγμονεῖν. εἰσῄει γὰρ αὐτοῖς λογι-
σμός, ὅτι τῆς μὲν βουλῆς, ὃν αὐτὴ προῃρεῖτο, παρα-
γούσης ἐπὶ τὰ πράγματα ὁ δῆμος ἐναντιώσεται τὴν
ψῆφον ἀναλαβών· ἐὰν δ' ἐπὶ τῷ δήμῳ ποιήσωσι τὴν

3 ἀποχρέους AB 7 ἐξέθηκεν B διέθηκεν R | βασιλ⟨ι⟩κὸν B 8 γῆς AB 9 διακατέχοντας c. Cobet Obs. p. 77 11 συνέγραφεν οὓς μὲν Reiske 12 ἀναν⟨ε⟩ούμενος B | οὓς δὲ καὶ αὐτὸς c. Reiske 19 ἀποδείξασθαι δὲ O praeter B 22 εἰσπίπτει O | αὐτοὺς B εἰσῄει αὐτοῖς Cobet Mnem. IX p. 319 25 τὴν αἵρεσιν τοῦ βασιλέως O praeter B αἵρεσιν Bb lacuna 3—4 litt. ante αἱρ. in Ba

662 τοῦ βασιλέως προαίρεσιν, ἅπασαι τὸν Τύλλιον ψηφοφορήσουσιν αἱ φρᾶτραι, καὶ περιέσται τῷ ἀνδρὶ τὸ δοκεῖν κατὰ νόμους ἄρχειν. ἔδοξεν οὖν αὐτοῖς ἄμεινον εἶναι κλέπτοντα τὴν ἀρχὴν τὸν ἄνδρα καὶ παρακρουόμενον τοὺς πολίτας μᾶλλον ἢ πείσαντα καὶ φανερῶς λαβόντα κατέχειν. ἀλλ᾿ οὐδὲν αὐτοῖς ἐγένετο προὔργου 6 τῶν λελογισμένων· οὕτω κατεστρατήγησεν αὐτοὺς ὁ Τύλλιος καὶ κατέσχε τὴν βασιλείαν ἀκόντων ἐκείνων. κατασκευάσας γὰρ ἐκ πολλοῦ φήμας λέγεσθαι κατὰ [τὴν] πόλιν ὡς ἐπιβουλευόντων αὐτῷ τῶν πατρικίων προῆλθεν εἰς τὴν ἀγορὰν ἐσθῆτα πιναρὰν περιβεβλημένος καὶ κατηφὴς συνούσης αὐτῷ καὶ τῆς μητρὸς Ὀκρισίας καὶ τῆς Ταρκυνίου γυναικὸς Τανακυλίδος καὶ τῆς συγγενείας τῆς βασιλικῆς ὅλης. ὄχλου δὲ συνδραμόντος πολλοῦ πρὸς τὸ παράδοξον τῆς ὄψεως ἐκκλησίαν συγκαλέσας προῆλθεν ἐπὶ τὸ βῆμα καὶ διεξῆλθε τοιοῦτόν τινα λόγον.

XI. Οὐκέτι μοι περὶ τῶν Ταρκυνίου παίδων μόνον 663 ὁ κίνδυνός ἐστιν, ἵνα μηδὲν ὑπὸ τῶν ἐχθρῶν δεινὸν πάθωσιν, ἀλλ᾿ ἤδη καὶ περὶ τῆς ἐμῆς ψυχῆς δέος εἰσέρχεται, μὴ πικρὰς ἀμοιβὰς τῆς δικαιοσύνης ἀπολάβω. ἐπιβουλεύομαι γὰρ ὑπὸ τῶν πατρικίων, καὶ μεμήνυνταί μοι τινὲς ἐξ αὐτῶν ἀποκτεῖναί με συνομνύμενοι ἀδίκημα μὲν οὐδὲν οὔτε μεῖζον οὔτ᾿ ἔλαττον ἔχοντες ἐγκαλεῖν, ὧν δὲ τὸν δῆμον εὖ πεποίηκα καὶ

1 προαίρεσιν A 2 αἱ φρᾶτραι add. B 7 λ⟨ελ⟩ογισμένων Ba | οὕτως B 10 *τὴν O delevi 12 συμπροιούσης c. Reiske 13 ὀκρ⟨ι⟩σίας B | Τανακυλλίδος AB | γυναικὸς B θυγατρὸς R 14 βασιλεικῆς Ba βασιλικῆς ABb 16 παρῆλθεν c. Cobet Obs. p. 77 21 εἰσέρχεται B ἐπεισέρχεται R ἔμ᾿ εἰσέρχεται c. Cobet Mnem. IX p. 319 24 οὐδὲν add. B

παρεσκευάσμαι ποιεῖν ἀχθόμενοί τε καὶ ἀναξιοπαθοῦν-
2 τες· οἱ δανεισταὶ μὲν ὅτι τοὺς πένητας ὑμῶν οὐκ
εἴασα τὴν ἐλευθερίαν ἀφαιρεθῆναι πρὸς τὰ χρέα ὑπ'
αὐτῶν ἀχθέντας· οἱ δὲ κατανοσφιζόμενοι τὰ δημόσια
καὶ κατέχοντες, ἣν ὑμεῖς δι' αἵματος ἐκτήσασθε γῆν
ἐκλιπεῖν ἀναγκαζόμενοι, ὥσπερ τὰ πατρῷα ἀποστερού-
μενοι καὶ οὐ τἀλλότρια ἀποδιδόντες· οἱ δ' ἀνειμένοι
τῶν εἰσφορῶν τῶν εἰς τοὺς πολέμους, εἰ τιμήσασθαι
τοὺς βίους ἀναγκασθήσονται καὶ ἀπὸ τῶν τιμημάτων 664
τὰς εἰσφορὰς συνεισφέρειν· κοινῇ δὲ σύμπαντες, ὅτι
κατὰ νόμους γεγραμμένους ἐθισθήσονται ζῆν τὰ δίκαια
ἐξ ἴσου διδόντες ὑμῖν καὶ λαμβάνοντες, ἀλλ' οὐχ ὥσπερ
ἀργυρωνήτοις παραχρήσονται τοῖς πένησιν, ὃ ποιοῦσι
3 νῦν. καὶ ταῦτα δὴ τὰ ἐγκλήματα συνενέγκαντες εἰς
τὸ κοινὸν βεβούλευνταί τε καὶ συνομωμόκασι κατάγειν
τοὺς φυγάδας καὶ τοῖς Μαρκίου παισὶ τὴν βασιλείαν
ἀποδιδόναι, οὓς ὑμεῖς Ταρκύνιον ἀποκτείναντας τὸν
βασιλέα ὑμῶν ἄνδρα χρηστὸν καὶ φιλόπολιν καὶ τηλι-
κοῦτο διαπραξαμένους ἄγος τάς τε δίκας ἐρήμους ἐκλι-
πόντας καὶ φυγῆς ἑαυτοῖς τιμησαμένους πυρὸς καὶ
ὕδατος εἴργειν ἐψηφίσασθε· ἔμελλόν τ', εἰ μὴ θᾶττον
ἐμοὶ περὶ τούτων ἐγένετο μήνυσις, ξενικὴν δύναμιν
ἐπαγόμενοι νυκτὸς ἔτι πολλὴν κατάγειν εἰς τὴν πόλιν

3 πρὸς τὰ χρέα add. B 4 ἀπαχθέντας c. Niebuhr Hist. rom. I n. 1266 5 καὶ ἰδίᾳ κατέχοντες c. Kiessling | ἐκτήσασθε ABb ἐκτήσασθαι Ba 6 ἐκλ⟨ι⟩πεῖν Ba 7 τάλλότρια Ba ἀ τἀλλότρια Bb 8 συμφορῶν A | εἰ] εἰς A 10 καταφέρειν B 12 δίδονται Ba 14 νῦν add. B 15 τε add. B | συνωμομόκεισαν A 20 ἑαυτοὺς Bb | τιμησαμένους B ταμιευσαμένους R 22 ξενικὴν δύναμιν B ξενικήν τινα δ. R 23 πολλῆς ABa πολλὴν Bb

τοὺς φυγάδας. τὰ μετὰ ταῦτα πάντες ἴστε δήπου, κἂν 4
665 ἐγὼ μὴ λέγω, ὅτι Μάρκιοι συλλαμβανόντων αὐτοῖς
τῶν πατρικίων κατασχόντες τὰ πράγματα δίχα πόνου,
πρῶτον μὲν ἐμὲ τὸν φύλακα τῶν βασιλέων καὶ τὰς
κατ' αὐτῶν ἐπιτελεσάμενον δίκας ἔμελλον ἀναρπάσε-
σθαι, ἔπειτα ταυτὶ τὰ παιδία καὶ τοὺς ἄλλους συγγε-
νεῖς τε καὶ φίλους Ταρκυνίου πάντας ἀρεῖσθαι· γυναῖ-
κας δ' ἡμῶν καὶ μητέρας καὶ θυγατέρας καὶ πᾶν τὸ
θῆλυ γένος ἐν ἀνδραπόδων ποιήσασθαι λόγῳ, πολὺ
τὸ θηριῶδες ἔχοντες ἐν τῇ φύσει καὶ τυραννικόν. εἰ 5
μὲν οὖν καὶ ὑμῖν ταῦτα βουλομένοις ἐστίν, ὦ δημόται,
τοὺς μὲν ἀνδροφόνους κατάγειν καὶ βασιλεῖς ἀποδει-
κνύναι, τοὺς δὲ τῶν εὐεργετῶν παῖδας ἐξελαύνειν καὶ
τὴν ὑπὸ τοῦ πάππου καταλειφθεῖσαν ἀρχὴν ἀφαιρεῖ-
σθαι, στέρξομεν τὴν τύχην. ἀλλὰ πρὸς ἁπάντων θεῶν
τε καὶ δαιμόνων, ὅσοι τὸν ἀνθρώπινον ἐποπτεύουσι
βίον, ἱκέται πάντες ὑμῶν γινόμενοι σὺν γυναιξί τε
καὶ τέκνοις ἀντὶ πολλῶν μέν, ὧν Ταρκύνιος ὁ τῶν
παιδίων πάππος εὖ ποιῶν ὑμᾶς διετέλεσεν, ἀντὶ πολ-
666 λῶν δέ, ὧν αὐτὸς ἐγὼ κατὰ τὴν ἐμαυτοῦ δύναμιν
ἐγενόμην ὑμῖν χρήσιμος, ἀξιοῦμεν ὑμᾶς μίαν ἡμῖν
δοῦναι ταύτην δωρεάν, φανερὰν ποιῆσαι τὴν ὑμῶν
αὐτῶν γνώμην. εἰ γὰρ ἑτέρους τινὰς ἀξιονικοτέρους 6
ἡμῶν ὑπειλήφατε εἶναι ταύτης τῆς τιμῆς τυγχάνειν,

5 ἀναρπάσασθαι O corr. Cobet Obs. p. 77 Hertlein Hermes X 412 7 αἱρεῖσθαι Bb αἰρεῖσθαι Ba ἀναιρεῖσθαι R ἀρεῖσθαι Cobet Obs. p. 78 ἀνελεῖσθαι Hertlein Hermes X 412 8 δήμων B 11 καὶ add. B | δημότε Ba; saepissime pro αι in Ba legitur ε, quod posthac non notabo 14 καταλιφθήσαν Ba 15 τε θεῶν καὶ AB 17 πάντων c. Reiske | τε om. B 24 εἶναι add. B

τὰ μὲν παιδία οἰχήσεται τὴν πόλιν ὑμῖν καταλιπόντα καὶ ἡ ἄλλη Ταρκυνίου συγγένεια· ἐγὼ δ' ἕτερόν τι βουλεύσομαι γενναιότερον ὑπὲρ ἐμαυτοῦ· βεβίωται γὰρ ἤδη μοι καὶ πρὸς ἀρετὴν καὶ πρὸς εὐδοξίαν ἀποχρώντως καὶ οὐκ ἂν ἀξιώσαιμι τῆς παρ' ὑμῶν εὐνοίας ψευσθείς, ἣν ἀντὶ παντὸς εἱλόμην ἀγαθοῦ, ζῆν αἰσχρῶς ἐν ἄλλοις τισί. παραλάβετε δὴ τὰς ῥάβδους καὶ δότε, εἰ βούλεσθε, τοῖς πατρικίοις· ἐγὼ δ' ὑμῖν οὐκ ἐνοχλήσω παρών.

XII. Ταῦτα λέγοντος αὐτοῦ καὶ παραχωρεῖν οἵου τε ὄντος ἀπὸ τοῦ βήματος κραυγή τε παρὰ πάντων ἐξαίσιος ἐγίνετο καὶ δεήσεις μεμιγμέναι δάκρυσιν, ἵνα 667
μένῃ τε καὶ διακατέχῃ τὰ πράγματα μηδένα δεδοικώς. ἔπειτ' ἐγκέλευστοί τινες διειληφότες τὴν ἀγορὰν βασιλέα ποιεῖν αὐτὸν ἐβόων καὶ συγκαλεῖν τὰς φράτρας ἠξίουν καὶ ψῆφον ᾔτουν. ἀρξαμένων δὲ τούτων εὐθὺς ὁ δῆμος ἅπας ἐπὶ τῆς αὐτῆς προαιρέσεως ἐγεγόνει.
2 τοῦτο καταμαθὼν ὁ Τύλλιος οὐκέτι παρῆκε τὸν καιρόν, ἀλλὰ πολλὰς αὐτοῖς εἰδέναι φήσας χάριτας, ὅτι μέμνηνται τῶν εὐεργεσιῶν, καὶ ἔτι πλείονα ὑποσχόμενος ἀγαθὰ ποιήσειν, ἐὰν αὐτὸν ἀποδείξωσι βασιλέα, προεῖπεν ἡμέραν ἀρχαιρεσιῶν, εἰς ἣν ἐκέλευσε καὶ τοὺς
3 ἐκ τῶν ἀγρῶν ἅπαντας παρεῖναι. συνελθόντος δὲ τοῦ δήμου καλῶν τὰς φράτρας κατὰ μίαν ἀνεδίδου τὰς ψήφους. ἁπάσαις δὲ ταῖς φράτραις κριθεὶς τῆς βασι-

1 ὑμῖν B ὑμῶν R 5 ἀξιώσ⟨αι⟩μι B 8 Μαρκίοις c. Kiessling 10 παραχωρεῖν AB | οἷον ὄντος Sintenis Em. Dion. III 28 12 ἐγίνετο Bb ἐγείνετο Ba ἐγένετο R 13 δι. ακατέχῃ B 15 ποιεῖν δεῖν c. Portus 21 ποιήσειν add. B εὖ ποιήσειν c. Garrer Obs. p. 73 23 ἐκ add. B 24 ἀνεδίδου B ἐδίδου R

λείας ἄξιος παραλαμβάνει τότε τὴν ἀρχὴν παρὰ τοῦ
δημοτικοῦ πλήθους πολλὰ χαίρειν τῇ βουλῇ φράσας,
ἣν οὐκ ἠξίωσεν ἐπικυρῶσαι τὰ τοῦ δήμου κρίματα,
68 ὥσπερ αὐτῇ ποιεῖν ἔθος ἦν. τοῦτον δὲ τὸν τρόπον
ἐπὶ τὴν βασιλείαν παρελθὼν πολλῶν μὲν καὶ ἄλλων
πολιτευμάτων εἰσηγητὴς ἐγένετο, μέγαν δὲ καὶ λόγου
ἄξιον ἐπολέμησε πρὸς Τυρρηνοὺς πόλεμον. ποιήσομαι
δὲ περὶ τῶν πολιτευμάτων αὐτοῦ πρῶτον τοὺς λόγους.

XIII. Εὐθὺς ἅμα τῷ παραλαβεῖν τὴν ἀρχὴν διέ-
νειμε τὴν δημοσίαν χώραν τοῖς θητεύουσι Ῥωμαίων·
ἔπειτα τοὺς νόμους τούς τε συναλλακτικοὺς καὶ τοὺς
περὶ τῶν ἀδικημάτων ἐπεκύρωσε ταῖς φράτραις· ἦσαν
δὲ πεντήκοντά που μάλιστα τὸν ἀριθμόν, ὧν οὐδὲν
δέομαι μεμνῆσθαι κατὰ τὸ παρόν. τῇ τε πόλει προσ- 2
έθηκε δύο λόφους, τόν τε Οὐιμινάλιον καλούμενον
καὶ τὸ Ἰσκυλῖνον, ὧν ἑκάτερος ἀξιολόγου πόλεως ἔχει
μέγεθος, καὶ διένειμεν αὐτοὺς τοῖς ἀνεστίοις Ῥωμαίων
οἰκίας κατασκευάσασθαι· ἔνθα καὶ αὐτὸς ἐποιήσατο
τὴν οἴκησιν ἐν τῷ κρατίστῳ τῆς Ἰσκυλίας τόπῳ. οὗτος 3
669 ὁ βασιλεὺς τελευταῖος ηὔξησε τὸν περίβολον τῆς πό-
λεως τοὺς δύο τοῖς πέντε προσθεὶς λόφοις, ὀρνιθευ-
σάμενός τε ὡς νόμος ἦν καὶ τἄλλα τὰ πρὸς θεοὺς ὅσια
διαπραξάμενος. προσωτέρω δ' οὐκέτι προῆλθεν ἡ κατα-
σκευὴ τῆς πόλεως οὐκ ἐῶντος, ὥς φασι, τοῦ δαιμο-
νίου, ἀλλ' ἔστιν ἅπαντα τὰ περὶ τὴν πόλιν οἰκούμενα
χωρία, πολλὰ ὄντα καὶ μεγάλα, γυμνὰ καὶ ἀτείχιστα

1 παραλαμβάνει — 2 πολλὰ add. B  3 κρίματα add. B  8 πρώτων c. Reiske  13 που μάλιστα add. B  16 ἰσκυλ<ῖ>νον B  18 ἔνθα del. Kiessling κατασκευάσασθαι ἐνταῦθα· καὶ Bücheler  26 ὄντα πολλὰ AB

4 καὶ ῥᾷστα πολεμίοις ἐλθοῦσιν ὑποχείρια γενέσθαι· καὶ
εἰ μὲν εἰς ταῦτά τις ὁρῶν τὸ μέγεθος ἐξετάζειν βου-
λήσεται τῆς Ῥώμης, πλανᾶσθαί τ' ἀναγκασθήσεται καὶ
οὐχ ἕξει βέβαιον σημεῖον οὐδέν, ᾧ διαγνώσεται, μέχρι
ποῦ προβαίνουσα ἔτι πόλις ἐστὶ καὶ πόθεν ἄρχεται
μηκέτ' εἶναι πόλις, οὕτω συνύφανται τὸ ἄστυ τῇ
χώρᾳ καὶ εἰς ἄπειρον ἐκμηκυνομένης πόλεως ὑπόληψιν
5 τοῖς θεωμένοις παρέχεται. εἰ δὲ τῷ τείχει [τῷ] δυσ-
ευρέτῳ μὲν ὄντι διὰ τὰς περιλαμβανούσας αὐτὸ πολ-
λαχόθεν οἰκήσεις, ἴχνη δέ τινα φυλάττοντι κατὰ πολ-
λοὺς τόπους τῆς ἀρχαίας κατασκευῆς, βουληθείη μετρεῖν
αὐτὴν κατὰ τὸν κύκλον τὸν περιέχοντα Ἀθηναίων τὸ 670
ἄστυ, οὐ πολλῷ τινι μείζων ὁ τῆς Ῥώμης ἂν αὐτῷ
φανείη κύκλος. ἀλλ' ὑπὲρ μὲν τοῦ μεγέθους τε καὶ
κάλλους τῆς πόλεως, ὡς κατὰ τὴν ἐμὴν εἶχεν ἡλικίαν,
ἕτερος ἔσται τῇ διηγήσει καιρὸς ἐπιτηδειότερος.

XIIII. Ὁ δὲ Τύλλιος, ἐπειδὴ τοὺς ἑπτὰ λόφους ἑνὶ
τείχει περιέλαβεν, εἰς τέτταρας μοίρας διελὼν τὴν πόλιν
καὶ θέμενος ἐπὶ τῶν λόφων ταῖς μοίραις τὰς ἐπικλή-
σεις, τῇ μὲν Παλατίνην, τῇ δὲ Σουβουράνην, τῇ δὲ
τρίτῃ Κολλίνην, τῇ δὲ τετάρτῃ τῶν μοιρῶν Ἰσκυλίνην,
τετράφυλον ἐποίησε τὴν πόλιν εἶναι, τρίφυλον οὖσαν
2 τέως· καὶ τοὺς ἀνθρώπους ἔταξε τοὺς ἐν ἑκάστῃ μοίρᾳ
τῶν τεττάρων οἰκοῦντας, ὥσπερ κωμήτας, μήτε μετα- 671

1 ῥᾷ⟨ι⟩στα B 7 ἄπορον AB 8 τῷ del. Pflugk 12 *τὸν Ἀθηναίων κύκλον B τὸν Ἀθηναῖον κ. R Ἀθηνῶν c. Reiske Ἀθηναίων ego post περιέχοντα transposui; cf. IX 68 13 ⟨καὶ⟩ οὐ B | τιν⟨ὶ⟩ B | μεῖζον Ba | ἂν add. B 14 post φανείη vox erasa est in A 20 βαβοράνην A σοβοράνην B σουβουράνην Reiske σοβωράνην Kiessling 21 κολλατίνην O corr. Portus 23 cf. Niebuhr Hist. rom. I not. 1079 24 μὴ μεταλαμβάνειν A μήτε μεταλαμβάνειν B μήτε λαμβάνειν R

λαμβάνειν ἑτέραν οἴκησιν μήτ' ἄλλοθι που συντελεῖν,
τάς τε καταγραφὰς τῶν στρατιωτῶν καὶ τὰς εἰσπράξεις
τῶν χρημάτων τὰς γινομένας εἰς τὰ στρατιωτικὰ καὶ
τὰς ἄλλας χρείας, ἃς ἕκαστον ἔδει τῷ κοινῷ παρέχειν,
οὐκέτι κατὰ τὰς τρεῖς φυλὰς τὰς γενικὰς ὡς πρότερον,
ἀλλὰ κατὰ τὰς τέτταρας τὰς τοπικὰς τὰς ὑφ' ἑαυτοῦ
διαταχθείσας ἐποιεῖτο, ἡγεμόνας ἐφ' ἑκάστης ἀποδείξας
συμμορίας, ὥσπερ φυλάρχους ἢ κωμάρχας, οἷς προσ-
έταξεν εἰδέναι, ποίαν οἰκίαν ἕκαστος οἰκεῖ. Ἔπειτα 3
κατὰ πάντας ἐκέλευσε τοὺς στενωποὺς [ἱερὰ] ἐγκατα-
σκευασθῆναι καλιάδας ὑπὸ τῶν γειτόνων ἥρωσι προ-
672 νωπίοις καὶ θυσίας αὐτοῖς ἐνομοθέτησεν ἐπιτελεῖσθαι
καθ' ἕκαστον ἐνιαυτὸν πελάνους εἰσφερούσης ἑκάστης
οἰκίας· τοῖς δὲ τὰ περὶ τῶν γειτόνων ἱερὰ συντελοῦσιν
ἐν τοῖς προνωπίοις οὐ τοὺς ἐλευθέρους, ἀλλὰ τοὺς
δούλους ἔταξε παρεῖναί τε καὶ συνιερουργεῖν, ὡς κε-
χαρισμένης τοῖς ἥρωσι τῆς τῶν θεραπόντων ὑπηρεσίας·
ἣν ἔτι καὶ καθ' ἡμᾶς ἑορτὴν ἄγοντες Ῥωμαῖοι διετέ- 4
λουν ὀλίγαις ὕστερον ἡμέραις τῶν Κρονίων, σεμνὴν
ἐν τοῖς πάνυ καὶ πολυτελῆ, Κομπιτάλια προσαγορεύ-
οντες αὐτὴν ἐπὶ τῶν στενωπῶν· κομπίτους γὰρ τοὺς
673 στενωποὺς καλοῦσι· καὶ φυλάττουσι τὸν ἀρχαῖον ἐθι-
σμὸν ἐπὶ τῶν ἱερῶν, διὰ τῶν θεραπόντων τοὺς ἥρωας
ἱλασκόμενοι καὶ ἅπαν τὸ δοῦλον ἀφαιροῦντες αὐτῶν
ἐν ταῖς ἡμέραις ἐκείναις, ἵνα τῇ φιλανθρωπίᾳ ταύτῃ

1 *ἀλλοσέ ποι* Cobet Obs. p. 78 Hertlein Hermes X 412 4 *παρέχειν καὶ οὐκέτι* O praeter B 10 *ἱερὰ* AB *ἱερὰς* R del. Kiessling 11 *καλ<ι>άδας* B 15 *ἐν τοῖς στενωποῖς* c. Bücheler, *τοῖς προνωπίοις* vel *θεοῖς προνωπίοις* deleta *ἐν* voce Casaubonus 18 *καὶ* add. B 20 *ταῖς* O 22 *ἐθισμὸν*] *κόσμον* c. Kiessling

τιθασσευόμενοι μέγα τι καὶ σεμνὸν ἐχούσῃ χαριέστεροι γίνωνται περὶ τοὺς δεσπότας καὶ τὰ λυπηρὰ τῆς τύχης ἧττον βαρύνωνται.

XV. Διεῖλε δὲ καὶ τὴν χώραν ἅπασαν, ὡς μὲν Φάβιός φησιν, εἰς μοίρας ἕξ τε καὶ εἴκοσιν, ἃς καὶ αὐτὰς καλεῖ φυλὰς καὶ τὰς ἀστικὰς προστιθεὶς αὐταῖς τέτταρας· ὡς δὲ Οὐεννώνιος ἱστόρηκεν, εἰς μίαν τε καὶ τριάκοντα, ὥστε σὺν ταῖς κατὰ πόλιν οὔσαις ἐκπεπληρῶσθαι τὰς ἔτι καὶ εἰς ἡμᾶς ὑπαρχούσας τριάκοντα καὶ πέντε φυλάς· Κάτων μέντοι τούτων ἀμφο- 674 τέρων ἀξιοπιστότερος ὢν τριάκοντα φυλὰς ἐπὶ Τυλλίου τὰς πάσας γενέσθαι λέγει καὶ οὐ χωρίζει τῶν μοιρῶν
2 τὸν ἀριθμόν. διελὼν δ' οὖν ὁ Τύλλιος εἰς ὁπόσας δήποτε μοίρας τὴν γῆν κατὰ τοὺς ὀρεινοὺς καὶ πολὺ τὸ ἀσφαλὲς τοῖς γεωργοῖς παρέχειν δυνησομένους ὄχθους κρησφύγετα κατεσκεύασεν, Ἑλληνικοῖς ὀνόμασιν αὐτὰ καλῶν Πάγους, ἔνθα συνέφευγον ἐκ τῶν ἀγρῶν ἅπαντες, ὁπότε γένοιτο πολεμίων ἔφοδος, καὶ τὰ πολλὰ
3 διενυκτέρευον ἐνταῦθα. ἄρχοντες δὲ καὶ τούτων ἦσαν, οἷς ἐπιμελὲς ἐγίνετο τά τ' ὀνόματα τῶν γεωργῶν εἰδέναι τῶν συντελούντων εἰς τὸν αὐτὸν πάγον, καὶ

1 τιθαυσευόμενοι Ba 4 διεῖλ⟨ε⟩ B 5 τε add. B 6 αὐτὰς B αὐτὸς R | ἐκάλει Reiske 7 post τέτταρας sequuntur in O haec verba: τριάκοντα φυλὰς ἀμφοτέρων Κάτων μέντοι τούτων ἐπὶ Τυλλίου τὰς πάσας γενέσθαι λέγει, in ACD ante τριάκοντα legitur καί. Verba Κάτων μέντοι τούτων ἀμφοτέρων Sigonio auctore Niebuhrius Hist. rom. I not. 973 post φυλὰς v. 10 transposuit, quem secutus est Kiesslingius. Ego verba hoc modo collocanda esse censui 8 ὥστε — v. 10 πέντε om. O praeter BC 12 τὰς συμπάσας c. Kiessling | οὐχ ὁρίζει R οὐχ ὡρίζει B 15 ⟨ὄχθ⟩ους ABb ἐχθροὺς Ba 18 τὰ πολλὰ] ποίμνια — διενυκτέρευεν c. Kiessling Pr. Bas. p. 12

τὰς κτήσεις, ἐν αἷς ὁ βίος αὐτῶν ἦν· καὶ ὁπότε χρεία γένοιτο ἐπὶ τὰ ὅπλα τοὺς χωρίτας καλεῖν ἢ χρημάτων εἰσφορὰς κατ᾽ ἄνδρα ἐκλέγειν, οὗτοι τά τε σώματα συνῆγον καὶ τὰ χρήματα εἰσέπραττον. ἵνα δὲ καὶ τού-
575 των ἡ πληθὺς μὴ δυσεύρετος, ἀλλ᾽ εὐλόγιστος ᾖ καὶ φανερά, βωμοὺς ἐκέλευσεν αὐτοῖς ἱδρύσασθαι θεῶν ἐπισκόπων τε καὶ φυλάκων τοῦ πάγου, οὓς ἔταξε θυσίαις κοιναῖς γεραίρειν καθ᾽ ἕκαστον ἐνιαυτὸν ἅμα συνερχομένους, ἑορτήν τινα καὶ ταύτην ἐν τοῖς πάνυ τιμίαν καταστησάμενος, τὰ καλούμενα Παγανάλια· καὶ νόμους ὑπὲρ τῶν ἱερῶν τούτων, οὓς ἔτι διὰ φυλακῆς
ἔχουσι Ῥωμαῖοι, συνέγραψεν. εἰς δὲ τὴν θυσίαν ταύ- 4
την καὶ τὴν σύνοδον ἅπαντας ἐκέλευσε τοὺς ὁμοπάγους κατὰ κεφαλὴν ὡρισμένον νόμισμά τι συνεισφέρειν, ἕτερον μέν τι τοὺς ἄνδρας, ἕτερον δέ τι τὰς γυναῖκας, ἄλλο δέ τι τοὺς ἀνήβους. ἐξ οὗ συναριθμηθέντος ὑπὸ τῶν ἐφεστηκότων τοῖς ἱεροῖς φανερὸς ὁ τῶν ἀνθρώπων ἀριθμὸς ἐγίνετο κατὰ γένη τε καὶ καθ᾽ ἡλι-
κίας. ὡς δὲ Πείσων Λεύκιος ἐν τῇ πρώτῃ τῶν ἐνιαυ- 5
σίων ἀναγραφῶν ἱστορεῖ, βουλόμενος καὶ τῶν ἐν ἄστει διατριβόντων τὸ πλῆθος εἰδέναι, τῶν τε γεννωμένων καὶ τῶν ἀπογινομένων καὶ τῶν εἰς ἄνδρας ἐγγραφομένων, ἔταξεν ὅσον ἔδει νόμισμα καταφέρειν ὑπὲρ
676 ἑκάστου τοὺς προσήκοντας, εἰς μὲν τὸν τῆς Εἰλειθυίας θησαυρόν, ἣν Ῥωμαῖοι καλοῦσιν Ἥραν φωσφόρον, ὑπὲρ τῶν γεννωμένων· εἰς δὲ τὸν τῆς Ἀφροδίτης ⟨τῆς⟩ ἐν ἄλσει καθιδρυμένης, ἣν προσαγορεύουσι Λιβιτίνην,

1 χρε⟨έ⟩α Bb 5 ἢ add. B 9 ἐν ταῖς O corr. Sintenis Em. Dion. II 32 13 ὁμοπάλους A 26 τῆς add. Kiessling 27 προσαγορεύουσι . ναϊβιτίνην B προσαγορεύουσιν βιτίνην R | ἀπογ⟨ι⟩νομένων B ἀπογενομένων c. Cobet Obs. p. 79

ὑπὲρ τῶν ἀπογινομένων· εἰς δὲ τὸν τῆς Νεότητος,
ὑπὲρ τῶν εἰς ἄνδρας ἀρχομένων συντελεῖν· ἐξ ὧν
ἤμελλε διαγνώσεσθαι καθ' ἕκαστον ἐνιαυτόν, ὅσοι τε
οἵ σύμπαντες ἦσαν καὶ τίνες ἐξ αὐτῶν τὴν στρατεύ-
6 σιμον ἡλικίαν εἶχον. ταῦτα καταστησάμενος ἐκέλευσεν
ἅπαντας Ῥωμαίους ἀπογράφεσθαί τε καὶ τιμᾶσθαι τὰς
οὐσίας πρὸς ἀργύριον ὀμόσαντας τὸν νόμιμον ὅρκον,
ἦ μὲν τἀληθῆ καὶ ἀπὸ παντὸς τοῦ βελτίστου τετιμῆ-
σθαι, πατέρων τε ὧν εἰσι γράφοντας καὶ ἡλικίαν ἣν
ἔχουσι δηλοῦντας γυναῖκάς τε καὶ παῖδας ὀνομάζοντας
καὶ ἐν τίνι κατοικοῦσιν ἕκαστοι τῆς πόλεως ⟨φυλῇ⟩
ἢ πάγῳ τῆς χώρας προστιθέντας· τῷ δὲ μὴ τιμησα-
μένῳ τιμωρίαν ὥρισε τῆς τ' οὐσίας στέρεσθαι καὶ
αὐτὸν μαστιγωθέντα πραθῆναι· καὶ μέχρι πολλοῦ δι-
έμεινε παρὰ Ῥωμαίοις οὗτος ὁ νόμος.

XVI. Τιμησαμένων δὲ πάντων ἀναλαβὼν τὰ γραμ-
ματεῖα καὶ διαγνοὺς τό τε πλῆθος αὐτῶν καὶ τὰ με- 67'
γέθη τῶν βίων σοφώτατον ἁπάντων πολιτευμάτων
εἰσηγήσατο καὶ μεγίστων Ῥωμαίοις ἀγαθῶν αἴτιον, ὡς
2 τὰ ἔργα ἐδήλωσε. τὸ δὲ πολίτευμα τοιόνδε ἦν· μίαν
ἀφεῖλεν ἐξ ἁπάντων μοῖραν, ἧς τὸ μέγιστον ἦν τίμημα
τῆς οὐσίας οὐκ ἔλαττον ἑκατὸν μνῶν. τούτους δὲ
συντάξας εἰς ὀγδοήκοντα λόχους ὅπλα φέρειν ἐπέταξεν
ἀσπίδας Ἀργολικὰς καὶ δόρατα καὶ κράνη χάλκεα καὶ
θώρακας καὶ κνημῖδας καὶ ξίφη. διελὼν δ' αὐτοὺς

1 νε⟨ό⟩τητος B 8 τετιμῆσθαι O τετιμήσεσθαι Reiske τιμήσεσθαι Kiessling 11 πόλεως ἢ O π. τόπῳ ἢ vulgo, π. φυλῇ ἢ Kiessling auctore Büchelero 12 προστιθέντες A 18 πάντων O corr. Kiessling | πολίτευμα Cobet Obs. p. 79 25 κνῆδας A

διχῇ, τετταράκοντα μὲν ἐποίησε νεωτέρων λόχους, οἷς
τὰς ὑπαιθρίους ἀπέδωκε στρατείας, τετταράκοντα δὲ
πρεσβυτέρων, οὓς ἔδει τῆς νεότητος εἰς πόλεμον ἐξιού-
σης ὑπομένοντας ἐν τῇ πόλει τὰ ἐντὸς τείχους φύλατ-
678τειν. αὕτη πρώτη σύνταξις ἦν· χώραν δὲ κατεῖχεν ἐν 3
τοῖς πολέμοις τὴν προαγωνιζομένην τῆς φάλαγγος ὅλης.
ἔπειτ' ἐκ τῶν ὑπολειπομένων ἑτέραν ἀφῄρει μοῖραν,
οἷς ἦν ἐντὸς μὲν μυρίων δραχμῶν, οὐ μεῖον δὲ πέντε
καὶ ἑβδομήκοντα μνῶν τὸ τίμημα. συντάξας δὲ τού-
τους εἰς εἴκοσι λόχους τὰ μὲν ἄλλα φορεῖν ὅπλα προσ-
έταξεν, ὅσα τοὺς προτέρους, τοὺς δὲ θώρακας αὐτῶν
ἀφεῖλε, καὶ ἀντὶ τῶν ἀσπίδων ἀνέδωκε θυρεούς. διελὼν
δὲ καὶ τούτων τοὺς ὑπὲρ τετταράκοντα καὶ πέντε ἔτη
γεγονότας ἀπὸ τῶν ἐχόντων τὴν στρατεύσιμον ἡλικίαν,
δέκα μὲν ἐποίησε λόχους νεωτέρων, οὓς ἔδει προπο-
λεμεῖν τῆς πόλεως, δέκα δὲ πρεσβυτέρων, οἷς ἀπέδωκε
τειχοφυλακεῖν. αὕτη δευτέρα σύνταξις ἦν, ἐκοσμεῖτο δ'
ἐν τοῖς ἀγῶσι μετὰ τοὺς προμάχους. τὴν δὲ τρίτην 4
ἐποίει σύνταξιν ἐκ τῶν ὑπολειπομένων, ὅσοι τίμησιν
εἶχον ἐλάττονα μὲν τῶν ἑπτακισχιλίων καὶ πεντακο-
σίων δραχμῶν, οὐ μείονα δὲ μνῶν πεντήκοντα. τού-
των δ' ἐμείωσε τὸν ὁπλισμὸν οὐ μόνον τοῖς θώραξιν,
ὥσπερ τῶν δευτέρων, ἀλλὰ καὶ ταῖς περικνημῖσι. συν- 5
679έταξε δὲ καὶ τούτους εἰς εἴκοσι λόχους καὶ διεῖλε τὸν
αὐτὸν τρόπον τοῖς προτέροις καθ' ἡλικίας, δέκα λόχους
ἀποδοὺς τοῖς νεωτέροις καὶ δέκα τοῖς πρεσβυτέροις.

1 οἷς — πρεσβυτέρων om. A 4 ἐντὸς τοῦ τείχους A 5 πρώτη add. Bb 8 οἷς] ἧς O praeter B 9 τοὺς O τούτους Kiessling 11 ὅσα τοὺς ἄλλους ἤτοι προτέρους A 12 ἀπέδωκε c. Bücheler 15 οὗς A 17 σύνταξ⟨ι⟩ς B 19 ὑπολιπομένων Ba 25 ἡλικίας AB

χώρα δὲ καὶ στάσις ἦν τούτων τῶν λόχων ἐν ταῖς μάχαις ἡ μετὰ τοὺς ἐφεστῶτας τοῖς προμάχοις.

XVII. Ἀφελὼν δὲ πάλιν ἐκ τῶν ὑπολειπομένων τοὺς ἐλάττω πεντακισχιλίων δραχμῶν ἔχοντας οὐσίαν ἄχρι πέντε καὶ εἴκοσι μνῶν, τετάρτην ἐποίησε μοῖραν. διέταξε δὲ καὶ τούτους εἰς εἴκοσι λόχους, καὶ δέκα μὲν ἐποίησε τῶν ἐν ἀκμῇ, δέκα δὲ τῶν ὑπερηλίκων κατὰ ταὐτὰ τοῖς προτέροις. ὅπλα δὲ φέρειν ἔταξεν αὐτοὺς θυρεοὺς καὶ ξίφη καὶ δόρατα καὶ στάσιν ἔχειν
2 ἐν τοῖς ἀγῶσι τὴν ὑστάτην. τὴν δὲ πέμπτην μοῖραν, 68(
οἷς ἐντὸς εἴκοσι καὶ πέντε μνῶν ἄχρι δώδεκα καὶ ἡμίσους μνῶν ὁ βίος ἦν, εἰς τριάκοντα συνέταξε λόχους. διῄρηντο δὲ καὶ οὗτοι καθ' ἡλικίαν· πεντεκαίδεκα μὲν γὰρ ἐξ αὐτῶν λόχοι τοὺς πρεσβυτέρους εἶχον, πεντεκαίδεκα δὲ τοὺς νεωτέρους. τούτους ἔταξε σαυνία καὶ
3 σφενδόνας ἔχοντας ἔξω τάξεως συστρατεύεσθαι. τέτταρας δὲ λόχους οὐδὲν ἔχοντας ὅπλον ἀκολουθεῖν ἐκέλευσε τοῖς ἐνόπλοις· ἦσαν δὲ τῶν τεττάρων τούτων δύο μὲν ὁπλοποιῶν τε καὶ τεκτόνων καὶ τῶν ἄλλων τῶν κατασκευαζόντων τὰ εἰς τὸν πόλεμον εὔχρηστα· δύο δὲ σαλπιστῶν τε καὶ βυκανιστῶν καὶ τῶν ἄλλοις τισὶν ὀργάνοις ἐπισημαινόντων τὰ παρακλητικὰ τοῦ πολέμου. προσέκειντο δ' οἱ μὲν χειροτέχναι τοῖς τὸ δεύτερον ἔχουσι τίμημα διῃρημένοι καθ' ἡλικίαν, ὁ μὲν τοῖς πρεσβυτέροις, ὁ δὲ τοῖς νεωτέροις ἀκολουθῶν 68:
4 λόχος. οἱ δὲ σαλπισταί τε καὶ οἱ βυκανισταὶ τῇ τε-

1 στάσ⟨ι⟩ς B 7 τῶν add. Bb | ὑπερηλί⟨κ⟩ων B 12 εἰς om. A 13 μὲν et ἐξ add. B 16 συ. στρατεύεσθαι B 21 τε καὶ τυμβανιστῶν A 22 ἐπισημ⟨αι⟩νόντων ABb ἐπισημ⟨α⟩νόντων Ba σημαινόντων c. Stephanus 26 βυκανισταὶ] τυμβανισταί A λόχοις ABa λόχοις Bb, sed ι littera deleta videtur esse

τάρτῃ συνετάττοντο μοίρᾳ. ἦν δὲ καὶ τούτων εἷς μὲν τῶν πρεσβυτέρων λόχος, εἷς δὲ τῶν νεωτέρων· λοχαγοὶ δ' ἐξ ἁπάντων ἐπιλεχθέντες οἱ γενναιότατοι τὰ πολέμια τοὺς ἰδίους ἕκαστοι λόχους εὐπειθεῖς τοῖς παραγγελλομένοις παρείχοντο.

XVIII. *Αὕτη* μὲν ἡ διακόσμησις ἦν ἡ τὸ πεζικὸν ἐκπληροῦσα τῶν τε φαλαγγιτῶν καὶ τῶν ψιλῶν στράτευμα· τὸ δὲ τῶν ἱππέων πλῆθος ἐπέλεξεν ἐκ τῶν ἐχόντων τὸ μέγιστον τίμημα καὶ κατὰ γένος ἐπιφανῶν· συνέταξε δ' εἰς ὀκτωκαίδεκα λόχους καὶ προσένειμεν αὐτοὺς τοῖς πρώτοις τῶν φαλαγγιτῶν ὀγδοήκοντα λόχοις· εἶχον δὲ καὶ οὗτοι τοὺς ἐπιφανεστάτους λοχαγούς. τοὺς δὲ λοιποὺς πολίτας, οἳ τίμησιν εἶχον ἐλάτ- 2
τονα δώδεκα καὶ ἡμίσους μνῶν, πλείους ⟨τὸν⟩ ἀριθμὸν ὄντας τῶν προτέρων, ἅπαντας εἰς ἕνα συντάξας λόχον στρατείας τ' ἀπέλυσε καὶ πάσης εἰσφορᾶς ἐποίησεν
382 ἀτελεῖς. ἐγένοντο δὴ συμμορίαι μὲν ἕξ, ἃς Ῥωμαῖοι καλοῦσι κλάσσεις, [κατὰ] τὰς Ἑλληνικὰς κλήσεις παρονομάσαντες· ὃ γὰρ ἡμεῖς ῥῆμα προστακτικῶς σχηματίσαντες ἐκφέρομεν, κάλει, τοῦτ' ἐκεῖνοι λέγουσι κάλα καὶ τὰς κλάσσεις ⟨τὸ⟩ ἀρχαῖον ἐκάλουν καλέσεις· λόχοι 3
δ', οὓς αἱ συμμορίαι περιελάμβανον, ἑκατὸν καὶ ἐνενηκοντατρεῖς. ἐπεῖχον δὲ τὴν μὲν πρώτην συμμορίαν ὀκτὼ καὶ ἐνενήκοντα λόχοι σὺν τοῖς ἱππεῦσι· τὴν δὲ

2 τῶν add. ABb 3 *ἐκ πάντων O | γενναιότεροι O praeter B 14 δώδεκα om. A | τὸν add. Sylburg 18 *κλασ.εις B καὶ A | κατὰ Bb del. Kiessling 21 ἀρχαῖον O τὸ addidi τἀρχαῖον c. Kiessling | κλάσεις ABb κλ///γεις Ba | καλέσεις O καλάσεις c. Bücheler 22 ἐνενηκοντατρεῖς A ἐνενηκοντ Ba ατρεῖς add. Bb 23 ἐπεῖχον — ἐνενήκοντα add. in mge Bb superscript. κει^μν 24 σὺν τοῖς — καὶ δύο in mge A

δευτέραν εἴκοσι καὶ δύο σὺν τοῖς χειροτέχναις· τὴν δὲ τρίτην εἴκοσι· τὴν δὲ τετάρτην πάλιν εἴκοσί καὶ δύο σὺν τοῖς σαλπισταῖς καὶ βυκανισταῖς· τὴν δὲ πέμπτην τριάκοντα· τὴν δ' ἐπὶ πάσαις τεταγμένην εἷς λόχος ὁ τῶν ἀπόρων.

XVIIII. Ταύτῃ τῇ διακοσμήσει χρησάμενος τὰς μὲν τῶν στρατιωτῶν καταγραφὰς κατὰ τὴν διαίρεσιν ἐποιεῖτο τὴν τῶν λόχων, τὰς δὲ τῶν εἰσφορῶν ἐπιταγὰς κατὰ τὰ τιμήματα τῶν βίων. ὁπότε γὰρ αὐτῷ δεήσειε 683 μυρίων ἢ δισμυρίων, εἰ τύχοι, στρατιωτῶν, καταδιαιρῶν τὸ πλῆθος εἰς τοὺς ἑκατὸν ἐνενηκοντατρεῖς λόχους τὸ ἐπιβάλλον ἑκάστῳ λόχῳ πλῆθος ἐκέλευε παρέχειν ἕκαστον λόχον· τὴν δὲ δαπάνην τὴν εἰς τὸν ἐπισιτισμὸν τῶν στρατευομένων καὶ εἰς τὰς ἄλλας χορηγίας τὰς πολεμικὰς ἐπιτελεσθησομένην συμμετρησάμενος, ὁπόση τις ἀρκοῦσα ἔσται, διαιρῶν τὸν αὐτὸν τρόπον εἰς τοὺς ἑκατὸν ἐνενηκοντατρεῖς λόχους, τὸ ἐκ τῆς τιμήσεως ἐπιβάλλον ἑκάστῳ διάφορον ἅπαντας ἐκέλευεν
2 εἰσφέρειν. συνέβαινεν οὖν τοῖς τὰς μεγίστας ἔχουσιν οὐσίας ἐλάττοσι μὲν οὖσιν, εἰς πλείονας δὲ λόχους μεμερισμένοις, στρατεύεσθαί τε πλείους στρατείας οὐδέποτε ἀναπαυομένους καὶ χρήματα πλείω τῶν ἄλλων εἰσφέρειν· τοῖς δὲ τὰ μέτρια καὶ μικρὰ κεκτημένοις πλείοσιν οὖσιν ἐν ἐλάττοσι λόχοις, στρατεύεσθαί τ' ὀλιγάκις καὶ ἐκ διαδοχῆς καὶ βραχείας συντελεῖν εἰσ-

12 τὸ δὲ AB | ἑκάστῳ λόχῳ πλῆθος del. Bücheler 18 ἐκέλευσεν O ἐκέλευεν c. Kiessling 22 ἀναπαυομένας A 24 εἴκοσιν οὖσιν ἐλάττοσι ἐλάττοσι λόχοις B πλείοσιν οὖσιν ἐλάττοσι λόχοις A πλείοσιν οὖσιν, ἐν ἐλάττοσι δὲ λόχοις Reiske 25 καὶ om. B

φορᾶς· τοῖς δ' ἐλάττω τῶν ἱκανῶν κεκτημένοις ἀφεῖ-
584 σθαι πάντων ὀχληρῶν. ἐποίει δὲ τούτων ἕκαστον οὐκ 3
ἄτερ αἰτίας, ἀλλὰ πεπεισμένος, ὅτι πᾶσιν ἀνθρώποις ἆθλα τῶν πολέμων ἐστὶ τὰ χρήματα καὶ περὶ τῆς τούτων φυλακῆς ἅπαντες κακοπαθοῦσιν· ὀρθῶς οὖν ἔχειν ᾤετο τοὺς μὲν περὶ μειζόνων κινδυνεύοντας ἄθλων μείζονας ὑπομένειν κακοπαθείας τοῖς τε σώμασι καὶ τοῖς χρήμασι, τοὺς δὲ περὶ ἐλαττόνων ἧττον ἐνοχλεῖσθαι κατ' ἀμφότερα, τοὺς δὲ περὶ μηδενὸς δεδοικότας μηδὲν κακοπαθεῖν, τῶν μὲν εἰσφορῶν ἀπολυομένους διὰ τὴν ἀπορίαν, τῶν δὲ στρατειῶν διὰ τὴν ἀνεισφορίαν. οὐ γὰρ ἐλάμβανον ἐκ τοῦ δημοσίου τότε Ῥωμαῖοι στρατιωτικοὺς μισθούς, ἀλλὰ τοῖς ἰδίοις τέλεσιν ἐστρατεύοντο. οὔτε δὴ χρήματα συνεισφέρειν 4
τοὺς οὐκ ἔχοντας, ὁπόθεν συνεισοίσουσιν, ἀλλὰ τῶν
585 καθ' ἡμέραν ἀναγκαίων ἀπορουμένους ᾤετο δεῖν, οὔτε μηδὲν συμβαλλομένους στρατεύεσθαί τινας ἐκ τῶν ἀλλοτρίων ὀψωνιαζομένους χρημάτων, ὥσπερ [τοὺς] μισθοφόρους.

XX. Τοῦτον δὲ τὸν τρόπον ἅπαν ἐπιθεὶς τὸ βάρος τοῖς πλουσίοις τῶν τε κινδύνων καὶ τῶν ἀναλωμάτων, ὡς εἶδεν ἀγανακτοῦντας αὐτούς, δι' ἑτέρου τρόπου τήν τ' ἀθυμίαν αὐτῶν παρεμυθήσατο καὶ τὴν ὀργὴν ἐπράυνε πλεονέκτημα δωρησάμενος, ἐξ οὗ πάσης ἔμελλον τῆς πολιτείας ἔσεσθαι κύριοι, τοὺς πένητας ἀπελάσας ἀπὸ τῶν κοινῶν· καὶ τοῦτο διαπραξάμενος ἔλαθε

1 τετιμημένοις O κεκτημένοις Cobet Obs. p. 80 11 τῶν δὲ — εἰσφορὰν om. A εἰσφορὰν O ἀνεισφορίαν c. Fischer de aliquot locis Dion. 1859 p. 12 14 οὔτε δὲ O corr. Reiske 18 τοὺς del. Cobet Obs. p. 80 22 ἴδεν Ba εἶδεν ABb 25 ἀπελάσαντες O corr. Sintenis Em. Dion. II 13

τοὺς δημοτικούς. ἦν δὲ τὸ πλεονέκτημα περὶ τὰς ἐκ-
κλησίας, ἐν αἷς τὰ μέγιστα ἐπεκυροῦτο ὑπὸ τοῦ δήμου.
2 εἴρηται δέ μοι καὶ πρότερον, ὅτι τριῶν πραγμάτων ὁ
δῆμος ἐκ τῶν παλαιῶν νόμων κύριος ἦν τῶν μεγίστων
τε καὶ ἀναγκαιοτάτων, ἀρχὰς ἀποδεῖξαι τάς τε κατὰ
πόλιν καὶ τὰς ἐπὶ στρατοπέδου, καὶ νόμους τοὺς μὲν
ἐπικυρῶσαι, τοὺς δ' ἀνελεῖν, καὶ περὶ πολέμου συνι-
σταμένου τε καὶ καταλυομένου διαγνῶναι. τὴν δὲ περὶ 686
τούτων διάσκεψιν καὶ κρίσιν ἐποιεῖτο κατὰ τὰς φρά-
τρας ψηφοφορῶν· καὶ ἦσαν οἱ τἀλάχιστα κεκτημένοι
τοῖς τὰς μεγίστας ἔχουσιν οὐσίας ἰσόψηφοι· ὀλίγων
δ' ὄντων, ὥσπερ εἰκός, τῶν πλουσίων, οἱ πένητες ἐν
ταῖς ψηφοφορίαις ἐπεκράτουν μακρῷ πλείους ὄντες
3 ἐκείνων. τοῦτο συνιδὼν ὁ Τύλλιος ἐπὶ τοὺς πλου-
σίους μετέθηκε τὸ τῶν ψήφων κράτος. ὁπότε γὰρ
ἀρχὰς ἀποδεικνύειν ἢ περὶ νόμου διαγινώσκειν ἢ πό-
λεμον ἐκφέρειν δόξειεν αὐτῷ, τὴν λοχῖτιν ἀντὶ τῆς
φρατρικῆς συνῆγεν ἐκκλησίαν. ἐκάλει δ' εἰς ἀπόφασιν
γνώμης πρώτους μὲν λόχους τοὺς ἀπὸ τοῦ μεγίστου
τιμήματος καταγραφέντας, ἐν οἷς ἦσαν οἵ τε τῶν ἱπ-
4 πέων ὀκτωκαίδεκα καὶ οἱ τῶν πεζῶν ὀγδοήκοντα. οὗτοι 68
τρισὶ πλείους ὄντες τῶν ὑπολειπομένων εἰ ταὐτὸ
φρονήσειαν, ἐκράτουν τῶν ἑτέρων καὶ τέλος εἶχεν ἡ
γνώμη· εἰ δὲ μὴ γένοιντο ἐπὶ τῆς αὐτῆς προαιρέσεως
ἅπαντες οὗτοι, τότε τοὺς ἀπὸ τοῦ δευτέρου τιμήματος
εἴκοσι καὶ δύο λόχους ἐκάλει. μερισθεισῶν δὲ καὶ

2 ἐπεκυροῦντο O corr. Kiessling 5 κατὰ τὴν πόλιν c. Ambrosch ad l. II 9 9 διάσκεψιν καὶ om. B 10 ψηφη-φορῶν Bb *τὰ ἐλάχιστα O 22 ὄντες add. B | τρισὶ] τρεῖς ἢ O praeter B εἴςτο Ba εἰ τὸ R | *τὸ αὐτὸ O

τότε τῶν ψήφων τοὺς ἀπὸ τοῦ τρίτου τιμήματος ἐκάλει· καὶ τετάρτους τοὺς ἀπὸ τοῦ τετάρτου τιμήματος. καὶ τοῦτ' ἐποίει μέχρι τοῦ γενέσθαι λόχους ἑπτὰ καὶ ἐνενήκοντα ἰσοψήφους. εἰ δὲ μέχρι τῆς πέμπτης κλήσεως 5
μὴ τύχοι τοῦτο γενόμενον, ἀλλ' εἰς ἴσα μέρη σχισθεῖεν αἱ τῶν ἑκατὸν ἐνενήκοντα δύο λόχων γνῶμαι, τότε τὸν ἔσχατον ἐκάλει λόχον, ἐν ᾧ τὸ τῶν ἀπόρων καὶ διὰ τοῦτ' ἀφειμένων ἁπάσης στρατείας τε καὶ εἰσφορᾶς πολιτῶν πλῆθος ἦν· ὁποτέρᾳ δὲ προσθοῖτο τῶν μερίδων οὗτος ὁ λόχος, αὕτη τὸ κράτος ἐλάμβανε. τοῦτο δ' ἦν σπάνιον καὶ οὐ μακρὰν ἀπέχον τἀδυνάτου. τὰ
388 πολλὰ μὲν γὰρ ἐπὶ τῆς πρώτης κλήσεως τέλος ἐλάμβανεν, ὀλίγα δὲ μέχρι τῆς τετάρτης προὔβαινεν· ἡ δὲ πέμπτη κλῆσις καὶ ἡ τελευταία παρείλκοντο.

XXI. Τοῦτο τὸ πολίτευμα καταστησάμενος καὶ πλεονέκτημα τοῖς πλουσίοις τηλικοῦτο δοὺς ἔλαθε τὸν δῆμον, ὥσπερ ἔφην, καταστρατηγήσας καὶ τοὺς πένητας ἀπελάσας τῶν κοινῶν. ὑπελάμβανον μὲν γὰρ ἅπαντες ἴσον ἔχειν τῆς πολιτείας μέρος κατ' ἄνδρα διερωτώμενοι τὰς γνώμας ἐν τοῖς ἰδίοις ἕκαστοι λόχοις, ἐξηπατῶντο δὲ τῷ μίαν εἶναι ψῆφον ὅλου τοῦ λόχου τοῦ τ' ὀλίγους ἔχοντος ἐν αὑτῷ πολίτας καὶ τοῦ πάνυ πολλούς· καὶ τῷ πρώτους ἐπιφέρειν ψῆφον τοὺς τὸ μέγιστον ἔχοντας τίμημα λόχους, πλείους μὲν ὄντας τῶν ὑπολειπομένων, ἐλάττονα δ' ἀριθμὸν ἀνθρώπων ἔχοντας· μάλιστα δὲ τῷ τοὺς ἀπόρους μίαν ψῆφον ἔχειν πολλοὺς ὄντας καὶ τελευταίους καλεῖσθαι. γενο- 2

1 τοὺς om. B 10 αὐτὴ B 11 ἀδυνάτου O corr. Hertlein Hermes X 412 14 παρεῖλκον c. Cobet Obs. p. 80 21 τὸ μίαν A 22 αὐτῷ B 25 ἀπολειπομένων B

μένου δὲ τούτου τοῖς μὲν πλουσίοις τοῖς πολλὰ δαπανωμένοις καὶ μηδεμίαν ἀνάπαυσιν τῶν πολεμικῶν 689 κινδύνων λαμβάνουσιν ἧττον ἐσῄει βαρύνεσθαι κυρίοις τε γεγονόσι τῶν μεγίστων καὶ πᾶν τὸ κράτος ἀφῃρημένοις τῶν μὴ ταὐτὰ ποιούντων· τοῖς δὲ πένησι τοῖς πολλοστὴν ἔχουσι τῶν πολιτικῶν μοῖραν εὐλογίστως καὶ πρᾴως φέρειν τὴν ἐν τούτοις ἐλάττωσιν, ἀφειμένοις τῶν εἰσφορῶν καὶ τῶν στρατειῶν· τῇ δὲ πόλει τοὺς αὐτοὺς ἔχειν τοὺς βουλευσομένους θ' ὑπὲρ αὐτῆς ἃ δεῖ, καὶ τοὺς τῶν κινδύνων πλεῖστον τῶν
3 ἄλλων μεταλαχόντας καὶ πράξοντας ὅσα δεῖ. οὗτος ὁ κόσμος τοῦ πολιτεύματος ἐπὶ πολλὰς διέμεινε γενεὰς φυλαττόμενος ὑπὸ Ῥωμαίων· ἐν δὲ τοῖς καθ' ἡμᾶς κεκίνηται χρόνοις καὶ μεταβέβληκεν εἰς τὸ δημοτικώτερον, ἀνάγκαις τισὶ βιασθεὶς ἰσχυραῖς, οὐ τῶν λόχων καταλυθέντων, ἀλλὰ τῆς κλήσεως αὐτῶν οὐκέτι τὴν 690 ἀρχαίαν ἀκρίβειαν φυλαττούσης, ὡς ἔγνων ταῖς ἀρχαιρεσίαις αὐτῶν πολλάκις παρών. ἀλλ' ὑπὲρ μὲν τούτων οὐχ ὁ παρὼν καιρὸς ἁρμόττων τοῖς λόγοις.

XXII. Τότε δ' οὖν ὁ Τύλλιος ἐπειδὴ διέταξε τὸ περὶ τὰς τιμήσεις, κελεύσας τοὺς πολίτας ἅπαντας συνελθεῖν εἰς τὸ μέγιστον τῶν πρὸ τῆς πόλεως πεδίων ἔχοντας τὰ ὅπλα καὶ τάξας τούς θ' ἱππεῖς κατὰ τέλη καὶ τοὺς πεζοὺς ἐν φάλαγγι καὶ τοὺς ἐσταλμένους τὸν

3 ἐσῄει] ἐποίει O praeter B ἐπῄει Reiske 5 ποιούντων O φρονούντων vel πονούντων c. Kiessling τελούντων c. Grasberger Tess. Herbip. p. 18 9 post πόλει add. περιῇν Reiske 9 et 10 τοὺς del. Reiske 10 πλεῖον c. Kiessling 11 καταπράξοντας c. Bücheler πλείστων μεταλαχόντας καὶ τῶν ἄλλων πράξοντας c. Grasberger l. l. p. 19 16 κλήσεως B κρίσεως R 18 πολλάκι B 20 διετάξατο A 23 τάξας] τὰ ἑξῆς B 24 ἐσταλμένους ἐς c. Reiske

ψιλικὸν ὁπλισμὸν ἐν τοῖς ἰδίοις ἑκάστους λόχοις καθαρ-
μὸν αὐτῶν ἐποιήσατο ταύρῳ καὶ κριῷ καὶ τράγῳ. τὰ
δ' ἱερεῖα ταῦτα τρὶς περιαχθῆναι περὶ τὸ στρατόπεδον
κελεύσας ἔθυσε τῷ κατέχοντι τὸ πεδίον Ἄρει. τοῦτον 2
τὸν καθαρμὸν ἕως τῶν κατ' ἐμὲ χρόνων Ῥωμαῖοι κα-
θαίρονται μετὰ τὴν συντέλειαν τῶν τιμήσεων ὑπὸ τῶν
ἐχόντων τὴν ἱερωτάτην ἀρχὴν Λοῦστρον ὀνομάζοντες.
ἐγένετο δ' ὁ σύμπας τῶν τιμησαμένων τοὺς βίους
Ῥωμαίων ἀριθμός, ὡς ἐν τοῖς τιμητικοῖς φέρεται γράμ-
μασιν, ἐπὶ μυριάσιν ὀκτὼ χιλιάδες πέντε τριακοσίων
691 ἀποδέουσαι. ἐποιήσατο δὲ καὶ τῆς αὐξήσεως τοῦ πολι- 3
τικοῦ συντάγματος οὐ μικρὰν πρόνοιαν οὗτος ὁ βασι-
λεὺς πρᾶγμα συνιδών, ὃ παρέλιπον ἅπαντες οἱ πρὸ
αὐτοῦ βασιλεῖς. ἐκεῖνοι μὲν γὰρ τοὺς ξένους ὑπο-
δεχόμενοι καὶ μεταδιδόντες τῆς ἰσοπολιτείας φύσιν τ'
ἢ τύχην αὐτῶν οὐδεμίαν ἀπαξιοῦντες, εἰς πολυανθρω-
πίαν προήγαγον τὴν πόλιν. ὁ δὲ Τύλλιος καὶ τοῖς 4
ἐλευθερουμένοις τῶν θεραπόντων, ἐὰν μὴ θέλωσιν εἰς
τὰς ἑαυτῶν πόλεις ἀπιέναι, μετέχειν τῆς ἰσοπολιτείας
ἐπέτρεψε. κελεύσας γὰρ ἅμα τοῖς ἄλλοις ἅπασιν ἐλευ-
θέροις καὶ τούτους τιμήσασθαι τὰς οὐσίας, εἰς φυλὰς
κατέταξεν αὐτοὺς τὰς κατὰ πόλιν τέτταρας ὑπαρχούσας,
ἐν αἷς καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων ταττόμενον
692 διατελεῖ τὸ ἐξελευθερικὸν φῦλον, ὅσον ἂν ῇ· καὶ πάν-

2 τράγῳ] κάπρῳ c. Roscher Ann. phil. 1873 p. 331 3 τρεῖς B 4 ἔθυε O corr. Bücheler 8 τότε τοὺς c. Kiessling 13 παρέλειπον Ba 14 ἀποδεχόμενοι A 15 τε] δὲ Reiske 16 οὐδεμῖἀπάξιοῦντες Bb οὐδεμιανάξιοῦντες Ba 19 ἐπανιέναι c. Reiske 20 ἐπέτρεψε Bb ἐπετρεψ. Bb | κελεύσας B ἐκέλευσεν ἐπιτρέψας R 21 τούτοις A 22 κατὰ τὴν c. Ambrosch 24 διατελεῖ Cobet Obs. p. 80 διετέλει O

των ἀπέδωκε τῶν κοινῶν αὐτοῖς μετέχειν, ὧν τοῖς ἄλλοις δημοτικοῖς.

XXIII. Ἀχθομένων δὲ τῶν πατρικίων ἐπὶ τῷ πράγματι καὶ δυσανασχετούντων συγκαλέσας τὸ πλῆθος εἰς ἐκκλησίαν Πρῶτον μὲν θαυμάζειν, ἔφη, τῶν ἀγανακτούντων, εἰ τῇ φύσει τὸ ἐλεύθερον οἴονται τοῦ δούλου διαφέρειν, ἀλλ' οὐ τῇ τύχῃ· ἔπειτ' εἰ μὴ τοῖς ἤθεσι καὶ τοῖς τρόποις ἐξετάζουσι τοὺς ἀξίους τῶν καλῶν, ἀλλὰ ταῖς συντυχίαις, ὁρῶντες ὡς ἀστάθμητόν ἐστι πρᾶγμα εὐτυχία καὶ ἀγχίστροφον, καὶ οὐδενὶ ῥᾴδιον εἰπεῖν οὐδὲ τῶν πάνυ μακαρίων μέχρι τίνος αὐτῷ
2 παρέσται χρόνου. ἠξίου τ' αὐτοὺς σκοπεῖν, ὅσαι μὲν 693
ἤδη πόλεις ἐκ δουλείας μετέβαλον εἰς ἐλευθερίαν βάρβαροί τε καὶ Ἑλληνίδες, ὅσαι δ' εἰς δουλείαν ἐξ ἐλευθερίας· εὐήθειάν τε πολλὴν αὐτῶν κατεγίνωσκεν, εἰ τῆς ἐλευθερίας τοῖς ἀξίοις τῶν θεραπόντων μεταδιδόντες, τῆς πολιτείας φθονοῦσι· συνεβούλευέ τ' αὐτοῖς, εἰ μὲν πονηροὺς νομίζουσι, μὴ ποιεῖν ἐλευθέρους, εἰ
3 δὲ χρηστούς, μὴ περιορᾶν ὄντας ἀλλοτρίους· ἄτοπόν τε πρᾶγμα ποιεῖν αὐτοὺς ἔφη καὶ ἀμαθὲς ἅπασι τοῖς ξένοις ἐπιτρέποντας τῆς πόλεως μετέχειν καὶ μὴ διακρίνοντας αὐτῶν τὰς τύχας μηδ' εἴ τινες ἐκ δούλων ἐγένοντο ἐλεύθεροι πολυπραγμονοῦντας, τοὺς δὲ παρὰ σφίσι δεδουλευκότας ἀναξίους ἡγεῖσθαι ταύτης τῆς χάριτος· φρονήσει τε διαφέρειν οἰομένους τῶν ἄλλων οὐδὲ τὰ ἐν ποσὶ καὶ κοινότατα ὁρᾶν ἔφασκεν, ἃ καὶ τοῖς φαυλοτάτοις εἶναι πρόδηλα, ὅτι τοῖς μὲν δεσπό-

10 οὐδεν⟨ὶ⟩ B οὐδὲ A 20 ἅπασι μὲν Reiske 21 καὶ διακρίνοντας A καὶ μὴ δ. B 23 τοὺς δὲ O δὲ del. Kiessling 24 ἡγεῖσθαι] ἡγουμένους c. Reiske 27 τυφλοτάτοις c. Kiessling Pr. Bas. p. 13

ταις πολλὴ φροντὶς ἔσται τοῦ μὴ προχείρως τινὰς
694 ἐλευθεροῦν, ὡς τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ἀγαθῶν
οἷς ἔτυχε δωρησομένοις· τοῖς δὲ δούλοις ἔτι μείζων
ὑπάρξει προθυμία χρηστοῖς εἶναι περὶ τοὺς δεσπότας,
ἐὰν μάθωσιν, ὅτι τῆς ἐλευθερίας ἄξιοι κριθέντες εὐ-
δαίμονος εὐθέως καὶ μεγάλης ἔσονται πολῖται πόλεως,
καὶ ταῦθ' ἕξουσιν ἀμφότερα παρὰ τῶν δεσποτῶν τἀγαθά.
τελευτῶν δὲ τὸν περὶ τοῦ συμφέροντος εἰσηγήσατο 4
λόγον τοὺς μὲν ἐπισταμένους ὑπομιμνήσκων, τοὺς δ'
ἀγνοοῦντας διδάσκων, ὅτι πόλει δυναστείας ἐφιεμένῃ
καὶ μεγάλων πραγμάτων ἑαυτὴν ἀξιούσῃ οὐδενὸς οὕτω
δεῖ πράγματος ὡς πολυανθρωπίας, ἵνα διαρκέσῃ πρὸς
πάντας τοὺς πολέμους οἰκείοις ὅπλοις χρωμένη, καὶ
μὴ ξενικοῖς στρατεύμασι καταμισθοφοροῦσα συνεξανα-
λωθῇ τοῖς χρήμασι· καὶ διὰ τοῦτ' ἔφη τοὺς προτέ-
ρους βασιλεῖς ἅπασι μεταδεδωκέναι τῆς πολιτείας τοῖς
ξένοις. εἰ δὲ καὶ τοῦτον καταστήσονται τὸν νόμον, 5
πολλὴν αὐτοῖς ἔλεγεν ἐκ τῶν ἐλευθερουμένων ἐπιτρα-
φήσεσθαι νεότητα καὶ οὐδέποτε ἀπορήσειν τὴν πόλιν
695 οἰκείων ὅπλων, ἀλλ' ἕξειν δυνάμεις αἰεὶ διαρκεῖς, κἂν
πρὸς πάντας ἀνθρώπους ἀναγκασθῇ πολεμεῖν. χωρὶς 6
δὲ τοῦ κοινῇ χρησίμου καὶ ἰδίᾳ πολλὰ ὠφελήσεσθαι
τοὺς εὐπορωτάτους Ῥωμαίων, ἐὰν τοὺς ἀπελευθέρους
ἐῶσι τῆς πολιτείας μετέχειν, ἐν ἐκκλησίαις τε καὶ
ψηφοφορίαις καὶ ταῖς ἄλλαις πολιτικαῖς χρείαις τὰς
χάριτας, ἐν οἷς μάλιστα δέονται πράγμασι, κομιζομέ-

3 ὅτι O ἔτι Kiessling Pr. Bas. p. 13 12 δὲ ἀρκέσῃ Ba διαρκέσῃ Bb διαρκὴς ᾖ A 18 ἐπιγραφήσεσθαι A 20 ἄγειν O αἰεὶ Kiessling Pr. Bas. 13 21 post ἀνθρώπους 2—3 litt. (ut videtur ἂν) erasae sunt 22 ὠφελήσεσθαι B ὠφεληθή-σεσθαι R

νους καὶ τοὺς ἐκ τῶν ἀπελευθέρων γινομένους πελά-
7 τας τοῖς ἐγγόνοις τοῖς ἑαυτῶν καταλείποντας. Τοιαῦτα
λέγοντος αὐτοῦ συνεχώρησαν οἱ πατρίκιοι τὸ ἔθος εἰς
τὴν πόλιν παρελθεῖν, καὶ μέχρι τῶν καθ' ἡμᾶς χρό-
νων ὡς ἕν τι τῶν ἱερῶν καὶ ἀκινήτων νομίμων δια-
τελεῖ τοῦτ' ἐν τῇ πόλει φυλαττόμενον.

XXIIII. Ἐπειδὴ δὲ κατὰ τοῦτο γέγονα τὸ μέρος
τῆς διηγήσεως, ἀναγκαῖον εἶναί μοι δοκεῖ διελθεῖν,
ὡς εἶχε τότε τοῖς Ῥωμαίοις τὰ περὶ τοὺς δούλους ἔθη, 696
ἵνα μήτε τὸν βασιλέα τὸν πρῶτον ἐπιχειρήσαντα τοὺς
δεδουλευκότας ἀστοὺς ποιεῖν μήτε τοὺς παραδεξα-
μένους τὸν νόμον ἐν αἰτίαις σχῇ τις, ὡς ῥιπτοῦντας
2 εἰκῇ τὰ καλά. ἐτύγχανον δὴ τοῖς Ῥωμαίοις αἱ τῶν
θεραπόντων κτήσεις κατὰ τοὺς δικαιοτάτους γινόμεναι
τρόπους. ἢ γὰρ ὠνησάμενοι παρὰ τοῦ δημοσίου τοὺς
ὑπὸ δόρυ πωλουμένους ἐκ τῶν λαφύρων, ἢ τοῦ στρα-
τηγοῦ συγχωρήσαντος ἅμα ταῖς ἄλλαις ὠφελείαις καὶ
τοὺς δορυαλώτους τοῖς λαβοῦσιν ἔχειν ἢ πριαμένοις
παρ' ἑτέρων κατὰ τοὺς αὐτοὺς τρόπους κυρίων γενο-
3 μένων ἐκέκτηντο τοὺς δούλους. οὐδὲν δὴ πρᾶγμα
ποιεῖν αἰσχύνης ἢ βλάβης κοινῆς αἴτιον οὔθ' ὁ Τύλλιος
ὁ καταστησάμενος τὸ ἔθος οὔθ' οἱ παραδεξάμενοι καὶ
διαφυλάξαντες ᾤοντο, εἰ τοῖς ἀφαιρεθεῖσιν ἐν πολέμῳ
τήν τε πατρίδα καὶ τὴν ἐλευθερίαν χρηστοῖς γενομέ-
νοις περὶ τοὺς καταδουλωσαμένους ἢ τοὺς παρὰ τού- 697

2 καταλιπόντας O corr. Kiessling 7 οἴομαι δ' ἐπειδὴ B ἐπειδὴ δὲ R 8 εἶναί μοι δοκεῖ O praeter B 16 ἢ om. B 18 πριαμένοις AB πριάμενοι R πριάμενοι αὐτούς Kiessling 19 τούτους τοὺς τρόπους c. Sylburg 23 ἀφ⟨αι⟩ρεθεῖσιν Bb 24 χρηστοῖς ABb χρῇ τοῖς Ba 25 περὶ τοὺς τὸ πρῶτον αὐτοὺς καταδουλωσαμένους ἢ περὶ τοὺς παρὰ τούτων αὐτοὺς

των πριαμένους ἀμφότερα ταῦτα παρὰ τῶν δεσποτῶν
ὑπάρξει. ἐτύγχανον δὲ τῆς ἐλευθερίας οἱ μὲν πλεῖστοι 4
προῖκα διὰ καλοκἀγαθίαν· καὶ κράτιστος ἀπαλλαγῆς
δεσποτῶν τρόπος οὗτος ἦν· ὀλίγοι δέ τινες λύτρα
κατατιθέντες ἐξ ὁσίων καὶ δικαίων ἐργασιῶν συνα-
χθέντα. ἀλλ' οὐκ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις οὕτω
ταῦτ' ἔχει, ἀλλ' εἰς τοσαύτην σύγχυσιν ἥκει τὰ πράγ-
ματα καὶ τὰ καλὰ τῆς Ῥωμαίων πόλεως οὕτως ἄτιμα
καὶ ῥυπαρὰ γέγονεν, ὥσθ' οἱ μὲν ἀπὸ λῃστείας καὶ
τοιχωρυχίας καὶ πορνείας καὶ παντὸς ἄλλου πονηροῦ
πόρου χρηματισάμενοι τούτων ὠνοῦνται τῶν χρημάτων
698 τὴν ἐλευθερίαν καὶ εὐθὺς εἰσι Ῥωμαῖοι· οἱ δὲ συν- 5
ίστορες καὶ συνεργοὶ τοῖς δεσπόταις γενόμενοι φαρ-
μακειῶν καὶ ἀνδροφονιῶν καὶ τῶν εἰς θεοὺς ἢ τὸ
κοινὸν ἀδικημάτων ταύτας φέρονται παρ' αὐτῶν τὰς
χάριτας· οἱ δ' ἵνα τὸν δημοσίᾳ διδόμενον σῖτον λαμ-
βάνοντες κατὰ μῆνα καὶ εἴ τις ἄλλη παρὰ τῶν ἡγου-
μένων γίγνοιτο τοῖς ἀπόροις τῶν πολιτῶν φιλανθρωπία
φέρωσι τοῖς δεδωκόσι τὴν ἐλευθερίαν· οἱ δὲ διὰ
κουφότητα τῶν δεσποτῶν καὶ κενὴν δοξοκοπίαν. ἔγωγ' 6
οὖν ἐπίσταμαί τινας ἅπασι τοῖς δούλοις συγκεχωρη-
κότας εἶναι ἐλευθέροις μετὰ τὰς ἑαυτῶν τελευτάς, ἵνα
χρηστοὶ καλῶνται νεκροὶ καὶ πολλοὶ ταῖς κλίναις αὐ-
τῶν ἐκκομιζομέναις παρακολουθῶσι τοὺς πίλους ἔχοντες
ἐπὶ ταῖς κεφαλαῖς· ἐν οἷς ἐπόμπευόν τινες, ὡς ἦν

πριαμένους ἀμφότερα ταῦτα παρὰ τῶν δεσποτῶν ὑπάρξει αὖθις τῶν κτησαμένων αὐτοὺς εἰς δουλείαν O praeter AB
1 παρὰ τούτων A 2 ὑπάρξειν A 8 οὕτω B 11 πόρου] τρόπου c. Kiessling 16 οἱ δεῖνα Ba οἱ δ' ἵνα R | δημοσίαι B 20 ἐγὼ γοῦν A 23 χρηστοί τε c. Bücheler 24 παρακολουθοῦσι A | τοὺς πίλους ABb τοὺς σπίλους Ba

νους καὶ τοὺς ἐκ τῶν ἀπελευθέρων γινομένους πελά-
7 τας τοῖς ἐγγόνοις τοῖς ἑαυτῶν καταλείποντας. Τοιαῦτα
λέγοντος αὐτοῦ συνεχώρησαν οἱ πατρίκιοι τὸ ἔθος εἰς
τὴν πόλιν παρελθεῖν, καὶ μέχρι τῶν καθ' ἡμᾶς χρό-
νων ὡς ἕν τι τῶν ἱερῶν καὶ ἀκινήτων νομίμων δια-
τελεῖ τοῦτ' ἐν τῇ πόλει φυλαττόμενον.

XXIIII. Ἐπειδὴ δὲ κατὰ τοῦτο γέγονα τὸ μέρος
τῆς διηγήσεως, ἀναγκαῖον εἶναί μοι δοκεῖ διελθεῖν,
ὡς εἶχε τότε τοῖς Ῥωμαίοις τὰ περὶ τοὺς δούλους ἔθη, 696
ἵνα μήτε τὸν βασιλέα τὸν πρῶτον ἐπιχειρήσαντα τοὺς
δεδουλευκότας ἀστοὺς ποιεῖν μήτε τοὺς παραδεξα-
μένους τὸν νόμον ἐν αἰτίαις σχῇ τις, ὡς ῥιπτοῦντας
2 εἰκῇ τὰ καλά. ἐτύγχανον δὴ τοῖς Ῥωμαίοις αἱ τῶν
θεραπόντων κτήσεις κατὰ τοὺς δικαιοτάτους γινόμεναι
τρόπους. ἢ γὰρ ὠνησάμενοι παρὰ τοῦ δημοσίου τοὺς
ὑπὸ δόρυ πωλουμένους ἐκ τῶν λαφύρων, ἢ τοῦ στρα-
τηγοῦ συγχωρήσαντος ἅμα ταῖς ἄλλαις ὠφελείαις καὶ
τοὺς δορυαλώτους τοῖς λαβοῦσιν ἔχειν ἢ πριαμένοις
παρ' ἑτέρων κατὰ τοὺς αὐτοὺς τρόπους κυρίων γενο-
3 μένων ἐκέκτηντο τοὺς δούλους. οὐδὲν δὴ πρᾶγμα
ποιεῖν αἰσχύνης ἢ βλάβης κοινῆς αἴτιον οὔθ' ὁ Τύλλιος
ὁ καταστησάμενος τὸ ἔθος οὔθ' οἱ παραδεξάμενοι καὶ
διαφυλάξαντες ᾤοντο, εἰ τοῖς ἀφαιρεθεῖσιν ἐν πολέμῳ
τήν τε πατρίδα καὶ τὴν ἐλευθερίαν χρηστοῖς γενομέ-
νοις περὶ τοὺς καταδουλωσαμένους ἢ τοὺς παρὰ τού- 697

2 καταλιπόντας O corr. Kiessling 7 οἴομαι δ' ἐπειδὴ B ἐπειδὴ δὲ R 8 εἶναί μοι δοκεῖ O praeter B 16 ἢ om. B 18 πριαμένοις AB πριάμενοι R πριάμενοι αὐτούς Kiessling 19 τούτους τοὺς τρόπους c. Sylburg 23 ἀφ⟨αι⟩ρεθεῖσιν Bb 24 χρηστοῖς ABb χρῆ τοῖς Ba 25 περὶ τοὺς τὸ πρῶτον αὐτοὺς καταδουλωσαμένους ἢ περὶ τοὺς παρὰ τούτων αὐτοὺς

των πριαμένους ἀμφότερα ταῦτα παρὰ τῶν δεσποτῶν
ὑπάρξει. ἐτύγχανον δὲ τῆς ἐλευθερίας οἱ μὲν πλεῖστοι 4
προῖκα διὰ καλοκἀγαθίαν· καὶ κράτιστος ἀπαλλαγῆς
δεσποτῶν τρόπος οὗτος ἦν· ὀλίγοι δέ τινες λύτρα
κατατιθέντες ἐξ ὁσίων καὶ δικαίων ἐργασιῶν συνα-
χθέντα. ἀλλ' οὐκ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις οὕτω
ταῦτ' ἔχει, ἀλλ' εἰς τοσαύτην σύγχυσιν ἥκει τὰ πράγ-
ματα καὶ τὰ καλὰ τῆς Ῥωμαίων πόλεως οὕτως ἄτιμα
καὶ ῥυπαρὰ γέγονεν, ὥσθ' οἱ μὲν ἀπὸ λῃστείας καὶ
τοιχωρυχίας καὶ πορνείας καὶ παντὸς ἄλλου πονηροῦ
πόρου χρηματισάμενοι τούτων ὠνοῦνται τῶν χρημάτων
698 τὴν ἐλευθερίαν καὶ εὐθύς εἰσι Ῥωμαῖοι· οἱ δὲ συν- 5
ίστορες καὶ συνεργοὶ τοῖς δεσπόταις γενόμενοι φαρ-
μακειῶν καὶ ἀνδροφονιῶν καὶ τῶν εἰς θεοὺς ἢ τὸ
κοινὸν ἀδικημάτων ταύτας φέρονται παρ' αὐτῶν τὰς
χάριτας· οἱ δ' ἵνα τὸν δημοσίᾳ διδόμενον σῖτον λαμ-
βάνοντες κατὰ μῆνα καὶ εἴ τις ἄλλη παρὰ τῶν ἡγου-
μένων γίγνοιτο τοῖς ἀπόροις τῶν πολιτῶν φιλανθρωπία
φέρωσι τοῖς δεδωκόσι τὴν ἐλευθερίαν· οἱ δὲ διὰ
κουφότητα τῶν δεσποτῶν καὶ κενὴν δοξοκοπίαν. ἔγωγ' 6
οὖν ἐπίσταμαί τινας ἅπασι τοῖς δούλοις συγκεχωρη-
κότας εἶναι ἐλευθέροις μετὰ τὰς ἑαυτῶν τελευτάς, ἵνα
χρηστοὶ καλῶνται νεκροὶ καὶ πολλοὶ ταῖς κλίναις αὐ-
τῶν ἐκκομιζομέναις παρακολουθῶσι τοὺς πίλους ἔχοντες
ἐπὶ ταῖς κεφαλαῖς· ἐν οἷς ἐπόμπευόν τινες, ὡς ἦν

πριαμένους ἀμφότερα ταῦτα παρὰ τῶν δεσποτῶν ὑπάρξει αὖθις τῶν κτησαμένων αὐτοὺς εἰς δουλείαν O praeter AB
1 παρὰ τούτων A 2 ὑπάρξειν A 8 οὕτω B 11 πόρου] τρόπου c. Kiessling 16 οἱ δεῖνα Ba οἱ δ' ἵνα R | δημοσίαι B 20 ἐγὼ γοῦν A 23 χρηστοί τε c. Bücheler 24 παρα-κολουθοῦσι A | τοὺς πίλους ABb τοὺς σπίλους Ba

παρὰ τῶν ἐπισταμένων ἀκούειν, ἐκ τῶν δεσμωτηρίων
ἐξεληλυθότες ἀρτίως κακοῦργοι μυρίων ἄξια διαπε-
πραγμένοι θανάτων. εἰς τούτους μέντοι τοὺς δυσεκ-
καθάρτους σπίλους ἐκ τῆς πόλεως ἀποβλέποντες οἱ
πολλοὶ δυσχεραίνουσι καὶ προβέβληνται τὸ ἔθος, ὡς 699
οὐ πρέπον ἡγεμονικῇ πόλει καὶ παντὸς ἄρχειν ἀξιούσῃ
7 τόπου τοιούτους ποιεῖσθαι πολίτας. ἔχοι δ' ἄν τις
πολλὰ καὶ ἄλλα διαβαλεῖν ἔθη καλῶς μὲν ὑπὸ τῶν
ἀρχαίων ἐπινοηθέντα, κακῶς δ' ὑπὸ τῶν νῦν ἐπιτρι-
βόμενα. ἐγὼ δὲ τὸν νόμον τοῦτον οὐκ οἴομαι δεῖν
ἀναιρεῖν, μή τι μεῖζον ἐκραγῇ τῷ κοινῷ δι' αὐτοῦ
κακόν· ἐπανορθοῦσθαι μέντοι φημὶ δεῖν τὰ δυνατὰ
καὶ μὴ περιορᾶν ὀνείδη μεγάλα καὶ ῥύπους δυσεκκα-
8 θάρτους εἰς τὴν πολιτείαν εἰσαγομένους. καὶ μάλιστα
μὲν τοὺς τιμητὰς ἀξιώσαιμ' ἂν τούτου τοῦ μέρους
προνοεῖν· εἰ δὲ μή ⟨γε⟩, τοὺς ὑπάτους· δεῖ γὰρ ἀρχῆς
τινος μεγάλης· οἳ τοὺς καθ' ἕκαστον ἐνιαυτὸν ἐλευ-
θέρους γινομένους ἐξετάσουσι, τίνες ὄντες καὶ διὰ τί
καὶ πῶς ἠλευθερώθησαν, ὥσπερ γε τοὺς τῶν ἱππέων
καὶ τοὺς τῶν βουλευτῶν βίους ἐξετάζουσιν· ἔπειθ' οὓς
μὲν ἂν εὕρωσιν ἀξίους τῆς πόλεως ὄντας, εἰς φυλὰς 700
καταγράψουσι καὶ μένειν ἐφήσουσιν ἐν τῇ πόλει· τὸ
δὲ μιαρὸν καὶ ἀκάθαρτον φῦλον ἐκβαλοῦσιν ἐκ τῆς
πόλεως εὐπρεπὲς ὄνομα τῷ πράγματι τιθέντες, ἀποι-

4 πίλους O corr. Sylburg | δυσεκκαθάρτους del. Schnelle p. 13 | ἐκ del. Cobet Mnem. IX p. 322  6 καὶ om. B  11 τὸ κοινὸν A  16 εἰ δὲ μὴ O γε add. Kiessling  18 γενομένους c. Kiessling  19 ὥσπερ καὶ Cobet Obs. p. 81  21 φύλακας B φυλὰς R | καὶ φρατρὰς add. Kiessling  22 ἀφήσουσιν AB ἐφήσουσιν Kiessling  24 θέντες A τιθέντες B ἐπιθέντες c. Kiessling

κίαν. ταῦτα μὲν οὖν τῆς ὑποθέσεως ἀπαιτούσης ἀναγκαῖόν τε καὶ δίκαιον ἔδοξεν εἶναί μοι πρὸς τοὺς ἐπιτιμῶντας τοῖς Ῥωμαίων ἔθεσιν εἰπεῖν.

XXV. Ὁ δὲ Τύλλιος οὐκ ἐν τούτοις μόνον τοῖς πολιτεύμασι δημοτικὸς ὢν ἐδήλωσεν, ἐν οἷς ἐδόκει τήν τε τῆς βουλῆς ἐξουσίαν καὶ τὴν τῶν πατρικίων δυναστείαν ἐλαττοῦν, ἀλλὰ καὶ ἐν οἷς τὴν βασιλικὴν ἀρχὴν ἐμείωσεν αὐτὸς ἑαυτοῦ τὴν ἡμίσειαν τῆς ἐξουσίας ἀφελόμενος. τῶν γὰρ πρὸ αὐτοῦ βασιλέων ἁπά- 2
σας ἀξιούντων ἐφ' ἑαυτοὺς ἄγειν τὰς δίκας καὶ πάντα τὰ ἐγκλήματα τά τ' ἴδια καὶ τὰ κοινὰ πρὸς τὸν ἑαυτῶν τρόπον δικαζόντων ἐκεῖνος διελὼν ἀπὸ τῶν ἰδιωτικῶν τὰ δημόσια, τῶν μὲν εἰς τὸ κοινὸν φερόντων ἀδικημάτων αὐτὸς ἐποιεῖτο τὰς διαγνώσεις, τῶν δ'
701 ἰδιωτικῶν ἰδιώτας ἔταξεν εἶναι δικαστάς, ὅρους καὶ κανόνας αὐτοῖς τάξας, οὓς αὐτὸς ἔγραψε νόμους. ἐπεὶ 3
δ' αὐτῷ τὰ ἐν τῇ πόλει πράγματα τὸν κράτιστον εἰλήφει κόσμον, εἰς ἐπιθυμίαν ἦλθεν ἐπιφανές τι διαπραξάμενος αἰώνιον ἑαυτοῦ μνήμην τοῖς ἐπιγινομένοις καταλιπεῖν. ἐφιστὰς δὲ τὴν διάνοιαν ἐπὶ τὰ τῶν ἀρχαίων βασιλέων τε καὶ πολιτικῶν ἀνδρῶν μνημεῖα, ἐξ ὧν εἰς ὀνόματα καὶ δόξας προῆλθον, οὔτε τοῦ Βαβυλωνίου τείχους ἐμακάρισε τὴν Ἀσσυρίαν ἐκείνην γυναῖκα οὔτε τῶν ἐν Μέμφει πυραμίδων τοὺς Αἰγύπτου βασιλεῖς οὔτ' εἴ τις ἄλλη πλούτου καὶ πολυχειρίας ἐπίδειξις ἦν ἀνδρὸς ἡγεμόνος, ἀλλὰ ταῦτα πάντα μικρὰ καὶ ὀλιγοχρόνια καὶ οὐκ ἄξια σπουδῆς ἡγησάμενος ὄψεώς τ'

5 πολιτεύμασιν B | ἰδιωτῶν A 16 συνέγραψε c. Kiessling 21 ἀνδρῶν add. B | εἰς ὄνομα καὶ δόξαν c. Stephanus 27 ὄψεως ἅτε ἀπάτας c. Reiske

ἀπάτας, οὐκ ἀληθεῖς βίου καὶ πραγμάτων ὠφελείας, ἐξ ὧν μακαρισμοὶ τοῖς κατασκευασαμένοις ἠκολούθουν μόνον, ἐπαίνου δὲ καὶ ζήλου ἄξια τὰ τῆς γνώμης ἔργα ὑπολαβών, ἧς πλεῖστοί τ' ἀπολαύουσι καὶ ἐπὶ μήκιστον χρόνον καρποῦνται τὰς ὠφελείας, πάντων μάλιστα τῶν τοιούτων ἔργων τὴν Ἀμφικτύονος τοῦ Ἕλληνος ἐπίνοιαν ἠγάσθη, ὃς ἀσθενὲς ὁρῶν καὶ ῥᾴδιον ὑπὸ τῶν περιοικούντων βαρβάρων ἐξαναλωθῆναι τὸ Ἑλληνικὸν γένος, εἰς τὴν ἐπ' ἐκείνου κληθεῖσαν Ἀμφικτυονικὴν σύνοδον καὶ πανήγυριν αὐτὸ συνήγαγε, νόμους καταστησάμενος ἔξω τῶν ἰδίων, ὧν ἑκάστη πόλις εἶχε, τοὺς κοινοὺς ἅπασιν, οὓς καλοῦσιν Ἀμφικτυονικούς, ἐξ ὧν φίλοι μὲν ὄντες ἀλλήλοις διετέλουν καὶ τὸ συγγενὲς φυλάττοντες μᾶλλον ἔργοις ἢ λόγοις, λυπηροὶ δὲ τοῖς
4 βαρβάροις καὶ φοβεροί. παρ' οὗ τὸ παράδειγμα λαβόντες Ἴωνές θ' οἱ μεταθέμενοι τὴν οἴκησιν ἐκ τῆς Εὐρώπης εἰς τὰ παραθαλάττια τῆς Καρίας καὶ Δωριεῖς οἱ περὶ τοὺς αὐτοὺς τόπους τὰς πόλεις ἱδρυσάμενοι ἱερὰ κατεσκεύασαν ἀπὸ κοινῶν ἀναλωμάτων· Ἴωνες μὲν ἐν Ἐφέσῳ τὸ τῆς Ἀρτέμιδος, Δωριεῖς δ' ἐπὶ Τριοπίῳ τὸ τοῦ Ἀπόλλωνος· ἔνθα συνιόντες γυναιξὶν

1 εἰς βίους O οὐκ ἀληθεῖς βίου καὶ πραγμάτων ὠφελείας vel οὐκ εἰς βίου καὶ πραγμάτων διαχείρισιν ὠφελείας c. Reiske ἀπάτας καὶ οὐκ εἰς βίους καὶ πράγματ' ὠφελείας c. Schmitz p. 22 οὐκ εἰςφερούσας βίου καὶ πραγμάτων ὠφελείας c. Fischer p. 12 εἰς βίου καὶ πραγμάτων ὠφελείας c. Stephanus 3 μόνον] μόνοις c. Kiessling | ἔπαινοι δὲ οὐ Ba ἐπαίνου δὲ οὐ Bb ἐπαίνου δὲ οὐδὲ A, ἔπαινοι δὲ οὐ, ζήλου δὲ ἄξια c. Kiessling ἠκολούθουν μόνον ἐπαίνου· ζήλου δὲ ἄξια c. Bücheler ἐξ ὧν μακαρισμοὶ μὲν — ἠκολούθουν ἔπαινοι δ' οὐ c. Cobet Obs. p. 81 ἐπαίνου δὲ καὶ ζήλου vulgo 4 ἧς] ὧν c. Reiske 5 χρόνου B 14 μᾶλλον ἔργοις O praeter Bb 17 παραθαλάττια μέρη *O praeter B* 20 ἐπὶ τροπίῳ A

ὁμοῦ καὶ τέκνοις κατὰ τοὺς ἀποδειχθέντας χρόνους συνέθυόν τε καὶ συνεπανηγύριζον καὶ ἀγῶνας ἐπετέλουν ἱππικοὺς καὶ γυμνικοὺς καὶ τῶν περὶ μουσικὴν ἀκουσμάτων καὶ τοὺς θεοὺς ἀναθήμασι κοινοῖς ἐδωροῦντο. θεωρήσαντες δὲ καὶ πανηγυρίσαντες καὶ τὰς 5
ἄλλας φιλοφροσύνας παρ' ἀλλήλων ἀναλαβόντες, εἴ τι πρόσκρουσμα ⟨πόλει⟩ πρὸς πόλιν ἐγεγόνει, δικασταὶ καθεζόμενοι διῄτων καὶ περὶ τοῦ πρὸς τοὺς βαρβάρους πολέμου καὶ περὶ τῆς πρὸς ἀλλήλους ὁμοφροσύνης κοινὰς ἐποιοῦντο βουλάς. ταῦτα δὴ καὶ τὰ ὅμοια τού- 6
τοις παραδείγματα λαβὼν προθυμίαν ἔσχε καὶ αὐτὸς ἁπάσας τὰς μετεχούσας πόλεις τοῦ Λατίνων γένους συστῆσαι καὶ συναγαγεῖν, ἵνα μὴ στασιάζουσαι καὶ πολεμοῦσαι πρὸς ἀλλήλας ὑπὸ τῶν προσοικούντων βαρβάρων τὴν ἐλευθερίαν ἀφαιρεθῶσι.

XXVI. Γνοὺς δὲ ταῦτα τοὺς κρατίστους ἄνδρας ἐξ ἑκάστης πόλεως συνεκάλει περὶ μεγάλων καὶ κοινῶν
704 φήσας πραγμάτων συμβούλους αὐτοὺς συγκαλεῖν. ἐπεὶ δὲ συνῆλθον, συναγαγὼν τήν τε Ῥωμαίων βουλὴν καὶ τοὺς ἀπὸ τῶν πόλεων ἥκοντας λόγον διεξῆλθε παρακλητικὸν ὁμονοίας, διδάσκων ὡς καλὸν μὲν χρῆμα πολλαὶ πόλεις μιᾷ γνώμῃ χρώμεναι, αἰσχρὰ δ' ὄψις συγγενῶν ἀλλήλαις διαφερομένων· αἴτιόν τ' ἰσχύος μὲν ταῖς ἀσθενέσιν ἀποφαίνων ὁμοφροσύνην, ταπεινότητος δὲ καὶ ἀσθενείας καὶ ταῖς πάνυ ἰσχυραῖς ἀλληλοφθορίαν. ταῦτα διεξελθὼν ἐδίδασκεν αὐτούς, ὡς 2

4 verba *καὶ — ἐδωροῦντο* transposuit post *συνέθυόν τε* Schnelle Exerc. crit. p. 35 7 *πόλει* add. Reiske 12 *ἁπάσας* et *μετεχούσας* add. B 24 *ἀλλήλων* A 25 *ἀλληλοφθονίαν* O *ἀλληλοφθορίαν* Cobet Obs. p. 82

χρὴ Λατίνους μὲν τῶν προσοίκων ἄρχειν καὶ τὰ δίκαια
τάττειν Ἕλληνας ὄντας βαρβάροις· Ῥωμαίους δὲ τὴν
ἁπάντων Λατίνων ἔχειν προστασίαν μεγέθει τε πόλεως
προὔχοντας καὶ πραγμάτων ὄγκῳ καὶ τῇ προνοίᾳ τοῦ
δαιμονίου κρείττονι κεχρημένους ἐκείνων, δι᾽ ἣν εἰς
3 τοσαύτην ἐπιφάνειαν προῆλθον. τοιαῦτα διεξελθὼν 705
συνεβούλευεν αὐτοῖς ἱερὸν ἄσυλον ἀπὸ κοινῶν ἀναλω-
μάτων ἐν Ῥώμῃ κατασκευάσασθαι, ἐν ᾧ θύσουσί θ᾽
αἱ πόλεις συνερχόμεναι καθ᾽ ἕκαστον ἐνιαυτὸν ἰδίας
τε καὶ κοινὰς θυσίας καὶ πανηγύρεις ἄξουσιν, ἐν οἷς
ἂν ὁρίσωσι χρόνοις, καί, εἴ τι γένοιτο πρόσκρουσμα
αὐταῖς πρὸς ἀλλήλας, ἐκ τῶν ἱερῶν τοῦτο διαλύσον-
ται, ταῖς ἄλλαις πόλεσιν ἐπιτρέψασαι τὰ ἐγκλήματα
4 διαγνῶναι. διεξιὼν ταῦτα τε καὶ ὅσα ἄλλα ἕξουσιν
ἀγαθὰ βουλευτήριον ἐγκαταστησάμενοι πάντας ἔπεισε
τοὺς ἐν τῷ συνεδρίῳ παρόντας· καὶ μετὰ τοῦτο κατε-
σκεύασεν ἐξ ὧν ἅπασαι συνήνεγκαν αἱ πόλεις χρημά-
των τὸν τῆς Ἀρτέμιδος νεών, τὸν ἐπὶ τοῦ μεγίστου τῶν 706
ἐν τῇ Ῥώμῃ λόφων ἱδρυμένον Αὐεντίνου· καὶ τοὺς
νόμους συνέγραψε ταῖς πόλεσι πρὸς ἀλλήλας καὶ τἄλλα
τὰ περὶ τὴν ἑορτὴν καὶ πανήγυριν, ὃν ἐπιτελεσθήσεται
5 τρόπον, ἔταξεν. ἵνα δὲ μηδεὶς χρόνος αὐτοὺς ἀφα-
νίσῃ, στήλην κατασκευάσας χαλκῆν ἔγραψεν ἐν ταύτῃ
τά τε δόξαντα τοῖς συνέδροις καὶ τὰς μετεχούσας τῆς

2 ὄντας om. A 4 ὄγκῳ B ὄγκοις R 5 κρείττονι B κρεῖττον R 12 ἀλλήλας ABb ἀλλήλαις Ba | ἐκ τῶν ἱερῶν corruptum videtur Kiesslingio, qui ἐκ τῶν ἴσων vel tale quid latere suspicatur ἐκ τῶν κοινῶν c. Schaller | τοῦτο B τούτων A νόμων c. Reiske 14 διαγνῶναι B διαλῦσαι R 25 ἐγκαταστησάμενος ABb ἐν καταστησάμενος Ba ἐγκαταστησάμενοι R 18 νεὼ B 22 δὲ add. Bb 23 ἔγραψεν . . in fine *versus* ) ἐν ταύτῃ τά τε δόξαντα τοῖς συνέδροις κ in ras. B

συνόδου πόλεις. αὕτη διέμεινεν ἡ στήλη μέχρι τῆς
ἐμῆς ἡλικίας ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ κειμένη γραμ-
μάτων ἔχουσα χαρακτῆρας [Ἑλληνικῶν], οἷς τὸ πα-
λαιὸν ἡ Ἑλλὰς ἐχρῆτο. ὃ καὶ αὐτὸ ποιήσαιτ' ἄν τις
οὐ μικρὸν τεκμήριον τοῦ μὴ βαρβάρους εἶναι τοὺς
οἰκίσαντας τὴν Ῥώμην. οὐ γὰρ ἂν Ἑλληνικοῖς ἐχρῶντο
γράμμασιν ὄντες βάρβαροι. Πολιτικαὶ μὲν δὴ πράξεις 6
τοῦ βασιλέως τούτου σὺν ἄλλαις πολλαῖς ἐλάττοσί τε
707 καὶ ἀμαυροτέραις αἱ μέγισται καὶ λαμπρόταται αὗται
μνημονεύονται, πολεμικαὶ δ' ⟨αἱ⟩ πρὸς ἓν τὸ Τυρρη-
νῶν ἔθνος γενόμεναι, περὶ ὧν μέλλω νῦν διεξιέναι.

XXVII. Μετὰ τὴν Ταρκυνίου τελευτὴν αἱ παρα-
δοῦσαι τὴν ἡγεμονίαν ἐκείνῳ πόλεις οὐκέτι φυλάττειν
ἐβούλοντο τὰς ὁμολογίας Τυλλίῳ τ' οὐκ ἀξιοῦσαι τα-
πεινῷ κατὰ γένος ὄντι ὑπακούειν, καὶ τὴν διαφορὰν
τῶν πατρικίων τὴν πρὸς τὸν ἡγεμόνα γενομένην με-
γάλην σφίσιν ὠφέλειαν παρέξειν νομίζουσαι. ἤρξαντο 2
δὲ τῆς ἀποστάσεως οἱ καλούμενοι Οὐιεντανοὶ καὶ τοῖς
ἐλθοῦσι παρὰ τοῦ Τυλλίου πρεσβευταῖς ἀπεκρίναντο
μηδεμίαν εἶναί σφισι πρὸς ἐκεῖνον μήθ' ὑπὲρ ἡγεμο-
νίας παραχωρήσεως μήτε περὶ φιλίας καὶ συμμαχίας
συνθήκην. ἀρξάντων δὲ τούτων Καιρητανοί τ' ἠκο-
λούθησαν καὶ Ταρκυνιῆται, καὶ τελευτῶσα ἐν ὅπλοις
ἦν ἅπασα ἡ Τυρρηνία. οὗτος ὁ πόλεμος εἴκοσι διέ- 3
μεινεν ἔτη συνεχῶς πολεμούμενος εἰσβολάς τε πολλὰς
ἀμφοτέρων μεγάλοις στρατεύμασι ποιουμένων εἰς τὴν

3 Ἑλληνικῶν delevi cum Kiesslingio 4 *ἐχρᾶτο O 6 οἰκήσαντος A οἰκίσαντος B ι litt. ex ει radendo orta est 7 γράμμασιν] ῥήμασι A 9 τοϊ αὗται Bb τοιαῦται ABa 10 αἳ add. B(?) et Reiske 17 ἤρξαν c. Cobet Obs. p. 82 22 καιρι-τανοὶ B ι litt. ex η radendo orta est 23 ταρκυνῆται B

ἀλλήλων καὶ παρατάξεις ἄλλας ἐπ' ἄλλαις συνισταμένων. ἐν ἁπάσαις δὲ ταῖς μάχαις κατορθῶν ὁ Τύλ- 708
λιος, ὅσαι κατὰ πόλεις τε καὶ πρὸς ὅλον τὸ ἔθνος αὐτῷ συνέστησαν, καὶ τρισὶν ἐπιφανεστάτοις κοσμηθεὶς θριάμβοις τελευτῶν ἠνάγκασε τοὺς οὐκ ἀξιοῦντας
4 ἄρχεσθαι τὸν χαλινὸν ἑκόντας λαβεῖν. εἰκοστῷ δ' οὖν ἔτει συνελθοῦσαι πάλιν αἱ δώδεκα πόλεις ἐξανηλωμέναι τῷ πολέμῳ τά τε σώματα καὶ τὰ χρήματα γνώμην ἔσχον παραδοῦναι Ῥωμαίοις τὴν ἡγεμονίαν ἐφ' οἷς πρότερον ἐψηφίσαντο. καὶ παρῆσαν ἀπὸ πάσης πόλεως οἱ προχειρισθέντες σὺν ἱκετηρίαις ἐπιτρέποντες Τυλλίῳ τὰς πόλεις καὶ μηδὲν ἀνήκεστον βουλεῦσαι περὶ αὐτῶν ἀξιοῦν-
5 τες. Τύλλιος δὲ τῆς μὲν ἀφροσύνης ἕνεκα καὶ τῶν εἰς τοὺς θεοὺς ἀσεβημάτων, οὓς ἐγγυητὰς ποιησάμενοι τῶν ὁμολογιῶν παρέβησαν τὰ συγκείμενα, πολλῶν αὐτοὺς ἔφη τιμωριῶν ἀξίους εἶναι καὶ μεγάλων· τῆς δὲ Ῥωμαίων ἐπιεικείας καὶ μετριότητος, ἐπειδὴ συγγνόντες ἀδικεῖν στέμμασι καὶ λιτανείαις παρῃτοῦντο 709
6 τὴν ὀργήν, οὐδὲν ἐν τῷ παρόντι ἀτυχήσειν. ταῦτ' εἰπὼν καταλύεται τὸν πρὸς αὐτοὺς πόλεμον, ταῖς μὲν ἄλλαις πόλεσιν ἁπλῶς καὶ δίχα ὀργῆς μνησικάκου πολιτεύεσθαί τ' ἀποδοὺς ὡς πρότερον καὶ τὰ ἴδια καρποῦσθαι, μενούσαις ἐν ταῖς γραφείσαις πρὸς αὐτὰς συνθήκαις ὑπὸ βασιλέως Ταρκυνίου· τρεῖς δ' ἐξ αὐτῶν πόλεις, αἳ προεξανέστησάν τε καὶ τὰς ἄλλας ἐπη-

3 ὅλον αὐτῷ τὸ B 5 post ἀξιοῦντας posuit ἑκόντας et v. 6 ἄκοντας λαβεῖν c. Hertlein Pr. Wertheim 1873 p. 9 11 ⟨ἱ⟩κετηρίοις Bb | Τωλλίῳ Ba T⟨υ⟩λλίῳ Bb 14 τοὺς add. B | ἀσεβημάτων B ἀτεθημάτων R 18 στέμμασιν ἱκετηρίοις c. Stephanus 19 οὐδ' ἐν τῷ Reiske 21 ἀπόνως A ἀπ.λως B 25 ἐπηγάγοντο AB ὑπηγάγοντο R quod def. Cobet Obs. p. 82

γάγοντο κατὰ Ῥωμαίων ἐξενεγκεῖν τὸν πόλεμον, Καιρητανοὺς καὶ Ταρκυνιήτας καὶ Οὐιεντανούς, ἀφαιρέσει χώρας τιμωρησάμενος, ἣν κατεκληρούχησε Ῥωμαίων τοῖς νεωστὶ προσεληλυθόσι πρὸς τὴν πολιτείαν. Ταῦτα 7
διαπραξάμενος ἐν εἰρήνῃ τε καὶ κατὰ πολέμους καὶ ναοὺς δύο κατασκευασάμενος Τύχης, ᾗ παρὰ πάντα
710 τὸν βίον ἔδοξεν ἀγαθῇ κεχρῆσθαι, τὸν μὲν ἐν ἀγορᾷ τῇ καλουμένῃ Βοαρίᾳ, τὸν δ' ἕτερον ἐπὶ ταῖς ἠιόσι τοῦ Τεβέριος, ἣν ἀνδρείαν προσηγόρευσεν, ὡς καὶ νῦν ὑπὸ Ῥωμαίων καλεῖται· ἡλικίας τε προβεβηκὼς ἐπὶ πολὺ καὶ τῆς κατὰ φύσιν τελευτῆς οὐ μακρὰν ἀπέχων, ἐπιβουλευθεὶς ὑπὸ Ταρκυνίου τε τοῦ γαμβροῦ καὶ τῆς ἑαυτοῦ θυγατρὸς ἀποθνήσκει. διηγήσομαι δὲ καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον μικρὰ τῶν ἔμπροσθεν γενομένων ἀναλαβών.

XXVIII. Ἦσαν τῷ Τυλλίῳ δύο θυγατέρες ἐκ γυναικὸς γενόμεναι Ταρκυνίας, ἣν ἐνεγγύησεν αὐτῷ βασιλεὺς Ταρκύνιος. ταύτας τὰς κόρας ἐπιγάμους γενομένας ἐκδίδοται τοῖς ἀδελφιδοῖς τῆς μητρὸς αὐτῶν, υἱωνοῖς δὲ Ταρκυνίου, τῷ τε πρεσβυτέρῳ τὴν πρεσβυτέραν ἁρμόσας καὶ τῷ νεωτέρῳ τὴν νεωτέραν· οὕτως οἰόμενος αὐτὰς μάλιστα συνοίσεσθαι τοῖς λαβοῦσιν.
ἔτυχε δὲ τῶν γαμβρῶν ἑκάτερος ἐναντίᾳ συναφθεὶς 2
τύχῃ κατὰ τὴν οὐχ ὁμοτροπίαν· Λευκίῳ μὲν γὰρ τῷ

1 Καιρητανοὺς] καιριτανοὺς (cf. p. 49, 22) καὶ οὐεντανοὺς ⟨καὶ⟩ ταρκυνίτας B καιρητανῶν καὶ ταρκυνιτῶν καὶ οὐεντανῶν O praeter B Οὐεντανοὺς καὶ Καιρητανοὺς καὶ Ταρκυνίτας Schnelle Exerc. crit. p. 35 2 ταύτας ἀφαιρέσει O praeter B 8 τῇ om. B | βο⟨α⟩ρίᾳ B | ἠόσι B 17 ἐνεγύησεν B 19 ἐπάκμους B ἐν ἀκμῇ γάμου vel γάμων c. Kiessling 20 τε add. B 22 αὐτοῖς μάλιστα c. Kiessling 23 ἐναντιαι. (σ eras. videtur) B 24 τύχῃ] ψυχῇ] c. Cobet Novae Lect. p. 74.

πρεσβυτέρῳ τολμηρῷ καὶ αὐθάδει καὶ τυραννικῷ τὴν
φύσιν ὄντι χρηστὴ καὶ σώφρων καὶ φιλοπάτωρ συν- 711
ῆλθε γυνή, Ἄρροῦντι δὲ τῷ νεωτέρῳ πολὺ τὸ πρᾶον
ἔχοντι καὶ εὐλόγιστον ἀνοσία καὶ μισοπάτωρ καὶ πάν-
3 τολμος ἦν ἡ γαμετή. συνέβαινε δὴ τῶν ἀνδρῶν ἑκα-
τέρῳ φέρεσθαι μὲν ἐπὶ τὴν ἑαυτοῦ φύσιν, μετάγεσθαι
δ' ὑπὸ τῆς γυναικὸς ἐπὶ τἀναντία· ὁ μέν γε πονηρὸς
ἐκβαλεῖν τῆς βασιλείας τὸν κηδεστὴν προθυμούμενος
καὶ πάντα μηχανώμενος εἰς τοῦτο ὑπὸ τῆς γυναικὸς
μετεπείθετο ἀντιβολούσης τε καὶ ὀδυρομένης· ὁ δ'
ἐπιεικὴς οὐδὲν οἰόμενος δεῖν ἐξαμαρτάνειν εἰς τὸν πεν-
θερόν, ἀλλὰ περιμένειν, ἕως ἡ φύσις αὐτὸν ἐκ τοῦ
ζῆν ἐξαγάγῃ, καὶ τὸν ἀδελφὸν οὐκ ἐῶν πράττειν τὰ
μὴ δίκαια, ὑπὸ τῆς ἀνοσίας γυναικὸς ἐπὶ τἀναντία
μετήγετο νουθετούσης τε καὶ λοιδορουμένης καὶ τὴν
4 ἀνανδρίαν κακιζούσης· ὡς δ' οὐδὲν ἐπέραινον οὔτε
αἱ τῆς σώφρονος λιτανεῖαι τὰ κράτιστα τὸν οὐ δίκαιον
ἄνδρα πειθούσης, οὔτε αἱ τῆς μιαρᾶς παραινέσεις ἐπὶ
τὰς ἀνοσίους πράξεις τὸν οὐ πονηρὸν εἶναι πεφυκότα
παρακαλούσης, ἀλλ' ἑκάτερος ἐπὶ τὴν ἑαυτοῦ φύσιν 712
ἐφέρετο καὶ λυπηρὰν ἡγεῖτο τὴν μὴ τὰ ὅμοια βουλο-
μένην, τῇ μὲν ὀδύρεσθαί τε καὶ φέρειν τὸν ἑαυτῆς δαί-
μονα περιῆν· τῇ δὲ παντόλμῳ χαλεπαίνειν καὶ ἀπαλ-
5 λαγῆναι ζητεῖν ἀπὸ τοῦ συνοικοῦντος. ἔπειτα δ' ἡ
κακὴ τὴν φύσιν ἀπονοηθεῖσα καὶ νομίσασα τοῖς ἑαυτῆς
τρόποις ἁρμόττειν μάλιστα τὸν τῆς ἀδελφῆς ἄνδρα

9 χρηστῆς γυναικὸς c. Kiessling 13 ἐξαγαγ. ut videtur ει Ba 18 παρ⟨αι⟩νέσεις B 21 ἥγητο Ba 17 ἀπὸ del. Cobet Obs. p. 83 24 δ' om. B quod probat Baumann p. 32

μεταπέμπεταί τ' αὐτὸν ὡς ὑπὲρ ἀναγκαίου πράγματος διαλεξομένη,

XXVIIII. καὶ ἐπειδὴ παρεγένετο, μεταστῆναι κελεύσασα τοὺς ἔνδον, ἵνα μόνη διαλεχθείη πρὸς μόνον, Ἀρ', ἔφησεν, ὦ Ταρκύνιε, μετὰ παρρησίας ἔξεστί μοι καὶ ἀκινδύνως ἅπαντα εἰπεῖν, ὅσα φρονῶ περὶ τῶν κοινῇ συμφερόντων, καὶ καθέξεις οὓς ἂν ἀκούσῃς λόγους; ἢ σιωπᾶν ἄμεινόν ἐστί μοι καὶ μὴ φέρειν εἰς μέσον βουλὰς ἀπορρήτους; κελεύσαντος δὲ τοῦ Ταρκυνίου 2
λέγειν, ὅ τι βούλεται, καὶ περὶ τοῦ καθέξειν ἐν ἑαυτῷ
713 τοὺς λόγους πίστεις ἐπιθέντος δι' ὅρκων, οὓς ἐκείνη προῃρεῖτο, οὐδὲν ἔτι αἰσχυνθεῖσα λέγει πρὸς αὐτόν· Μέχρι τίνος, ὦ Ταρκύνιε, τῆς βασιλείας ἀποστερούμενος ἀνέχεσθαι διανοῇ; πότερον ἐκ ταπεινῶν καὶ ἀσήμων ἔφυς προγόνων καὶ διὰ τοῦτ' οὐκ ἀξιοῖς ἐπὶ σεαυτῷ μέγα φρονεῖν; ἀλλὰ πάντες ἴσασιν, ὅτι τοῖς μὲν ἀρχαίοις ὑμῶν προγόνοις Ἕλλησιν οὖσι καὶ ἀφ' Ἡρακλέους γεγονόσι τῆς εὐδαίμονος ἄρξαι Κορίνθου τὴν αὐτοκράτορα ὑπῆρξεν ἀρχὴν ἐπὶ πολλάς, ὡς ἀκούω, γενεάς· τῷ δὲ πάππῳ σου Ταρκυνίῳ μεταθεμένῳ τὴν οἴκησιν ἐκ Τυρρηνῶν ταύτης βασιλεῦσαι τῆς πόλεως ἐξεγένετο δι' ἀρετήν· οὗ σὺ κληρονομεῖν οὐ μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς βασιλείας ὀφείλεις πρεσβύτερος υἱωνὸς ὤν. ἢ σώματος οὐκ ἔτυχες ἱκανοῦ 3
πράττειν, ὅσα βασιλεῖ προσῆκε, δι' ἀσθένειάν τε καὶ
714 ἀμορφίαν; ἀλλὰ σοί γε καὶ ῥώμη πάρεστιν, οἷα τοῖς

12 προηγεῖτο c. Köstlin Philologus tom. XXXIV p. 756 13 ἀποστερόμενος Cobet Obs. p. 83 25 προσῆκε. B accent circumflex. add. Bb προσήκει Kiessling 26 πάρεστιν ἱκανὴ οἷα O praeter B περίεστιν c. Sintenis Em. Dion. II 15

κράτιστα πεφυκόσι, καὶ μορφὴ τοῦ βασιλείου γένους ἀξία. ἢ τούτων μὲν οὐδέτερον, ἡ δ' ἀσθενὴς ἔτι καὶ πολὺ ἀπέχουσα τοῦ φρονεῖν τὰ προσήκοντα νεότης μεθέλκει σε, δι' ἣν οὐκ ἀξιοῖς τὰ πολιτικὰ πράττειν, ὃς οὐ πολλοῖς ἀποδεῖς ἔτεσι πεντηκονταέτης εἶναι; κράτιστα δ' ἄνθρωποι πεφύκασι φρονεῖν οἱ περὶ ταύ-
4 την μάλιστα γενόμενοι τὴν ἡλικίαν. φέρε, ἀλλ' ἡ τοῦ κατέχοντος τὰ πράγματα εὐγένεια καὶ ἡ πρὸς τοὺς κρατίστους τῶν πολιτῶν ἐπιτηδειότης, δι' ἣν οὐκ εὐεπιχείρητός ἐστιν, ἀνέχεσθαί σε ἀναγκάζει; ἀλλὰ καὶ ταῦτ' ἀμφότερα κακῶς ἔχοντα αὐτῷ τυγχάνει καὶ οὐδὲ αὐτὸς αὐτά γε ἀγνοεῖς. καὶ μὴν ἥ γε τόλμα καὶ τὸ φιλοκίνδυνον ἔνεστί σου τοῖς τρόποις, ὧν μάλιστα τῷ 71 E
βασιλεύειν μέλλοντι δεῖ. ὑπάρχει δέ σοι καὶ πλοῦτος ἱκανὸς καὶ φίλοι πολλοὶ καὶ ἄλλαι πρὸς τὰ πράγματ'
5 ἀφορμαὶ πολλαὶ καὶ μεγάλαι. τί οὖν ἔτι μέλλεις καὶ τὸν αὐτόματον ἐκδέχῃ καιρόν, ὃς ἥξει σοι φέρων τὴν βασιλείαν μηδὲν εἰς τοῦτο πραγματευσαμένῳ, μετὰ τὴν τοῦ Τυλλίου δήπου τελευτήν; ὥσπερ ἀναμενούσης τῆς τύχης τὰς ἀνθρωπίνας μελλήσεις, ἢ τῆς φύσεως ἡμῶν τὰς καθ' ἡλικίαν ἑκάστῳ τελευτὰς φερούσης, ἀλλ' οὐκ ἐν ἀδήλῳ καὶ δυστεκμάρτῳ τέλει πάντων τῶν ἀνθρω-
6 πίνων πραγμάτων κειμένων. ἐρῶ δὴ μετὰ παρρησίας,

2 ἀσθενὴς] ἀφελὴς c. Bücheler 5 πολλοῖς ἀποδεῖς ἔτεσι πεντακονταέτης B πολὺ ἀποδέῃ π. R ἀποδεῖς τοῦ π. c. Garrer Obs. p. 7 quod probat Schenkl, sed cf. VII 3 6 τὰ κράτιστα Kiessling, κράτιστοι c. Hertlein Hermes X 412 7 φέρε add. B 10 σε add. B 11 ταῦτα B | καλῶς ABa κακῶς Bb 12 ἀγνοεῖ ABa ἀγνοεῖς Bb καλῶς ἔχοντα — — ἀγνοεῖς; c. Kiessling αὐτὰ del. Reiske 15 πρ . . . . άγματα Ba πρὸ τὰ πράγματα Bb 21 τὰς add. B

καὶ εἴ με φήσεις θρασεῖαν, τὸ δοκοῦν αἴτιον εἶναί μοι τοῦ μηδεμιᾶς ὀρέγεσθαί σε μήτε φιλοτιμίας μήτε δόξης. γυνή σοι σύνεστι μηδὲν ἐοικυῖα τοῖς σοῖς τρόποις, ἥ σε κηλοῦσα καὶ κατᾴδουσα μαλθακὸν ἀποδέδωκε, καὶ λήσεις ὑπ' αὐτῆς γενόμενος ἐξ ἀνδρὸς τὸ μηδέν· ὥσπερ γε κἀμοὶ ψοφοδεὴς καὶ οὐδὲν ἔχων
716 ἀνδρὸς ἀνήρ, ὅς με ταπεινὴν ποιεῖ μεγάλων οὖσαν ἀξίαν καὶ καλὴν τὸ σῶμα, μαρανθεῖσαν δ' ὑπ' αὐτοῦ.
εἰ δ' ἐξεγένετο σοί τε λαβεῖν ἐμὲ γυναῖκα κἀμὲ σοῦ 7
τυχεῖν ἀνδρός, οὐκ ἂν ἐν ἰδιώτῃ βίῳ τοσοῦτον διεζήσαμεν χρόνον. τί οὖν οὐκ ἐπανορθούμεθα τὸ τῆς τύχης ἐλάττωμα ἡμεῖς μεταθέμενοι τοὺς γάμους, καὶ σὺ μὲν ἀπαλλάττεις τοῦ βίου τὴν σαυτοῦ γυναῖκα, ἐγὼ δὲ ταὐτὸ διαθήσομαι τὸν ἐμὸν ἄνδρα; ὅταν δὲ τούτων διαχειρισθέντων συνέλθωμεν εἰς ταὐτό, ἀσφαλῶς ἤδη τὰ λοιπὰ βουλεύσομεν, ἐκποδὼν πεποιημένοι τὰ λυποῦντα ἡμᾶς. καὶ γὰρ ἐὰν τἆλλα τις ἀδικεῖν ὀκνῇ, βασιλείας γε χάριν οὐ νέμεσις ἅπαντα τολμᾶν.

717 XXX. Τοιαῦτα τῆς Τυλλίας λεγούσης ἄσμενος δέχεται τὰς αἱρέσεις ὁ Ταρκύνιος, καὶ αὐτίκα δοὺς αὐτῇ πίστεις καὶ λαβὼν τὰ προτέλεια τῶν ἀνοσίων γάμων διαπραξάμενος ἀπέρχεται. διελθόντος δ' οὐ πολλοῦ μετὰ ταῦτα χρόνου τοῖς αὐτοῖς πάθεσιν ἀποθνήσκουσιν ἥ τε πρεσβυτέρα τῶν Τυλλίου θυγατέρων καὶ ὁ νεώ-
τερος τῶν Ταρκυνίων. ἐνταῦθα πάλιν ἀναγκάζομαι 2
μεμνῆσθαι Φαβίου καὶ τὸ ῥᾴθυμον αὐτοῦ περὶ τὴν

4 καταιδοῦσα B 5 εἰς τὸ μηδὲν A 8 καὶ καλ<ὴν τὸ σῶμα> μαρανθεῖσαν Bb | δὲ superscript. Bb 9 τε add. B | κἀμοὶ Reiske 11 χρόνον A βίον B 12 ἐλάσσωμα B 14 διαθήσω c. Reiske

ἐξέτασιν τῶν χρόνων ἐλέγχειν. ἐπὶ γὰρ τῆς Ἀρροῦντος τελευτῆς γενόμενος οὐ καθ' ἓν ἁμαρτάνει μόνον, ὃ καὶ πρότερον ἔφην, ὅτι γέγραφεν υἱὸν εἶναι Ταρκυνίου τὸν Ἀρροῦντα· ἀλλὰ καὶ καθ' ἕτερον, ὅτι φησὶν ἀποθανόντα ὑπὸ τῆς μητρὸς Τανακυλλίδος τεθάφθαι, ἣν ἀμήχανον ἦν ἔτι καὶ κατ' ἐκείνους περιεῖναι τοὺς
3 χρόνους. ἐδείχθη γὰρ ἐν ἀρχαῖς ἑβδομηκοστὸν ἔχουσα καὶ πέμπτον ἔτος ἡ Τανακυλλίς, ὅτε βασιλεὺς Ταρκύ- 718
νιος ἐτελεύτα· προστεθέντων δὴ τοῖς ἑβδομήκοντα καὶ πέντε ἔτεσιν ἑτέρων τετταράκοντα ἐτῶν· ἐν γὰρ ταῖς ἐνιαυσίοις ἀναγραφαῖς κατὰ τὸν τετταρακοστὸν ἐνιαυτὸν τῆς Τυλλίου ἀρχῆς τὸν Ἀρροῦντα τετελευτηκότα παρειλήφαμεν· ἐτῶν ἡ Τανακυλλὶς ἔσται πεντεκαίδεκα πρὸς τοῖς ἑκατόν. οὕτως ὀλίγον ἐστὶν ἐν ταῖς ἱστορίαις αὐτοῦ τὸ περὶ τὴν ἐξέτασιν τῆς ἀληθείας ταλαί-
4 πωρον. Μετὰ τοῦτο τὸ ἔργον οὐδὲν ἔτι διαμελλήσας ὁ Ταρκύνιος ἐπάγεται γυναῖκα τὴν Τυλλίαν οὔτε τοῦ πατρὸς αὐτῆς βεβαιοῦντος τὸν γάμον οὔτε τῆς μητρὸς
5 συνευδοκούσης, ἀλλ' αὐτὴν παρ' ἑαυτῆς λαβών. ὡς δὲ συνεκεράσθησαν <αἱ> ἀνόσιοι καὶ ἀνδροφόνοι φύσεις, ἐκβαλεῖν ἐκ τῆς βασιλείας τὸν Τύλλιον, εἰ μὴ βούλοιτο ἑκὼν παραδοῦναι τὴν ἀρχήν, ἐμηχανῶντο ἑταιρίας τε συνάγοντες καὶ τῶν πατρικίων τοὺς ἀλλοτρίως ἔχοντας πρὸς τὸν βασιλέα καὶ τὰ δημοτικὰ πολιτεύματα παρα-

1 Ἀρροῦντος A Ἀρρόντος B 4 et 12 Ἀρροῦντα A Ἀρρόντα B 6 καὶ add. B 11 ἐνιαυσίαις O corr. Kiessling 14 ὀλίγον del. Kayser Ann. phil. 1866 p. 44 et v. 15 ἀταλαίπωρον scribit 15 ταλαίπωρον B ἀταλαίπωρον A εὐταλαίπωρον c. Reiske 16 διαμελήσας B 17 ἀπάγεται O ἐπάγεται Reiske ἄγεται Cobet Obs. p. 84 19 ἀλλὰ B | αὑτῆς c. Kiessling 20 αἱ add. Kiessling 23 συναγαγόντες B

καλοῦντες ἔκ τε τοῦ δημοτικοῦ πλήθους τοὺς ἀπορω-
τάτους, οἷς οὐδενὸς τῶν δικαίων φροντὶς ἦν, χρήμασιν
ἐξωνούμενοι καὶ οὐδὲ ἀφανῶς ἕκαστα τούτων πράτ-
τοντες. ταῦτα δ' ὁρῶν ὁ Τύλλιος ἤχθετο μὲν καὶ 6
περὶ ἑαυτοῦ δεδιώς, εἴ τι πείσεται προκαταληφθείς·
ἠγανάκτει δ' οὐχ ἥκιστα, εἰ θυγατρὶ καὶ γαμβρῷ πο-
λεμεῖν ἀναγκασθήσεται καὶ τιμωρίας ὡς παρ' ἐχθρῶν
λαμβάνειν, πολλάκις μετὰ τῶν φίλων προκαλούμενος
εἰς λόγους τὸν Ταρκύνιον, καὶ τὰ μὲν ἐγκαλῶν, τὰ δὲ
νουθετῶν, τὰ δὲ πείθων μηδὲν εἰς ἑαυτὸν ἐξαμαρτά-
νειν· ὡς δ' οὐ προσεῖχεν αὐτῷ τὴν διάνοιαν, ἀλλ'
ἐπὶ τῆς βουλῆς ἔφη τὰ δίκαια πρὸς αὐτὸν ἐρεῖν, συγκα-
λέσας τὸ συνέδριον· Ἄνδρες, ἔφη, βουλευταί, Ταρκύ- 7
νιος ἑταιρίας ἐπ' ἐμὲ συνάγων καὶ προθυμούμενος
ἐκβαλεῖν με τῆς ἀρχῆς καταφανὴς γέγονέ μοι. βούλο-
μαι δὲ πάντων ὑμῶν παρόντων μαθεῖν παρ' αὐτοῦ, τί
πεπονθὼς ἰδίᾳ κακὸν ἢ τί τὴν πόλιν ὁρῶν ἀδικου-
720μένην ὑπ' ἐμοῦ ταῦτ' ἐπ' ἐμοὶ μηχανᾶται. ἀπόκριναι
δή, Ταρκύνιε, μηδὲν ἀποκρυψάμενος, τί μου κατηγο-
ρεῖν ἔχεις, ἐπειδὴ τούτους ἠξίους ἀκοῦσαι.

XXXI. Λέγει πρὸς αὐτὸν ὁ Ταρκύνιος· Βραχύς ἐστιν ὁ παρ' ἐμοῦ λόγος, ὦ Τύλλιε, καὶ δίκαιος· καὶ διὰ τοῦτο προειλόμην αὐτὸν εἰς τούτους ἐκφέρειν. Ταρκύνιος ἐμὸς ὢν πάππος ἐκτήσατο τὴν Ῥωμαίων ἀρχὴν πολλοὺς καὶ μεγάλους ἀγῶνας ὑπὲρ αὐτῆς ἀράμενος· ἐκείνου τελευτήσαντος ἐγὼ διάδοχός εἰμι κατὰ τοὺς κοινοὺς ἁπάντων Ἑλλήνων τε καὶ βαρβάρων νόμους·

8 καὶ πολλάκις O praeter B 10 ἑαυτὸν Ba αὐτὸν ABb
14 συναγαγὼν O συνάγων Bücheler 23 τὴν τῶν Ῥωμαίων B
25 ἀράμενος ex αἱράμενος B

καὶ προσήκει μοι καθάπερ καὶ τοῖς ἄλλοις τοῖς δια-
δεχομένοις τὰ παππῷα, μὴ μόνον τῶν χρημάτων, ἀλλὰ
2 καὶ τῆς βασιλείας αὐτοῦ κληρονομεῖν. σὺ δὲ τὰ μὲν
χρήματα τὰ καταλειφθέντα ὑπ' αὐτοῦ παραδέδωκάς
μοι, τὴν δὲ βασιλείαν ἀποστερεῖς με καὶ τοσοῦτον ἤδη
κατέχεις χρόνον, οὐκ ἐκ τοῦ δικαίου λαβών· οὔτε γὰρ
μεσοβασιλεῖς σε ἀπέδειξαν, οὔτε ⟨ἡ⟩ βουλὴ ψῆφον
ὑπὲρ σοῦ διήνεγκεν, οὔτε ἀρχαιρεσίαις νομίμοις τῆς
ἐξουσίας ταύτης ἔτυχες, ὡς ὁ πάππος τε οὑμὸς καὶ 72
πάντες οἱ πρὸ αὐτοῦ γενόμενοι βασιλεῖς· ἀλλὰ τὸ
ἀνέστιον καὶ ἄπορον καὶ πρὸς καταδίκας ἢ χρέα τὴν
ἐπιτιμίαν ἀπολωλεκὸς φῦλον, ᾧ τῶν κοινῶν οὐδενὸς
ἔμελε, καταμισθοδοτήσας καὶ πάντα τρόπον διαφθείρας,
καὶ οὐδὲ τότε μέντοι σαυτῷ πράττειν τὴν δυναστείαν
λέγων, ἀλλ' ἡμῖν φυλάξειν σκηπτόμενος ὀρφανοῖς οὖσι
καὶ νηπίοις, ἐπὶ τὰ πράγματα παρῆλθες καὶ πάντων
ἀκουόντων ὡμολόγεις, ὅταν ἀνδρωθῶμεν ἡμεῖς, ἐμοὶ
3 παραδώσειν ὄντι πρεσβυτέρῳ τὴν ἀρχήν. ἐχρῆν μὲν
οὖν σε, εἰ τὰ δίκαια ποιεῖν ἤθελες, ὅτε μοι τὸν οἶκον
τοῦ πάππου παρεδίδους, ἅμα τοῖς χρήμασι καὶ τὴν
βασιλείαν ἀποδεδωκέναι παραδείγμασι χρώμενον τοῖς
τῶν καλῶν καὶ ἀγαθῶν ἐπιτρόπων ἔργοις, ὅσοι βασι-
λικοὺς παῖδας ὀρφανοὺς πατέρων παραλαβόντες εἰς
ἄνδρας ἐλθοῦσιν ὀρθῶς καὶ δικαίως τὰς πατρῴας καὶ
4 προγονικὰς ἀπέδωκαν ἀρχάς· εἰ δὲ μήπω σοι φρονεῖν
τὰ καθήκοντα ἐφαινόμην, ἀλλ' ἔτι διὰ τὸ νέον τῆς
ἡλικίας οὐχ ἱκανὸς εἶναι πόλιν τηλικαύτην διοικεῖν, 72
ὅτ' εἰς τὴν κρατίστην παρεγενόμην τοῦ σώματος καὶ

7 ἡ add. Reiske 8 ἤνεγκεν A 17 ὅτ' A ὅταν B 25 γο-
νικὰς A προγονικὰς B 28 ὅτε γ' Reiske

τῆς φρονήσεως ἀκμὴν τριάκοντα γεγονὼς ἔτη, μετὰ τοῦ γάμου τῆς θυγατρὸς καὶ τὰ τῆς πόλεως ἐγχειρίσαι πράγματα· ταύτην γέ τοι τὴν ἡλικίαν ἔχων καὶ σὺ τόν τ' οἶκον τὸν ἡμέτερον ἐπιτροπεύειν ἤρξω καὶ τῆς βασιλείας ἐπιμελεῖσθαι.

XXXII. Περιῆν γὰρ ἄν σοι ταῦτα πράξαντι πρῶτον μὲν εὐσεβεῖ καὶ δικαίῳ λέγεσθαι, ἔπειτα συμβασιλεύειν ἐμοὶ καὶ πάσης μετέχειν τιμῆς, εὐεργέτην τε καὶ πατέρα καὶ σωτῆρα καὶ πάντα, ὅσα τιμιώτατα ὀνόματα ὑπ' ἀνθρώπων ἐπὶ καλοῖς κεῖται πράγμασιν, ἀκούειν καὶ μὴ τέταρτον ἤδη τοῦτο καὶ τετταρακοστὸν ἔτος ἀποστερεῖν με τῶν ἐμῶν, οὔτε σώματος ἀναπήρου τυχόντα οὔτε διανοίας ἠλιθίου. ἔπειτ' ἐρωτᾶν με τολμᾷς, τί παθὼν δεινὸν ἐχθρὸν ἡγοῦμαί σε καὶ διὰ τί
23 σου κατηγορῶ; σὺ μὲν οὖν ἀπόκριναί μοι, Τύλλιε, 2
τίνος αἰτίας χάριν οὐκ ἀξιοῖς με τῶν τοῦ πάππου τιμῶν κληρονομεῖν καὶ τίνα πρόφασιν εὐπρεπῆ τῆς ἀποστερήσεως σκηπτόμενος; πότερον οὐχ ἡγούμενος ἐξ ἐκείνου γένους εἶναί με γνήσιον, ἀλλ' ὑποβολιμαῖόν τινα καὶ νόθον; τί οὖν ἐπετρόπευες τὸν ἀλλότριον τοῦ γένους καὶ τὸν οἶκον ἀνδρωθέντι ἀπεδίδους; ἀλλ' ἔτι νομίζων με ὀρφανὸν εἶναι παῖδα καὶ τὰ κοινὰ πράττειν ἀδύνατον, ὃς οὐ πολὺ ἀπέχω πεντηκονταετίας; κατάβαλε [δὲ] τὴν εἰρωνείαν τῶν ἀναισχύντων

2 θυγατρὸς ἔδει O praeter B 11 καὶ om. B | post ἀκούειν interpungendum atque scribendum: ἀκούειν· νῦν δὲ — τολμᾷς; c. Kiessling | τοῦτο add. B 13 διανοίας add. B 14 δεινὸν del. Garrer Obs. p. 20 17 πρόφασιν εὑρεῖν O praeter B | ἀπρεπῆ A 19 γένος A 21 ἀλλὰ τί A 24 κατάβαλε δὲ O κ. δὴ Kiessling δὲ delevi κατάβαλε ἤδη c. Cobet Obs. p. 84

3 ἐρωτημάτων καὶ παῦσαί ποτε ἤδη πονηρὸς ὤν· εἰ δὲ
τι δίκαιον ἔχεις πρὸς ταῦτ' εἰπεῖν, ἕτοιμός εἰμι τού-
τοις ἐπιτρέπειν δικασταῖς, ὧν οὐκ ἂν ἔχοις ἑτέρους
εἰπεῖν ἄνδρας ἐν τῇ πόλει κρείττους· ἐὰν δ' ἐντεῦθεν
ἀποδιδράσκων, ὅπερ ἐστὶν ἀεί σοι ποιεῖν σύνηθες, ἐπὶ
τὸν ἐκδημαγωγούμενον ὑπὸ σοῦ καταφεύγῃς ὄχλον,
οὐκ ἐπιτρέψω σοι· παρεσκεύασμαι γὰρ ὡς καὶ τὰ δί-
καια ἐρῶν καὶ εἰ μὴ πείθοιο τὰ βίαια πράξων.

XXXIII. Παυσαμένου δ' αὐτοῦ παραλαβὼν τὸν 72
λόγον ὁ Τύλλιος ἔλεξεν ὧδε· Ἅπαντα μέν, ὡς ἔοικεν,
ἄνθρωπον ὄντα δεῖ προσδοκᾶν, ὦ βουλή, [τὰ παρά-
δοξα] καὶ μηδὲν ἡγεῖσθαι ἄπιστον, ὅπου γε κἀμὲ Ταρ-
κύνιος οὑτοσὶ τῆς ἀρχῆς παῦσαι πρόθυμός ἐστιν· ὃν
ἐγὼ νήπιον παραλαβὼν καὶ ἐπιβουλευόμενον ὑπὸ τῶν
ἐχθρῶν ἔσωσα καὶ ἐξέθρεψα καὶ εἰς ἄνδρας ἐλθόντα
κηδεστὴν ἠξίωσα λαβεῖν, καὶ εἴ τι πάθοιμι διάδοχον
ἔμελλον καταλείψειν ἁπάντων τῶν ἐμῶν. ἐπειδὴ δὲ
παρὰ γνώμην ἅπαντ' ἀπήντηκέ μοι καὶ ὥσπερ ἀδικῶν
αὐτὸς ἐγκαλοῦμαι, τὴν μὲν τύχην ὕστερον ἀνακλαύ-
2 σομαι, τὰ δὲ δίκαια νῦν πρὸς αὐτὸν ἐρῶ. ἐγὼ τὴν
μὲν ἐπιτροπείαν ὑμῶν ἔλαβον, ὦ Ταρκύνιε, νηπίων
καταλειφθέντων οὐχ ἑκών, ἀλλ' ὑπὸ τῶν πραγμάτων
ἀναγκασθείς· ἐπειδὴ τὸν μὲν πάππον ὑμῶν οἱ τῆς
βασιλείας ἀντιποιούμενοι φανερῶς ἀπέκτειναν, ὑμῖν δὲ
καὶ τοῖς ἄλλοις αὐτοῦ συγγενέσιν ἐπιβουλεύειν ἐλέ- 72I

1 ἤδη del. Cobet Obs. p. 84 καὶ εἴ τι A εἰ δή τι B εἰ δέ τι c. Kiessling καὶ γὰρ εἴ τι Reiske 7 ὡς add. B | δικαιότερα B 10 ὧδε om. B 11 τὰ παράδοξα del. Hertlein Hermes X 412 13 παύσασθαι A 14 λαβὼν B 17 ἁπάντων add. B 18 *ἅπαντα O 21 ἐπιτροπείαν B ἐπιτροπίαν R 25 συγγενέ.σιν Bb

γοντο ἀφανῶς· καὶ πάντες τοῦθ' οἱ προσήκοντες ὑμῖν ὡμολόγουν, ὅτι κρατήσαντες ἐκεῖνοι τῆς ἀρχῆς οὐδὲ σπέρμα τοῦ Ταρκυνιείου καταλείψουσι γένους. κηδεμὼν δὲ καὶ φύλαξ οὐδεὶς ὑμῶν ἕτερος ἦν, ὅτι μὴ γυνή, πατρὸς μήτηρ, καὶ αὐτὴ διὰ γῆρας ἑτέρων δεομένη κηδεμόνων· ἀλλ' ἐν ἐμοὶ κατελείπεσθε μόνῳ φύλακι τῆς ἐρημίας, ὃν νῦν ἀλλότριον καὶ οὐδὲν προσήκοντα ἀποκαλεῖς. τοιούτοις μέντοι πράγμασιν ἐπι- 3
στὰς ἐγὼ τούς τ' ἀποκτείναντας τὸν πάππον ὑμῶν ἐτιμωρησάμην καὶ ὑμᾶς εἰς ἄνδρας ἤγαγον καὶ γενεᾶς ἄρρενος οὐχ ὑπαρχούσης τῶν ἐμαυτοῦ κυρίους προειλόμην ποιῆσαι. ἔχεις τὸν τῆς ἐπιτροπῆς λόγον, ὦ Ταρκύνιε, καὶ οὐκ ἂν ἐπιχειρήσειας εἰπεῖν, ὡς ψεύδομαί τι τούτων.

XXXIIII. Περὶ δὲ τῆς βασιλείας, ἐπειδὴ τοῦτ'
726 ἐστιν, ὃ κατηγορεῖς μου, ἄκουσον, ὅπως τ' αὐτῆς ἔτυχον, καὶ δι' ἃς αἰτίας οὔθ' ὑμῖν οὔτ' ἄλλῳ τινὶ μεθίεμαι. ὅτε τὴν ἐπιμέλειαν τῆς πόλεως παρέλαβον, αἰσθόμενος ἐπιβουλάς τινας κατ' ἐμαυτοῦ γινομένας, παραδοῦναι τῷ δήμῳ τὰ πράγματ' ἐβουλήθην· καὶ συναγαγὼν ἅπαντας εἰς ἐκκλησίαν ἀπεδίδουν αὐτοῖς τὴν ἀρχὴν ἀντὶ τῆς ἐπιφθόνου ταύτης καὶ πλείω τὰ λυπηρὰ τῶν ἡδέων ἐχούσης ἡγεμονίας τὴν ἀκίνδυνον ἀντικαταλλασσόμενος ἡσυχίαν. οὐκ ἠνέσχοντο Ῥωμαῖοι 2
ταῦτά μου πράττειν βουλομένου οὐδ' ἠξίωσαν ἕτερόν τινα τῶν κοινῶν ἀποδεῖξαι κύριον, ἀλλ' ἐμὲ κατέσχον

3 Ταρκυνίου ABa Ταρκυνείου Bb Ταρκυνιείου Reiske | καταλίψουσι Ba 6 κατελείπεσθε Bb κατελείπεσθαι Ba κατελίπεσθε A κατελείφθητε CD 8 μὲν τοῖς A μέντοι B 24 ⟨ἠ⟩νέσχοντο B ἀνέσχοντο R

καὶ τὴν βασιλείαν ἔδωκάν μοι ψῆφον ἐπενέγκαντες,
τὴν ἑαυτῶν, Ταρκύνιε, κτῆσιν, οὐ τὴν ὑμετέραν·
3 ὥσπερ γε καὶ τὸν πάππον ὑμῶν παρήγαγον ἐπὶ τὰ
πράγματα ξένον ὄντα καὶ οὐδὲν προσήκοντα τῷ πρό-
τερον βασιλεῖ· καίτοι παῖδάς γ' Ἄγκος Μάρκιος ὁ
βασιλεὺς κατέλιπεν ἀκμάζοντας, οὐχ υἱωνοὺς καὶ νη-
πίους, ὥσπερ ὑμᾶς Ταρκύνιος. εἰ δὲ κοινὸς ἁπάντων
νόμος ἦν τοὺς διαδεχομένους τήν τε ⟨φανερὰν⟩ οὐ- 727
σίαν καὶ τὰ χρήματα τῶν ἐκλειπόντων βασιλέων σὺν
τούτοις καὶ τὰς βασιλείας αὐτῶν παραλαμβάνειν, οὐκ
ἂν Ταρκύνιος ὁ πάππος ὑμῶν τὴν ἡγεμονίαν παρέ-
λαβεν Ἄγκου τελευτήσαντος, ἀλλ' ὁ πρεσβύτερος τῶν
4 ἐκείνου παίδων. ἀλλ' ὁ δῆμος ὁ Ῥωμαίων οὐ τὸν διά-
δοχον τοῦ πατρός, ἀλλὰ τὸν ἄξιον τῆς ἀρχῆς ἐπὶ τὰ
πράγματ' ἐκάλει· ἡγεῖτο γὰρ τὰ μὲν χρήματα τῶν
κτησαμένων εἶναι, τὴν δὲ βασιλείαν τῶν δεδωκότων·
καὶ τὰ μὲν ὅταν τι πάθωσιν οἱ κύριοι τοὺς κατὰ γέ-
νος ἢ κατὰ διαθήκας διαδόχους προσήκειν παραλαμ-
βάνειν, τὴν δ' ὅταν ἐκλίπωσιν οἱ λαβόντες τοὺς δε-
δωκότας ἔχειν· εἰ μή τι τοιοῦτον ἔχεις δικαίωμα
φέρειν, ὅτι τὴν βασιλείαν ὁ πάππος ὑμῶν ἐπὶ ῥητοῖς
τισι παρέλαβεν, ὥστε καὶ αὐτὸς ἔχειν ἀναφαίρετον καὶ
ὑμῖν τοῖς ἐγγόνοις καταλιπεῖν, καὶ ὁ δῆμος οὐ κύριος 728
5 ἦν ἀφελόμενος αὐτὴν ὑμῶν ἐμοὶ δοῦναι. εἰ γάρ τι
τοιοῦτον εἰπεῖν ἔχεις, τί οὐ φέρεις τὰς συνθήκας εἰς
μέσον; ἀλλ' οὐκ ἂν ἔχοις. εἰ δ' οὐ κατὰ τὸν βέλτιστον

4 πρότερον B προτέρῳ R 5 παῖδάς γε ἄρρενας O praeter B 8 φύσιν O κτῆσιν Portus οὐσίαν c. Kiessling φανερὰν οὐσίαν ego 9 ἐκλιπόντων c. Kiessling 16 τὴν δὲ B τὴν βασιλείαν δὲ R 19 ἐκλίπωσιν A ἐκλείπωσιν B 22 ἀναφ⟨αί⟩ρετον B 23 ἐγγόνοις αὐτοῦ B

αὐτῆς ἔτυχον ἐγὼ τρόπον, ὡς λέγεις, μήθ' ὑπὸ τῶν μεσοβασιλέων αἱρεθεὶς μήτε τῆς βουλῆς μοι παραδούσης τὰ πράγματα μήτε τῶν ἄλλων γενομένων τῶν κατὰ νόμον, τούτους ἀδικῶ δήπου καὶ οὐχὶ σέ, καὶ ὑπὸ τούτων πανσθῆναι δίκαιός εἰμι τῆς ἀρχῆς, οὐχ ὑπὸ σοῦ. ἀλλ' οὔτε τούτους οὔτ' ἄλλον οὐδένα ἀδικῶ. 6 μάρτυς δὲ τῆς ἐκ ⟨τοῦ⟩ δικαίου μοι καὶ τότε δοθείσης καὶ νῦν ὑπαρχούσης ἐξουσίας ὁ χρόνος, ἐν ᾧ τετταρακονταετεῖ γεγονότι Ῥωμαίων οὐδεὶς ἡγήσατό με πώποτ' ἀδικεῖν, οὐδ' ἐκβαλεῖν με τῆς ἀρχῆς ἐπεχείρησεν οὔθ' ὁ δῆμος οὔθ' ἡ βουλή.

XXXV. Ἀλλ' ἵνα ταῦτα πάντ' ἀφῶ καὶ ὁμόσε 129 χωρήσω τοῖς σοῖς λόγοις, εἴ σε παρακαταθήκην παππῴαν ἀπεστέρουν καὶ παρὰ πάντα τὰ ἐν ἀνθρώποις δίκαια τὴν σὴν βασιλείαν κατεῖχον, ἐχρῆν σε παραγενόμενον ἐπὶ τοὺς δεδωκότας μοι τὴν ἐξουσίαν ἀγανακτεῖν καὶ κατηγορεῖν ἐμοῦ τε, ὅτι τὰ μὴ προσήκοντα κατέχω, καὶ τῶν δεδωκότων, ὅτι τἀλλότρια ἐχαρίσαντό μοι· ῥᾳδίως γὰρ ἂν ἔπεισας αὐτούς, εἴ τι δίκαιον εἶχες λέγειν. εἰ δὲ τούτῳ μὲν οὐκ ἐπίστευες τῷ λόγῳ, 2 οὐ δικαίως δ' ἄρχεσθαι τὴν πόλιν ἐνόμιζες ὑπ' ἐμοῦ καὶ σεαυτὸν ἐπιτηδειότερον εἶναι τὴν ἐπιμέλειαν τῶν κοινῶν παραλαβεῖν, ἐκεῖνα ποιεῖν σοι προσῆκεν· ἐξέτασιν τῶν ἐμῶν ποιησάμενον ἁμαρτημάτων καὶ τὰς σαυτοῦ πράξεις ἐξαριθμησάμενον καλεῖν με εἰς διαδικασίαν· ὧν οὐδέτερον ἐποίησας, ἀλλὰ τοσούτοις χρό-

5 *παν.θῆναι (σ eras.) B πανθῆναι R 6 οὐδένα add. B 7 τοῦ add. Pflugk om. O 8 τετταράκοντα ἔτει Ba τ. ἔτη Bb τετταρακονταετεῖ R τέτταρα καὶ τετταρακονταετεῖ c. Kiessling 10 ἀδ⟨ικ⟩εῖν B 12 πάντ' add. B 17 τὰ μὴ A μὴ τὰ B 23 ἐκεῖνο c. Kiessling

νοις ὕστερον ὥσπερ ἐκ μακρᾶς ἀνανήψας μέθης νῦν
3 ἥκεις μου κατηγορῶν καὶ οὐδὲ νῦν, ὅπου δεῖ. οὐ γὰρ
ἐνθάδε σοι ταῦτα προσήκει λέγειν· καὶ μηδὲν ἀχθε-
σθῆτέ μοι ταῦτα λέγοντι, ὦ βουλή· οὐ γὰρ ὑμῶν
ἀφαιρούμενος τὴν διάγνωσιν, ἀλλὰ τὴν τούτου συκο-
φαντίαν ἐπιδείξασθαι βουλόμενος ταῦτα λέγω· προει- 730
πόντα δέ ⟨σ' ἔδει⟩ μοι τὸν δῆμον εἰς ἐκκλησίαν συν-
αγαγεῖν κἀκεῖ μου κατηγορεῖν. πλὴν ἐπεὶ σὺ τοῦτο
πέφευγας, ἐγὼ περὶ σοῦ ποιήσω καὶ συγκαλέσας τὸν
δῆμον παρέξομαί σοι δικαστὴν ὧν ἄν μου κατηγο-
ρήσῃς, καὶ ἀποδώσω πάλιν αὐτῷ διαγνῶναι, πότερος
ἡμῶν ἐπιτηδειότερός ἐστιν ἔχειν τὴν ἀρχήν· καὶ ὅ τι
ἂν ἅπαντες οὗτοι γνῶσι πράττειν με ⟨δεῖν⟩, ποιήσω.
4 καὶ πρὸς μὲν ⟨σὲ⟩ ταῦθ' ἱκανά· ἐν ἴσῳ γάρ ἐστι τό
τε πολλὰ δίκαια πρὸς τοὺς ἀγνώμονας ἀντιδίκους λέ-
γειν καὶ τὸ ὀλίγα· τὸ γὰρ πεῖσον αὐτοὺς εἶναι χρη-
στοὺς οὐ πεφύκασι φέρειν οἱ λόγοι.

XXXVI. Ὑμῶν δὲ τεθαύμακα, εἴ τινές εἰσιν, ὦ βουλή, 731
τῆς ἀρχῆς με ἀπαλλάξαι βουλόμενοι, καὶ μετὰ τούτου
συνεστηκότες ἐπ' ἐμοί· ἡδέως δ' ἂν πυθοίμην παρ'
αὐτῶν, τίνος ἀδικήματος ἕνεκα πολεμοῦσί μοι καὶ ἐπὶ
τίνι τῶν ἐμῶν ἔργων ἀχθόμενοι· πότερον ὅτι πολλοὺς
ἴσασιν ἐπὶ τῆς ἐμῆς ἀρχῆς ἀκρίτους ἀπολωλότας ἢ τῆς

6 ἐπιδεῖξαι c. Kiessling | προειπόντο (sic) A προειπόντα B προειπόντος vulgo, Lapum secutus ὃν προειπεῖν ἔδει μοι — συναγαγεῖν κακεῖ μου κατηγορεῖν scribendum esse censet Sylburg, προειπόντα δ' ἔδει σε eqs c. Grasberger Tess. Herbip. p. 20 4 συναγαγεῖν καὶ ἐκεῖ A συναγαγεῖν ἐκεῖ B 12 ἔστιν ἐπιτηδειότερος B 13 δεῖν add. Bücheler 14 σε add. Reiske | τά τε et 16 τὰ ὀλίγα O corr. Cobet Obs. p. 85 18 τεθαύμακα ὦ βουλὴ O praeter B 20 ἐμοὶ Reudler Tiroc. crit. p. 34 ἐμὲ O | τούτου] τούτο. Ba τοῦτο Bb τούτων A

πατρίδος στερομένους ἢ τὰς οὐσίας ἀπολωλεκότας ἢ
ἄλλῃ τινὶ συμφορᾷ κεχρημένους ἀδίκως; ἢ τούτων
μὲν τῶν τυραννικῶν ἀδικημάτων οὐδὲν ἔχουσιν εἰπεῖν
ὑπ' ἐμοῦ γεγονός, ὕβρεις δέ μοί τινας συνοίδασιν εἰς
γυναῖκας γαμετὰς ἢ προπηλακισμοὺς εἰς θυγατέρας
παρθένους ἢ ἄλλην τινὰ περὶ σῶμα ἐλεύθερον ἀκο-
λασίαν; δικαίως μέντ' ἄν, εἴ τί μοι τοιοῦτον ἡμάρτη-
732 ται, τῆς ἀρχῆς θ' ἅμα καὶ τῆς ψυχῆς ἀποστερηθείην.
φέρε ἀλλ' ὑπερήφανός εἰμι καὶ διὰ βαρύτητα ἐπαχθὴς 2
καὶ τὴν αὐθάδειαν, ᾗ κέχρημαι περὶ τὴν ἀρχήν, οὐδεὶς
φέρειν δύναταί μου; τίς μέντοι τῶν πρὸ ἐμοῦ βασι-
λέων οὕτω μέτριος ⟨ὢν⟩ ἐν ἐξουσίᾳ διετέλεσε καὶ
φιλάνθρωπος ἅπασι τοῖς πολίταις ὡς πατὴρ πρᾶος
υἱοῖς αὐτοῦ χρώμενος; ὅς γε καὶ τὴν ἐξουσίαν, ἣν
ὑμεῖς ἐδώκατέ μοι πατέρων φυλάττοντες παραδοχάς,
οὐχ ἅπασαν ἐβουλήθην ἔχειν, ἀλλὰ νόμους θ' ὑπὲρ
τῶν κυριωτάτων καταστησάμενος, οὓς ἅπαντες ἐπεκυρώ-
σατε, κατὰ τούτους ὑμῖν ἀπέδωκα διδόναι τὰ δίκαια
καὶ λαμβάνειν, καὶ αὐτὸς ἐξηταζόμην πρῶτος οἷς ὥρισα
κατὰ τῶν ἄλλων δικαίοις ὥσπερ ἰδιώτης πειθόμενος·
τῶν τ' ἀδικημάτων οὐχ ἁπάντων αὐτὸς ἐγινόμην δι-
733 καστής, ἀλλὰ τὰς ἰδιωτικὰς ⟨δίκας⟩ ὑμῖν ἀπέδωκα
διαγινώσκειν, ὃ τῶν ἔμπροσθεν οὐδεὶς ἐποίησε βασι-
λέων. ἀλλ' ἔοικεν ἀδίκημα μὲν οὐδὲν εἶναι, δι' ὃ 3

1 στερουμένους O στερομένους c. Kiessling 2 κεπ.ρη-μένους Ba κεκριμένους ABa κεχρημένους Sylburg | ἀδίκως O ἀδίκῳ Kiessling 4 ἐμοῦ] ἐμοὶ Ba 9 φέρε εἰπεῖν O praeter B 12 οὕτως B | μέτριος ex μετρίως Ba corr. μέτριος ὢν Bücheler μετρίως et φιλανθρώπως Pflugk 13 πᾶσι O corr. Kiessling 14 ἑαυτοῦ B 16 ὑπὲρ om. A 21 ἐγινόμην B ἐγενόμην R | δίκας post ἰδιωτικὰς inseruit Sintenis Em. Dion. II 14 24 δι. (δή?) Bb δι' ὃ R

δυσχεραίνουσί μοί τινες, αἱ δ' εἰς τὸ δημοτικὸν πλῆθος εὐεργεσίαι λυπεῖν ὑμᾶς δοκοῦσι, περὶ ὧν πολλάκις ἀπολελόγημαι πρὸς ὑμᾶς. ἀλλ' οὐδὲν δεῖ τούτων νυνὶ τῶν λόγων· εἰ ⟨δὲ⟩ δοκεῖ κρεῖττον ἐπιμελήσεσθαι τῶν κοινῶν Ταρκύνιος οὑτοσὶ τὰ πράγματα παραλαβών, οὐ φθονῶ τῇ πόλει βελτίονος ἡγεμόνος· ἀποδοὺς δὲ τὴν ἀρχὴν τῷ δεδωκότι μοι δήμῳ καὶ γενόμενος ἰδιώτης πειράσομαι ποιῆσαι πᾶσι φανερόν, ὅτι καὶ ἄρχειν ἐπίσταμαι καλῶς καὶ ἄρχεσθαι δύναμαι σωφρόνως.

XXXVII. Τοιαῦτα διαλεχθεὶς καὶ εἰς πολλὴν αἰδῶ
καταστήσας τοὺς συνισταμένους ἐπ' αὐτῷ διέλυσε τὸν
σύλλογον καὶ μετὰ τοῦτο τοὺς κήρυκας ἀνακαλεσάμενος
ἐκέλευσε διὰ πάντων τῶν στενωπῶν διεξιόντας τὸν
2 δῆμον εἰς ἐκκλησίαν συγκαλεῖν. συνδραμόντος δ' εἰς 734
τὴν ἀγορὰν τοῦ κατὰ [τὴν] πόλιν ὄχλου προελθὼν ἐπὶ
τὸ βῆμα μακρὰν καὶ συμπαθῆ διεξῆλθε δημηγορίαν
τάς τε πολεμικὰς ἑαυτοῦ πράξεις ἐξαριθμούμενος, ἃς
Ταρκυνίου τε ζῶντος διεπράξατο καὶ μετὰ τὴν ἐκείνου
τελευτὴν καὶ τῶν πολιτευμάτων καθ' ἓν ἕκαστον ἐπι-
λεγόμενος, ἐξ ὧν πολλὰς καὶ μεγάλας ἔδοξεν ἐσχηκέναι
3 τὸ κοινὸν ὠφελείας. πολλοῦ δ' ἐφ' ἑκάστῳ τῶν λεγο-
μένων ἀπαντῶντος ἐπαίνου καὶ πάντων σπουδὴν ἐχόν-
των μαθεῖν, τίνων ἕνεκα ταῦτα λέγει, τελευτῶν ἔφησεν,
ὅτι Ταρκύνιος αὐτὸν αἰτιᾶται τὴν βασιλείαν οὐ δικαίως
κατέχειν ἑαυτῷ προσήκουσαν· καταλιπεῖν γὰρ αὐτῷ
τὸν πάππον ἀποθνήσκοντα σὺν τοῖς χρήμασι καὶ τὴν

2 λυποῦσι με A λυπεῖν με B λυποῦσιν ὑμᾶς CD | *ἀδίκως O δοκοῦσι ego 4 εἰ δὲ δοκεῖ c. Reiske 8 πᾶσι add. Bb in ras. 15 *τὴν O inclusi | παρελθὼν c. Garrer Obs. p. 8 16 ἐμπαθῆ idem l. l. 24 ὅτι Bb .τι Ba om. A | αὐτῷ A

ἀρχήν, τὸν δὲ δῆμον οὐκ εἶναι κύριον τἀλλότρια ἑτέρῳ διδόναι. κραυγῆς δὲ καὶ ἀγανακτήσεως ἐξ ἁπάντων 4 ἐπὶ τούτῳ γενομένης σιωπῆσαι κελεύσας αὐτοὺς ἠξίου μηδὲν ἄχθεσθαι μηδὲ ἀγανακτεῖν πρὸς τὸν λόγον, ἀλλ' εἴ τι δίκαιον εἰπεῖν ἔχει Ταρκύνιος, καλεῖν αὐτὸν καὶ 735 διδαχθέντας, ἐάν τ' ἀδικούμενον εὕρωσιν ἐάν τ' ἐπιτηδειότερον ἄρχειν, ἐκείνῳ παραδοῦναι τὴν τῆς πόλεως προστασίαν· αὐτὸς δὲ τῆς ἀρχῆς ἔφησεν ἀφίστασθαι καὶ ἀποδιδόναι τοῖς κυρίοις, παρ' ὧν αὐτὴν ἔλαβεν. ταῦτα λέξαντος αὐτοῦ καταβαίνειν τ' ἀπὸ τοῦ βήματος 5 βουλομένου κραυγή τ' ἐξ ἁπάντων ἐγίνετο καὶ δεήσεις πολλαὶ σὺν οἰμωγαῖς ὑπὲρ τοῦ μηδενὶ παραχωρεῖν τῆς ἀρχῆς· τινὲς δ' ἐξ αὐτῶν καὶ βάλλειν τὸν Ταρκύνιον ἐβόων. ἐκεῖνος μὲν οὖν δείσας τὴν ἐκ χειρὸς δίκην ὁρμῆς ἤδη γινομένης τῶν ὄχλων ἐπ' αὐτὸν ᾤχετο φεύγων ἅμα τοῖς ἑταίροις· τὸν δὲ Τύλλιον ἡ πληθὺς ἅπασα μετὰ χαρᾶς καὶ κρότου καὶ πολλῆς εὐφημίας παραπέμπουσα μέχρι τῆς οἰκίας κατέστησεν.

XXXVIII. Ὡς δὲ καὶ ταύτης διήμαρτε τῆς πείρας ὁ Ταρκύνιος, ἀδημονῶν ἐπὶ τῷ μηδεμίαν αὐτῷ βοήθειαν παρὰ τῆς βουλῆς, ᾗ μάλιστα ἐπεποίθει, γενέσθαι, χρόνον μέν τινα διέτριβε κατ' οἰκίαν τοῖς ἑταίροις 736 μόνοις διαλεγόμενος· ἔπειτα γνώμην ἀποδειξαμένης τῆς γυναικὸς μηδὲν ἔτι μαλακίζεσθαι μηδὲ κατοκνεῖν, ἀλλὰ καταβαλόντα τοὺς λόγους ἐπὶ τὰ ἔργα χωρεῖν διαλλαγὰς πρῶτον εὑρόμενον διὰ φίλων πρὸς τὸν Τύλ-

8 αὐτ⟨ὸ⟩ς B 12 μηδεν⟨ὶ⟩ B 14 χειρὸς ὁρμὴν γινομένην O praeter B 15 ἐπ' οἶκον ᾤχετο c. Portus 17 πολλῆς add. B 18 οἰκίας αὐτῆς A αὐτῆς om. B οἰκίας ἐπ' αὐτῆς Reiske 22 ἑτ⟨αί⟩ροις B 25 ἀποβαλόντα c. Sintenis Em. Dion. III 23

λιον, ἵνα πιστεύσας ὡς φίλῳ γεγονότι ἧττον αὐτὸν
φυλάττοιτο, δόξας δ' αὐτὴν τὰ κράτιστα ὑποθέσθαι
μετανοεῖν τε περὶ τῶν γεγονότων ἐσκήπτετο καὶ πολλὰ
διὰ φίλων λιπαρῶν τὸν Τύλλιον ἠξίου συγγνώμονα
2 γενέσθαι. ῥᾷστα δὲ πείσας τὸν ἄνδρα φύσει τ' εὐδι-
άλλακτον ὄντα καὶ οὐκ ἀξιοῦντα πόλεμον ἄσπειστον
θυγατρὶ καὶ γαμβρῷ πολεμεῖν, ἐπειδὴ τὸν οἰκεῖον και-
ρὸν ἔλαβε διεσκεδασμένου τοῦ δήμου κατὰ τοὺς ἀγροὺς
ἐπὶ τὴν τῶν καρπῶν συγκομιδήν, ἐξῆλθε μετὰ τῶν
ἑταίρων ἐχόντων ὑπὸ ταῖς περιβολαῖς ξίφη, τούς τε
πελέκεις ὑπηρέταις τισὶν ἀναδοὺς καὶ αὐτὸς τὴν βασι-
λικὴν ἐσθῆτα λαβὼν καὶ τἆλλα παράσημα τῆς ἀρχῆς
ἐπαγόμενος· ἐλθὼν δ' εἰς τὴν ἀγορὰν καὶ πρὸ τοῦ
βουλευτηρίου στὰς ἐκέλευσε τῷ κήρυκι τοὺς βουλευτὰς
καλεῖν εἰς τὸ συνέδριον. ἦσαν δ' ἐκ παρασκευῆς ἕτοι-
μοι περὶ τὴν ἀγορὰν οἱ συνειδότες αὐτῷ τὴν πρᾶξιν 737
3 καὶ παρορμῶντες ἐκ τῶν πατρικίων συχνοί. οἱ μὲν δὴ
συνῄεσαν· τῷ δὲ Τυλλίῳ λέγει τις ἐλθὼν ὄντι κατ'
οἰκίαν, ὅτι Ταρκύνιος ἐν ἐσθῆτι βασιλικῇ προελήλυθε
καὶ καλεῖ τοὺς βουλευτὰς εἰς τὸ συνέδριον. ὁ δὲ θαυ-
μάσας τὴν τόλμαν αὐτοῦ τάχιον ἢ φρονιμώτερον προ-
ῆλθεν ἐκ τῆς οἰκίας οὐ πολλοὺς περὶ ἑαυτὸν ἔχων.
ἐλθὼν δ' εἰς τὸ συνέδριον καὶ τὸν Ταρκύνιον ἰδὼν
ἐπὶ τῆς βασιλικῆς καθήμενον ἕδρας καὶ τὸν ἄλλον
4 βασίλειον ἔχοντα κόσμον· Τίς, εἶπεν, ὦ μιαρώτατε
ἀνθρώπων, τοῦτό σοι τὸ σχῆμα συνεχώρησε λαβεῖν;

2 δὲ add. ABb om. R del. Reiske 6 ἄσπειστον B ἄπιστον R 10 ἑτ⟨αί⟩ρων Bb 12 ἀναλαβὼν O corr. Cobet Obs. p. 85 14 ἐκέλευε B 18 εἰςελθὼν A 23 ⟨ἰ⟩δὼν B 24 ἕδρας B καθέδρας R 24 βασίλειον A τὸν βασιλεῖον B τῶν βασιλέων Kiessling

*καὶ ὃς ὑπολαβών· Ἡ σὴ τόλμα καὶ ἀναίδεια, εἶπεν,
ὦ Τύλλιε, ὃς οὐδ᾽ ἐλεύθερος ὤν, ἀλλὰ δοῦλος ἐκ δού-
λης, ἣν οὑμὸς ἐκτήσατο πάππος ἐκ τῶν αἰχμαλώτων,
ἐτόλμησας βασιλέα Ῥωμαίων σεαυτὸν ἀναδεῖξαι. ὡς δὲ
ταῦτ᾽ ἤκουσεν ὁ Τύλλιος, ἐκπικρανθεὶς ἐπὶ τῷ λόγῳ
παρὰ τὸ συμφέρον ὥρμησεν ἐπ᾽ αὐτὸν ὡς ἐξαναστήσων*
738 *τῆς ἕδρας. καὶ ὁ Ταρκύνιος ἄσμενος τοῦτ᾽ ἰδὼν ἀνα-* 5
*πηδᾷ τ᾽ ἀπὸ τοῦ δίφρου, καὶ συναρπάσας τὸν γέροντα
κεκραγότα καὶ τοὺς ὑπηρέτας ἐπικαλούμενον ἔφερε.
γενόμενος δ᾽ ἔξω τοῦ βουλευτηρίου μετέωρον ἐξαρ-
πάσας αὐτὸν ἀκμάζων τὸ σῶμα καὶ ῥωμαλέος ἀνὴρ
ῥιπτεῖ κατὰ τῶν κρηπίδων τοῦ βουλευτηρίου τῶν εἰς
τὸ ἐκκλησιαστήριον φερουσῶν. μόγις δ᾽ ἐκ τοῦ πτώ-* 6
*ματος ἀναστὰς ὁ πρεσβύτης ὡς εἶδε μεστὰ τὰ πέριξ
ἅπαντα τῆς περὶ τὸν Ταρκύνιον ἑταιρείας, τῶν δ᾽ αὐτοῦ
φίλων πολλὴν ἐρημίαν, ἀπῄει στένων κρατούντων καὶ
παραπεμπόντων αὐτὸν ὀλίγων, αἵματι πολλῷ ῥεόμενος
καὶ κακῶς ὅλον ἑαυτὸν ἐκ τοῦ πτώματας ἔχων.*

XXXVIIII. *Τὰ μετὰ ταῦτα δεινὰ μὲν ἀκουσθῆναι, θαυμαστὰ δὲ καὶ ἄπιστα πραχθῆναι, τῆς ἀνοσίας αὐτοῦ θυγατρὸς ἔργα παραδίδοται. πεπυσμένη γὰρ τὴν εἰς τὸ βουλευτήριον τοῦ πατρὸς εἴσοδον καὶ σπουδὴν*

1 *εἶπεν* add. B 8 *ἀπὸ*] *ἐκ* Cobet Obs. p. 56 10 *ἐξάρας* Reiske 11 *ῥωμαλέως* A *ῥωμαλέος ὢν* c. Kayser Ann. phil. 1866 p. 45 12 *ἀναρρίπτει* A *ἀναρρί.πτει* B *ι* litt. ex *η* orta. *ἀνὴρ ῥίπτει* (rectius *ῥιπτεῖ*) Sintenis Em. Dion. II 4 14 *εἶδε* ABb *ἴδε* Ba 15 *ἑταιρείας* B *βοηθείας* R *ἑταιρίας* Kiessling | *αὐτοῦ* ABb *αυτοῦ* Ba 16 *στένων κρατούντων* in suspicionem vocat Kiessling, qui pro *στένων* potius *διὰ τῶν στενωπῶν* vel tale quid Dionysium scripsisse opinatur *κρατυνόντων* c. Bücheler 17 *περιρρεόμενος* O praeter B 19 *ταῦτα δὲ* Reiske 20 *θαυμαστὰ δὲ καὶ ἄπιστα πραχθῆναι* add. B

ἔχουσα μαθεῖν οἷόν τι λήψεται τὰ πράγματα τέλος,
ἐπὶ τῆς ἀπήνης καθεζομένη παρῆν εἰς τὴν ἀγοράν.
μαθοῦσα δὲ τὰ γενόμενα καὶ τὸν Ταρκύνιον ἐπὶ τῆς 739
κρηπῖδος ἑστῶτα πρὸ τοῦ βουλευτηρίου θεασαμένη
βασιλέα τ' αὐτὸν ἠσπάσατο πρώτη μεγάλῃ τῇ φωνῇ
καὶ τοῖς θεοῖς εὔξατο ἐπὶ τῷ συμφέροντι τῆς πόλεως
2 τῆς Ῥωμαίων τὴν ἀρχὴν αὐτὸν κατασχεῖν. ἀσπασα-
μένων δὲ καὶ τῶν ἄλλων αὐτὸν ὡς βασιλέα τῶν συγ-
κατασκευασάντων τὴν ἀρχὴν λαβοῦσα μόνον αὐτόν·
Τὰ μὲν πρῶτα, ἔφη, πέπρακταί σοι, Ταρκύνιε, κατὰ τὸ
δέον· βεβαίως δὲ τὴν βασιλείαν ἔχειν Τυλλίου περιόν-
τος οὐκ ἔνεστί σοι. ἐκδημαγωγήσει γὰρ αὖθις ἐπὶ σοὶ
τὸν ὄχλον, ἐὰν καὶ ὁποσονοῦν ταύτης τῆς ἡμέρας
περιγένηται χρόνον· ἐπίστασαι δ', ὡς εὔνουν ἐστὶν
αὐτῷ τὸ δημοτικὸν ἅπαν· ἀλλὰ καὶ πρὶν εἰς τὴν οἰκίαν
αὐτὸν εἰσελθεῖν, ἀποστείλας τοὺς διαχρησομένους ἐκ-
3 ποδῶν ποίησον. Ταῦτ' εἰποῦσα καὶ καθεζομένη πάλιν
ἐπὶ τῆς ἀπήνης ᾤχετο· Ταρκύνιος δὲ καὶ ταῦτ' ὀρθῶς
δόξας τὴν ἀνοσιωτάτην γυναῖκα ὑποτίθεσθαι πέμπει
τινὰς τῶν θεραπόντων ἐπ' αὐτὸν ἔχοντας ξίφη· οἳ
τάχει πολλῷ τὴν μεταξὺ διανύσαντες ὁδὸν ἐγγὺς ὄντα
τῆς οἰκίας ἤδη τὸν Τύλλιον καταλαβόντες κατέσφαξαν.
ἔτι δὲ νεοσφάγοῦς ἐρριμμένου τοῦ σώματος καὶ σπαί- 740
4 ροντος ἡ θυγάτηρ παρῆν. στενοῦ δ' ὄντος πάνυ τοῦ
στενωποῦ, δι' οὗ τὴν ἀπήνην ἔδει διελθεῖν, αἱ ἡμίονοι
τὸ πτῶμα ἰδοῦσαι διεταράχθησαν, καὶ ὁ προηγούμενος
αὐτῶν ὀρεοκόμος παθών τι πρὸς τὸ τῆς ὄψεως ἐλεει-

4 πρὸ add. B 8 ὡς del. Reudler Tiroc. crit. p. 34 10 ἔφη τὰ μὲν πρῶτα ὦ Ταρκύνιε O praeter B 15 καὶ add. B 19 ὑποθέσθαι c. Kiessling 23 σπ⟨αί⟩ροντος B

νὸν ἐπέστη καὶ πρὸς τὴν δέσποιναν ἀπέβλεψε. πυν-
θανομένης δ' ἐκείνης, τί παθὼν οὐκ ἄγει τὸ ζεῦγος·
Οὐχ ὁρᾷς, εἶπεν, ὦ Τυλλία, τὸν πατέρα σου νεκρὸν
κείμενον καὶ πάροδον οὐκ οὖσαν ἄλλην, εἰ μὴ διὰ
τοῦ πτώματος; ἡ δ' ἐκπικρανθεῖσα καὶ ἀπὸ τῶν πο- 5
δῶν τὸ βάθρον ἁρπάσασα βάλλει τὸν ὀρεοκόμον καί
φησιν· Οὐκ ἄξεις, ἀλιτήριε, καὶ διὰ τοῦ νεκροῦ;
κἀκεῖνος ἐπὶ τῷ πάθει μᾶλλον ἢ τῇ πληγῇ στενάξας
ἄγει βίᾳ τὰς ἡμιόνους κατὰ τοῦ πτώματος. οὗτος ὁ
στενωπὸς ὄρβιος καλούμενος πρότερον ἐξ ἐκείνου τοῦ
δεινοῦ καὶ μυσαροῦ πάθους ἀσεβὴς ὑπὸ Ῥωμαίων κατὰ
τὴν πάτριον γλῶτταν καλεῖται.

41 XXXX. Τοιαύτης τελευτῆς ἔτυχε Τύλλιος ἔτη τετ-
ταράκοντα ⟨καὶ τέτταρα⟩ τὴν βασιλείαν κατασχών. τοῦ-
τον τὸν ἄνδρα λέγουσι Ῥωμαῖοι πρῶτον τὰ πάτρια
ἔθη καὶ νόμιμα κινῆσαι, τὴν ἀρχὴν λαβόντα οὐ παρὰ
τῆς βουλῆς καὶ τοῦ δήμου, καθάπερ οἱ πρὸ αὐτοῦ
πάντες, ἀλλὰ παρὰ μόνου τοῦ δήμου, δεκασμοῖς δὲ
[καὶ δωροδοκίαις] καὶ ἄλλαις πολλαῖς κολακείαις ἐκ-
θεραπεύσαντα τοὺς ἀπόρους· καὶ ἔχει τἀληθὲς οὕτως.
ἐν γὰρ τοῖς πρότερον χρόνοις, ὁπότε βασιλεὺς ἀπο- 2
θάνοι, τὴν μὲν ἐξουσίαν ὁ δῆμος ἐδίδου τῷ συνεδρίῳ
τῆς βουλῆς, οἵαν προέλοιτο καταστήσασθαι πολιτείαν·
ἡ δὲ βουλὴ μεσοβασιλεῖς ἀπεδείκνυεν· ἐκεῖνοι δὲ τὸν
ἄριστον ἄνδρα, εἴτ' ἐκ τῶν ἐπιχωρίων, [εἴτ' ἐκ τῶν
πολιτῶν,] εἴτ' ἐκ τῶν ξένων, βασιλέα καθίστασαν. εἰ

4 ἄλλην ταῖς ἡμιόνοις B  5 ἀπὸ] ὑπὸ Tegge p. 35  14 καὶ τέτταρα add. Hudson  18 δὲ B om. A τε Kiessling  19 καὶ δωροδοκίαις del. Cobet Obs. p. 86  26 πολιτ⟨ῶν εἴτε⟩ in ras. Ba  εἴτ' ἐκ τῶν πολιτῶν del. Reiskium secutus Schnelle p. 21

μὲν οὖν ἥ τε βουλὴ τὸν αἱρεθέντα ὑπ᾽ αὐτῶν ἐδοκί- 742
μασε, καὶ ὁ δῆμος ἐπεψήφισε καὶ τὰ μαντεύματα ἐπε-
κύρωσε, παρελάμβανεν οὗτος τὴν ἀρχήν· ἐλλείποντος
δέ τινος τούτων ἕτερον ὠνόμαζον, καὶ τρίτον, εἰ μὴ
συμβαίη μηδὲ τῷ δευτέρῳ τά τε παρ᾽ ἀνθρώπων καὶ
3 τὰ παρὰ τῶν θεῶν ἀνεπίληπτα. ὁ δὲ Τύλλιος ἐπιτρό-
που βασιλικοῦ σχῆμα κατ᾽ ἀρχὰς λαβών, ὡς εἴρηταί
μοι πρότερον, ἔπειτα φιλανθρωπίαις τισὶ τὸν δῆμον
οἰκειωσάμενος ὑπ᾽ ἐκείνου βασιλεὺς ἀπεδείχθη μόνου.
ἐπιεικὴς δὲ καὶ μέτριος ἀνὴρ γενόμενος ἔλυσε τὰς ἐπὶ
τῷ μὴ πάντα ⟨τὰ⟩ κατὰ τοὺς νόμους πρᾶξαι διαβολὰς
τοῖς μετὰ ταῦτ᾽ ἔργοις, παρέσχε τε πολλοῖς ὑπόληψιν
ὡς, εἰ μὴ θᾶττον ἀνῃρέθη, μεταστήσων τὸ σχῆμα τῆς
4 πολιτείας εἰς δημοκρατίαν. καὶ ἐπὶ ταύτῃ μάλιστα τῇ
αἰτίᾳ λέγεται τῶν πατρικίων αὐτῷ τινας συνεπιβου-
λεῦσαι· ἀδυνάτους δ᾽ ὄντας δι᾽ ἑτέρου τρόπου τὴν
ἐξουσίαν αὐτοῦ καταλῦσαι καὶ Ταρκύνιον ἐπὶ τὰ πράγ-
ματα παραλαβεῖν καὶ συγκατασκευάσαι τὴν ἀρχὴν ἐκείνῳ,
κακῶσαί τε βουλομένους τὸ δημοτικὸν ἰσχύος οὐ μι- 743
κρᾶς ἐπειλημμένον ἐκ τῆς Τυλλίου πολιτείας, καὶ τὴν
5 ἰδίαν ἀξίωσιν, ἣν πρότερον εἶχον, ἀναλαβεῖν. θορύβου
δὲ γενομένου πολλοῦ κατὰ τὴν πόλιν ὅλην καὶ οἰμω-
γῆς ἐπὶ τῷ Τυλλίου θανάτῳ δείσας ὁ Ταρκύνιος, εἰ
διὰ τῆς ἀγορᾶς ὁ νεκρὸς φέροιτο, ὡς ἔστι Ῥωμαίοις
ἔθος, τόν τε βασίλειον κόσμον ἔχων καὶ τἆλλ᾽, ὅσα
νόμος ἐπὶ ταφαῖς ⟨βασιλικαῖς⟩ μή τις εἰς ἑαυτὸν ὁρμὴ
γένηται τοῦ δημοτικοῦ, πρὶν ἢ βεβαίως κρατύνασθαι

5 παρὰ τῶν ἀνθρώπων Reiske 11 πάντα τὰ κατὰ c. Kiessling 17 καὶ ante Ταρκύνιον del. Kiessling 26 ταφαῖς μὴ A ταφαῖς καὶ μὴ B τ. βασιλικαῖς μὴ c. Kiessling | εἰς O ἐφ᾽ c Kiessling

*τὴν ἀρχήν, οὐκ εἴασε τῶν νομίμων οὐδὲν αὐτῷ γε-
νέσθαι· ἀλλ' ἡ γυνὴ τοῦ Τυλλίου σὺν ὀλίγοις τισὶ
τῶν φίλων, Ταρκυνίου θυγάτηρ οὖσα τοῦ προτέρου
βασιλέως, νυκτὸς ἐκκομίζει τὸ σῶμα τῆς πόλεως, ὡς
τῶν ἐπιτυχόντων τινός· καὶ πολλὰ μὲν τὸν ἑαυτῆς
καὶ ἐκείνου δαίμονα κατοδυραμένη, μυρίας δὲ κατάρας
τῷ τε γαμβρῷ καὶ τῇ θυγατρὶ καταρασαμένη κρύπτει
γῇ τὸ σῶμα. ἀπελθοῦσα δ' ἀπὸ τοῦ σήματος οἴκαδε* 6
*καὶ μίαν ἡμέραν ἐπιβιώσασα μετὰ τὴν ταφὴν τῇ κατό-*
744 *πιν νυκτὶ ἀποθνήσκει. τοῦ θανάτου δ' ὁ τρόπος, ὅστις
ἦν, ἠγνοεῖτο τοῖς πολλοῖς· ἔλεγον δ' οἱ μὲν ὑπὸ λύπης
αὐτοχειρίᾳ τὸ ζῆν προεμένην αὐτὴν ἀποθανεῖν· οἱ δ'
ὑπὸ τοῦ γαμβροῦ καὶ τῆς θυγατρὸς ἀναιρεθῆναι τῆς
εἰς τὸν ἄνδρα συμπαθείας τε καὶ εὐνοίας ἕνεκα. ταφῆς
μὲν οὖν βασιλικῆς καὶ μνήματος ἐπιφανοῦς διὰ ταύτας
τὰς αἰτίας οὐκ ἐξεγένετο τυχεῖν τῷ Τυλλίου σώματι,
μνήμης δ' αἰωνίου τοῖς ἔργοις αὐτοῦ παρὰ πάντα τὸν
χρόνον ὑπάρχει τυγχάνειν. ἐδήλωσε δέ τι καὶ ἄλλο* 7
*δαιμόνιον ἔργον, ὅτι θεοφιλὴς ἦν ἀνήρ, ἐξ οὗ καὶ ἡ
περὶ τῆς γενέσεως αὐτοῦ μυθικὴ καὶ ἄπιστος ὑπόληψις,
ὥσπερ εἴρηταί μοι πρότερον, ἀληθὴς εἶναι ὑπὸ πολ-
λῶν ἐπιστεύθη. ἐν γὰρ τῷ ναῷ τῆς Τύχης, ὃν αὐτὸς
κατεσκεύασεν, εἰκὼν αὐτοῦ κειμένη ξυλίνη κατάχρυσος
ἐμπρήσεως γενομένης καὶ τῶν ἄλλων ἁπάντων διαφθα-
ρέντων μόνη διέμεινεν οὐδὲν λωβηθεῖσα ὑπὸ τοῦ πυ-
ρός. καὶ ἔτι νῦν ὁ μὲν νεὼς καὶ τὰ ἐν αὐτῷ πάντα,*

2 *σὺν ὀλίγοις τισὶ τῶν φίλων* post *βασιλέως* collocanda esse censet Schnelle Exerc. crit. p. 35  6 *κατοδυρομένη* O *κατοδυραμένη* Cobet Obs. p. 86  9 *κατόπ⟨ι⟩ν* B  19 **ὁ ἀνὴρ* A *ἀνὴρ* B  20 *ὑπόληψ⟨ι⟩ς* B

ὅσα μετὰ τὴν ἔμπρησιν εἰς τὸν ἀρχαῖον κόσμον ἐπετε- 745
λέσθη φανερά, ὅτι τῆς καινῆς ἐστι τέχνης, ἡ δ' εἰκών,
οἵα πρότερον ἦν, ἀρχαικὴ τὴν κατασκευήν· διαμένει
γὰρ ἔτι σεβασμοῦ τυγχάνουσα ὑπὸ Ῥωμαίων. καὶ περὶ
μὲν Τυλλίου τοσαῦτα παρελάβομεν.

XXXXI. *Μετὰ δὲ τοῦτον παραλαμβάνει Λεύκιος*
Ταρκύνιος τὴν Ῥωμαίων δυναστείαν οὐ κατὰ νόμους,
ἀλλὰ διὰ τῶν ὅπλων κατασχών, κατὰ τὸν τέταρτον
ἐνιαυτὸν τῆς ἑξηκοστῆς καὶ πρώτης ὀλυμπιάδος, ἣν
ἐνίκα στάδιον Ἀγάθαρχος Κερκυραῖος ἄρχοντος Ἀθή-
2 νησι Θηρικλέους. οὗτος ὑπεριδὼν μὲν τοῦ δημοτικοῦ
πλήθους, ὑπεριδὼν δὲ τῶν πατρικίων, ὑφ' ὧν ἐπὶ τὴν
δυναστείαν παρήχθη, ἔθη τε καὶ νόμους καὶ πάντα
τὸν ἐπιχώριον κόσμον, ᾧ τὴν πόλιν ἐκόσμησαν οἱ πρό-
τεροι βασιλεῖς, συγχέας καὶ διαφθείρας εἰς ὁμολογου-
3 μένην τυραννίδα μετέστησε τὴν ἀρχήν. καὶ πρῶτον
μὲν φυλακὴν κατεστήσατο περὶ ἑαυτὸν ἀνθρώπων θρα- 746
συτάτων ξίφη καὶ λόγχας φερόντων ἐπιχωρίων τε καὶ
ἀλλοδαπῶν, οἳ νυκτός τε περὶ τὴν βασίλειον αὐλιζό-
μενοι αὐλὴν καὶ μεθ' ἡμέραν ἐξιόντι παρακολουθοῦν-
τες, ὅπῃ πορεύοιτο, πολλὴν τὴν ἀπὸ τῶν ἐπιβουλευ-
σόντων ἀσφάλειαν παρείχοντο. ἔπειτα τὰς ἐξόδους
οὔτε συνεχεῖς οὔτε τεταγμένας, ἀλλὰ σπανίους καὶ
ἀπροσδοκήτους ἐποιεῖτο ἐχρηματίζετό τε περὶ τῶν κοι-
νῶν κατ' οἶκον μὲν τὰ πολλὰ καὶ αὐτῶν τῶν ἀναγ-

3 puncto post *κατασκευὴν* sublato v. 4 *γὰρ* del. Reiske 10 *Κερκυραῖος* add. B 11 *Θηρικλέους* B *Ἡρακλέους* R 13 *προήχθη* O *παρήχθη* Kiessling 19. 20 *περὶ τὸ βασίλειον* sine *αὐλὴν* B 21 *ὅποι* Hertlein Hermes X 412 23 *οὔτε — οὐδὲ* A *οὔτε — οὔτε* R 24 **χρηματίζεται περὶ* A *ἐχρημάτιζε. τε περὶ* B

καιοτάτων συμπαρόντων, ὀλίγα δ' ἐν ἀγορᾷ. προσελ- 4
θεῖν δ' οὐδενὶ τῶν βουλομένων ἐπέτρεπεν, εἰ μή τινα
καλέσειεν αὐτός· οὔτε τοῖς προσιοῦσιν εὐμενὴς οὐδὲ
747 πρᾷος ἦν, ἀλλ' οἷα δὴ τύραννος, βαρύς τε καὶ χαλεπὸς
ὀργὴν καὶ φοβερὸς μᾶλλον ἢ φαιδρὸς ὀφθῆναι· καὶ
τὰς περὶ τῶν ἀμφισβητήτων συμβολαίων κρίσεις οὐκ
ἐπὶ τὰ δίκαια καὶ τοὺς νόμους, ἀλλ' ἐπὶ τοὺς ἑαυτοῦ
τρόπους ἀναφέρων ἐποιεῖτο. διὰ ταῦτ' ἐπωνυμίαν τί-
θενται αὐτῷ Ῥωμαῖοι τὸν Σούπερβον, τοῦτο δὲ δη-
λοῦν βούλεται κατὰ τὴν ἡμετέραν γλῶτταν τὸν ὑπερή-
φανον. τὸν δὲ πάππον αὐτοῦ Πρίσκον ἐκάλουν· ὡς
δ' ἡμεῖς ἂν εἴποιμεν, προγενέστερον· ὁμώνυμος γὰρ
ἦν τῷ νεωτέρῳ κατ' ἄμφω τὰ ὀνόματα.

XXXXII. Ἐπεὶ δ' ἐγκρατῶς ἤδη κατέχειν ὑπελάμ-
βανε τὴν ἀρχήν, παρασκευάσας ἐκ τῶν ἑταίρων τοὺς
πονηροτάτους δι' ἐκείνων ἦγεν εἰς ἐγκλήματα καὶ θα-
νάτου δίκας πολλοὺς τῶν ἐπιφανῶν· πρώτους μὲν
τοὺς ἐχθρῶς διακειμένους πρὸς αὐτόν, οἷς οὐκ ἦν βου-
λομένοις Τύλλιον ἐκ τῆς ἀρχῆς ἐκπεσεῖν· ἔπειτα καὶ
τῶν ἄλλων, οὓς ὑπελάμβανε βαρεῖαν ἡγεῖσθαι τὴν με-
ταβολὴν καὶ οἷς πολὺς πλοῦτος ἦν. οἱ δ' ὑπάγοντες 2
αὐτοὺς ὑπὸ τὰς δίκας ἄλλους ἐπ' ἄλλαις ψευδέσιν αἰ-
748 τίαις, μάλιστα δ' ἐπιβουλεύειν αἰτιώμενοι τῷ βασιλεῖ,
κατηγόρουν ἐπ' αὐτῷ δικαστῇ. ὁ δὲ τῶν μὲν θάνατον
κατεδίκαζε, τῶν δὲ φυγήν, καὶ τὰ χρήματα τούς τ'

3 οὔτε — οὐδὲ B οὔτε — οὔτε A οὐδὲ — οὐδὲ Hertlein Hermes X 412 6 τὰς περὶ τῶν ἀμφισβημάτων συμβολαίων ἐπικρίσεις AB τὰς τῶν ἀμ. περὶ τῶν σ. κρίσεις Kiessling ἀμφισβημάτων del. Kayser Ann. phil. 1866 p. 45 ἀμφισβητημάτων A τη add. m. alt. ἀμφισβητήτων ego 11 πρίμουμ A 12 τὸν προγενέστερον c. Reiske 19 ἐκ add. B 25 τοὺς add. Sylburg

ἀναιρουμένους καὶ ⟨τοὺς⟩ ἐξελαυνομένους ἀφαιρούμε-
νος τοῖς μὲν κατηγόροις μικράν τινα μοῖραν ἀπέθυεν,
3 αὐτὸς δὲ τὰ πλείω κατεῖχεν. ἔμελλον δ' ἄρα πολλοὶ
τῶν δυνατῶν, πρὶν ἁλῶναι τὰς ἐπαγομένας σφίσι δί-
κας, εἰδότες ὧν ἕνεκεν ἐπεβουλεύοντο, καταλείψειν τῷ
τυράννῳ τὴν πόλιν ἑκόντες καὶ πολλῷ πλείονες ἐγέ-
νοντο τῶν ἑτέρων. ἦσαν δέ τινες, οἳ καὶ κρύφα δι-
εφθάρησαν ὑπ' αὐτοῦ κατ' οἰκίας τε καὶ ἐπ' ἀγρῶν
ἀναρπαζόμενοι, λόγου ἄξιοι ἄνδρες, ὧν οὐδὲ τὰ σώ-
4 ματα ἐφάνη. ἐπεὶ δὲ διέφθειρε τὸ κράτιστον τῆς
βουλῆς μέρος θανάτοις τε καὶ ἀειφυγίαις, ἑτέραν βου-
λὴν αὐτὸς κατεστήσατο παραγαγὼν ἐπὶ τὰς τῶν ἐκλι-
πόντων τιμὰς τοὺς ἰδίους ἑταίρους. καὶ οὐδὲ τούτοις
μέντοι τοῖς ἀνδράσιν οὔτε πράττειν ἐπέτρεπεν οὐδὲν
5 οὔτε λέγειν ὅ τι μὴ κελεύσειεν αὐτός. ὥσθ' ὁπόσοι 749
κατελείφθησαν ἐν τῷ συνεδρίῳ βουλευταὶ τῶν ἐπὶ
Τυλλίου καταλεγέντων, διάφοροι τοῖς δημοτικοῖς τέως
ὄντες καὶ τὴν μεταβολὴν τῆς πολιτείας ἐπὶ τῷ σφετέρῳ
νομίζοντες ἀγαθῷ γενήσεσθαι· τοιαύτας γὰρ αὐτοῖς
ὑπέτεινεν ὁ Ταρκύνιος ὑποσχέσεις ἐξαπατῶν καὶ φενα-
κίζων· τότε μαθόντες, ὅτι τῶν κοινῶν οὐδενὸς ἔτι
μετεῖχον, ἀλλὰ καὶ αὐτοὶ τὴν παρρησίαν ἅμα τοῖς δη-
μοτικοῖς ἀφηρέθησαν, ὠδύροντο μὲν καὶ τὰ μέλλοντα

2 ἀπέθυεν O ἀπένεμεν c. Sylburg 5 καταλείψειν τὴν πόλιν τῷ τυράννῳ vel κ. τ. τ. τὴν πόλιν εἴκοντες c. Sintenis Em. Dion. II 14 τῷ τυράννῳ delendum vel χαριζόμενοι inserendum esse Kayser Annal. phil. 1866 p. 45 censet 6 οἳ καὶ πολλῷ vel καὶ οὗτοι πολλῷ c. Reiske | ἐγ⟨έ⟩νοντο B 7 ἑτερων (αι superscr.) B 10 ἐπεὶ δὴ δὲ A 12 παράγων vel προάγων c. Hertlein Hermes X 413 16 ἐ.ὶ Ba ἐπὶ Bb ἐν R 18 ὄντες τέως B 20 τὰς ὑποσχέσεις O praeter B

τῶν παρόντων δεινότερα ὑπώπτευον, στέργειν δὲ τὰ παρόντα ἠναγκάζοντο δύναμιν οὐκ ἔχοντες κωλύειν τὰ πραττόμενα.

XXXXIII. Ταῦτα δ' ὁρῶντες οἱ δημοτικοὶ δίκαια πάσχειν αὐτοὺς ὑπελάμβανον καὶ ἐπέχαιρον ὑπ' εὐηθείας, ὡς ἐκείνοις μόνοις τῆς τυραννίδος βαρείας ἐσομένης, σφίσι δ' αὐτοῖς ἀκινδύνου. ἧκε δὲ κἀκείνοις οὐ μετὰ πολὺν χρόνον ἔτι πλείω τὰ χαλεπά. τούς τε γὰρ νόμους τοὺς ὑπὸ Τυλλίου γραφέντας, καθ' οὓς
750 ἐξ ἴσου τὰ δίκαια παρ' ἀλλήλων ἐλάμβανον καὶ οὐδὲν ὑπὸ τῶν πατρικίων ὡς πρότερον ἐβλάπτοντο περὶ τὰ συμβόλαια, πάντας ἀνεῖλε· καὶ οὐδὲ τὰς σανίδας, ἐν αἷς ἦσαν γεγραμμένοι, κατέλιπεν, ἀλλὰ καὶ ταύτας καθαιρεθῆναι κελεύσας ἐκ τῆς ἀγορᾶς διέφθειρεν. ἔπειτα κατέλυσε τὰς ἀπὸ τῶν τιμημάτων εἰσφορὰς καὶ 2
⟨εἰς⟩ τὸν ἐξ ἀρχῆς τρόπον ἀποκατέστησε· καὶ ὁπότε δεήσειεν αὐτῷ χρημάτων, τὸ ἴσον διάφορον ὁ πενέστατος τῷ πλουσιωτάτῳ κατέφερε. τοῦτο τὸ πολίτευμα πολὺ τοῦ δημοτικοῦ πλήθους ἀπανήλωσεν ἐπὶ τῆς πρώτης εὐθὺς εἰσφορᾶς ἀναγκαζομένου κατὰ κεφαλὴν ἑκάστου δραχμὰς δέκα εἰσφέρειν. συνόδους τε συμπάσας, ὅσαι πρότερον ἐγίνοντο κωμητῶν ἢ φρατριαστῶν ἢ γειτόνων ἔν τε τῇ πόλει καὶ ἐπὶ τῶν ἀγρῶν ἐφ' ἱερὰ καὶ θυσίας ἅπασι κοινὰς προεῖπε μηκέτι συντελεῖν, ἵνα μὴ συνιόντες εἰς ταὐτὸ πολλοὶ βουλὰς ἀπορρήτους μετ' ἀλλήλων ποιῶνται περὶ καταλύσεως τῆς ἀρχῆς. ἦσαν δ' αὐτῷ πολλαχῇ διεσπαρμένοι κατόπται 3

8 ἔτι] ὅτι A 13 κατέλιπεν ABb κατέλειπεν Ba 16 εἰς add. Kiessling 24 πάσας O πᾶσι Sylburg ἅπασι c. Kiessling 27 δ' ABa δὲ Bb

τινὲς καὶ διερευνηταὶ τῶν λεγομένων τε καὶ πραττο- 751
μένων λεληθότες τοὺς πολλούς, οἳ συγκαθιέντες εἰς ὁμιλίαν τοῖς πέλας καὶ ἔστιν ὅτε κατὰ τοῦ τυράννου λέγοντες αὐτοί, πεῖραν τῆς ἑκάστου γνώμης ἐλάμβανον· ἔπειθ' οὓς αἴσθοιντο τοῖς καθεστηκόσι πράγμασιν ἀχθομένους κατεμήνυον πρὸς τὸν τύραννον· αἱ δὲ τιμωρίαι κατὰ τῶν ἐλεγχθέντων ἐγίνοντο πικραὶ καὶ ἀπαραίτητοι.

XXXXIIII. *Καὶ οὐκ ἀπέχρη ταῦτα μόνον εἰς τοὺς δημοτικοὺς αὐτῷ παρανομεῖν, ἀλλ' ἐπιλέξας ἐκ τοῦ πλήθους, ὅσον ἦν πιστὸν ἑαυτῷ καὶ εἰς τὰς πολεμικὰς χρείας ἐπιτήδειον, τὸ λοιπὸν ἠνάγκασεν ἐργάζεσθαι τὰς κατὰ πόλιν ἐργασίας, μέγιστον οἰόμενος εἶναι κίνδυνον τοῖς μονάρχοις, ὅταν οἱ πονηρότατοι τῶν πολιτῶν καὶ ἀπορώτατοι σχολὴν ἄγωσι, καὶ ἅμα προθυμίαν ἔχων ἐπὶ τῆς ἰδίας ἀρχῆς τὰ καταλειφθέντα ἡμίεργα ὑπὸ τοῦ πάππου τελειῶσαι, τὰς μὲν ἐξαγωγίμους τῶν ὑδάτων τάφρους, ἃς ἐκεῖνος ὀρύττειν ἤρξατο, μέχρι τοῦ 752
ποταμοῦ καταγαγεῖν, τὸν δ' ἀμφιθέατρον ἱππόδρομον οὐδὲν ἔξω τῶν κρηπίδων ἔχοντα παστάσιν ὑποστέγοις
2 περιλαβεῖν· [εἰς] ταῦτα δὴ πάντες οἱ πένητες εἰργάζοντο σῖτα παρ' αὐτοῦ μέτρια λαμβάνοντες· οἱ μὲν ⟨λατομοῦντες, οἱ δ'⟩ ὑλοτομοῦντες, οἱ δὲ τὰς κομιζούσας ταῦθ' ἁμάξας ἄγοντες, οἱ δ' ἐπὶ τῶν ὤμων αὐτοὶ τὰ ἄχθη φέροντες· μεταλλεύοντές τε τὰς ὑπο-

5 *ἔπειτα O | ⟨αἰσ⟩θοιντο B ᾔσθοντο R 10 ἀπολέξας B ἀποδέξας c. Kiessling 11 ἐν αὐτῷ A 13 κατὰ τὴν πόλιν Ambrosch 17 καὶ τὰς Portus 21 εἰς del. Sintenis Hermes I 471 23 λατομοῦντες, οἱ δ' addidi Sintenisio duce, qui ὑλοτομοῦντες, οἱ δὲ λατομοῦντες scribit l. l., sed cf. IV 81 25 αὐτοὶ B αὐτὰ R

νόμους σήραγγας ἕτεροι καὶ πλάττοντες τὰς ἐν αὐταῖς
καμάρας καὶ τὰς παστάδας ἐγείροντες, καὶ τοῖς ταῦτα
πράττουσι χειροτέχναις ὑπηρετοῦντες χαλκοτύποι τε
καὶ τέκτονες καὶ λιθουργοὶ τῶν ἰδιωτικῶν ἔργων ἀφε-
στῶτες ἐπὶ ταῖς δημοσίαις κατείχοντο χρείαις. περὶ 3
ταῦτα δὴ τὰ ἔργα τριβόμενος ὁ λεὼς οὐδεμίαν ἀνά-
753 παυσιν ἐλάμβανεν· ὥσθ' οἱ πατρίκιοι τὰ τούτων κακὰ
καὶ τὰς λατρείας δρῶντες ἔχαιρόν τ' ἐν μέρει καὶ τῶν
ἰδίων ἐπελανθάνοντο ἀλγεινῶν· κωλύειν μὲν γὰρ οὐ-
δέτεροι τὰ γινόμενα ἐπεχείρουν.

XXXXV. Λογιζόμενος δ' ὁ Ταρκύνιος, ὅτι τοῖς
μὴ κατὰ νόμους λαβοῦσι τὰς δυναστείας, ἀλλὰ διὰ
τῶν ὅπλων κτησαμένοις, οὐ μόνον ἐπιχωρίου δεῖ φυ-
λακῆς, ἀλλὰ καὶ ξενικῆς, τὸν ἐπιφανέστατον ἐκ τοῦ
Λατίνων ἔθνους καὶ πλεῖστον ἁπάντων δυνάμενον
ἐσπούδαζε φίλον ποιήσασθαι τῷ γάμῳ συζεύξας τῆς
θυγατρός, ὃς ἐκαλεῖτο μὲν Ὀκταούιος Μαμίλιος, ἀνέ-
φερε δὲ τὸ γένος εἰς Τηλέγονον τὸν ἐξ Ὀδυσσέως καὶ
754 Κίρκης, κατῴκει δ' ἐν πόλει Τύσκλῳ, ἐδόκει δὲ τὰ
πολιτικὰ συνετὸς ἐν ὀλίγοις εἶναι καὶ πολέμους στρα-
τηγεῖν ἱκανός. τοῦτον τὸν ἄνδρα φίλον ἔχων καὶ δι' 2
αὐτοῦ τοὺς ἀρίστους ἐν ἑκάστῃ πόλει τῶν τὰ κοινὰ
πραττόντων προσλαβὼν τότ' ἤδη καὶ τῶν ὑπαιθρίων
ἐπεχείρει πειρᾶσθαι πολέμων καὶ στρατιὰν ἐπὶ Σαβί-
νους ἐξάγειν οὐ βουλομένους ὑπηκόους εἶναι τοῖς ἐπι-
τάγμασιν, ἀλλ' ἀπηλλάχθαι τῶν ὁμολογιῶν οἰομένους,

2 τὰς add. B 8 τὰς λατρείας B τὰ ἀλλότρια R 16 ἐσπούδασε B | συνζεύξας Ba σ.υζεύξας Bb 17 Ὀκτάιος O corr. Grimm 19 δὲ B 21 δι' αὐτὸν B 23 τότε ἤδη B τότε δὴ R | ὑπερορίων c. Kiessling 24 στρατείαν O corr. Sylburg

ἐξ οὗ Τύλλιος ἐτελεύτησε, πρὸς ὃν ἐποιήσαντο τὰς 3 ὁμολογίας. γνοὺς δὲ ταῦτα προεῖπε δι᾽ ἀγγέλων ἥκειν εἰς τὴν ἐν Φερεντίνῳ γινομένην ἀγορὰν τοὺς εἰωθότας ὑπὲρ τοῦ κοινοῦ τῶν Λατίνων συνεδρεύειν, ἡμέραν τινὰ ὁρίσας, ὡς περὶ κοινῶν καὶ μεγάλων πραγμάτων 4 σὺν αὐτοῖς βουλευσόμενος. οἱ μὲν δὴ παρῆσαν, ὁ δὲ Ταρκύνιος αὐτὸς ὁ καλέσας αὐτοὺς ὑστέρει. ὡς δὲ πολὺς ἐγένετο καθημένοις ὁ χρόνος καὶ ἐδόκει τοῖς πλείοσιν ὕβρις εἶναι τὸ πρᾶγμα, ἀνήρ τις ἐν πόλει μὲν οἰκῶν Κορίλλῃ, δυνατὸς δὲ καὶ χρήμασι καὶ φίλοις 755 καὶ τὰ πολέμια ἄλκιμος πολιτικόν τε λόγον εἰπεῖν οὐκ ἀδύνατος, Τύρνος Ἑρδώνιος ὄνομα, Μαμιλίῳ τε διάφορος ὢν διὰ τὴν πρὸς τὰ κοινὰ φιλοτιμίαν καὶ Ταρκυνίῳ διὰ τὸν Μαμίλιον ἀπεχθόμενος, ὅτι κηδεστὴν ἐκεῖνον ἠξίωσε λαβεῖν ἀνθ᾽ ἑαυτοῦ, πολλὴν ἐποιεῖτο τοῦ Ταρκυνίου κατηγορίαν τ᾽ ἄλλα διεξιὼν ἔργα τοῦ ἀνδρός, οἷς αὐθάδειά τις ἐδόκει προσεῖναι καὶ βαρύτης, καὶ τὸ μὴ παρεῖναι πρὸς τὸν σύλλογον αὐτὸν 5 τὸν κεκληκότα τῶν ἄλλων ἁπάντων παρόντων. ἀπολογουμένου δὲ τοῦ Μαμιλίου καὶ εἰς ἀναγκαίας τινὰς ἀναφέροντος αἰτίας τὸν τοῦ Ταρκυνίου χρονισμὸν ἀναβάλλεσθαι τ᾽ ἀξιοῦντος τὸν σύλλογον εἰς τὴν ἐπιοῦσαν ἡμέραν, πεισθέντες οἱ πρόεδροι τῶν Λατίνων ἀνεβάλοντο τὴν βουλήν.

XXXXVI. Τῇ δ᾽ ἑξῆς ἡμέρᾳ παρῆν ὁ Ταρκύνιος καὶ συναχθέντος τοῦ συλλόγου μικρά θ᾽ ὑπὲρ τοῦ χρονισμοῦ 756 προειπὼν ὑπὲρ τῆς ἡγεμονίας εὐθὺς ἐποιεῖτο

3 γενομένην O corr. Bücheler 6 σὺν αὐτοῖς add. B 8 ὁ add. B 10 μὲν add. B 12 Τύρδος hoc aliisque locis O corr. Hudson Τύρδος Ἑρδώνιος ὄνομα in ras. Ba 13 τὰ om. B 21 τοῦ om. A | *ἀναβαλέσθαι O

λόγους ὡς κατὰ τὸ δίκαιον αὐτῷ προσηκούσης, ἐπειδὴ
Ταρκύνιος αὐτὴν κατέσχεν ὁ πάππος αὐτοῦ πολέμῳ
κτησάμενος, καὶ τὰς συνθήκας παρείχετο τὰς γενομένας
ταῖς πόλεσι πρὸς ἐκεῖνον. πολὺν δὲ λόγον ὑπὲρ τοῦ 2
δικαίου καὶ τῶν ὁμολογιῶν διεξελθὼν καὶ μεγάλα τὰς
πόλεις εὐεργετήσειν ὑποσχόμενος, ἐὰν ἐν τῇ φιλίᾳ δια-
μείνωσι, τελευτῶν ἔπειθεν αὐτοὺς ἐπὶ τὸ Σαβίνων
ἔθνος συστρατεύειν. ὡς δ' ἐπαύσατο λέγων, παρελθὼν 3
ὁ Τύρνος ὁ καὶ τὸν ὀψισμὸν αὐτοῦ διαβαλὼν οὐκ εἴα
τοὺς συνέδρους παραχωρεῖν τῷ ἀνδρὶ τῆς ἀρχῆς, ὡς
οὔτε κατὰ τὸ δίκαιον αὐτῷ προσηκούσης οὔτ' ἐπὶ τῷ
συμφέροντι τῶν Λατίνων δοθησομένης· καὶ πολλοὺς
ὑπὲρ ἀμφοτέρων διεξῆλθε λόγους τὰς μὲν συνθήκας,
ἃς ἐποιήσαντο πρὸς τὸν πάππον αὐτοῦ παραδιδόντες
τὴν ἡγεμονίαν, λελύσθαι λέγων μετὰ τὸν ἐκείνου θά-
757 νατον διὰ τὸ μὴ προσγεγράφθαι ταῖς ὁμολογίαις τὴν
αὐτὴν εἶναι δωρεὰν καὶ τοῖς Ταρκυνίου ἐγγόνοις, τὸν
δ' ἀξιοῦντα τῶν τοῦ πάππου δωρεῶν κληρονομεῖν ἁπάν-
των ἀνθρώπων παρανομώτατον ἀποφαίνων καὶ πονη-
ρότατον καὶ τὰς πράξεις αὐτοῦ διεξιών, ἃς ἐπὶ τῷ
κατασχεῖν τὴν Ῥωμαίων ἀρχὴν ἐπετελέσατο. διεξελθὼν 4
δὲ πολλὰς αὐτοῦ καὶ δεινὰς κατηγορίας τελευτῶν ἐδί-
δασκεν, ὡς οὐδὲ τὴν βασιλείαν εἶχε τὴν Ῥωμαίων
κατὰ νόμους παρ' ἑκόντων λαβὼν ὥσπερ οἱ πρὸ αὐτοῦ
βασιλεῖς, ὅπλοις δὲ καὶ βίᾳ κατισχύσας τυραννικήν τε
μοναρχίαν καταστησάμενος τοὺς μὲν ἀποκτείνοι τῶν
πολιτῶν, τοὺς δ' ἐξελαύνοι τῆς πατρίδος, τῶν δὲ περι-

1 αὐτῷ B 3 κτησάμενος αὐτὴν O praeter B 9 ὁ καὶ B καὶ R 17 ἐκγόνοις C 20 καὶ del. Kiessling | τῷ B τὸ R 23 ἔχοι c. Kiessling 24 λαβὼν add. BC

κόπτοι τὰς οὐσίας, ἁπάντων δ' ἅμα τὴν παρρησίαν καὶ τὴν ἐλευθερίαν ἀφαιροῖτο· πολλῆς τε μωρίας ἔφη καὶ θεοβλαβείας εἶναι παρὰ πονηροῦ καὶ ἀνοσίου τρόπου χρηστόν τι καὶ φιλάνθρωπον ἐλπίζειν καὶ νομίζειν, ὡς ὁ τῶν συγγενεστάτων τε καὶ ἀναγκαιοτάτων μὴ φεισάμενος τῶν ἀλλοτρίων φείσεται· παρῄνει τε τέως οὔπω τὸν χαλινὸν εἰλήφασι [τῆς δουλείας] περὶ τοῦ 758
μὴ λαβεῖν αὐτὸν διαμάχεσθαι, ἐξ ὧν ἕτεροι πεπόνθασι δεινῶν τεκμαιρομένους, ἃ συμβήσεται παθεῖν αὐτοῖς.

XXXXVII. Τοιαύτῃ καταδρομῇ τοῦ Τύρνου χρησαμένου καὶ τῶν πολλῶν σφόδρα κινηθέντων ἐπὶ τοῖς λόγοις αἰτησάμενος εἰς ἀπολογίαν ὁ Ταρκύνιος τὴν ἐπιοῦσαν ἡμέραν καὶ λαβών, ὡς ὁ σύλλογος διελύθη, παρακαλέσας τοὺς ἀναγκαιοτάτους ἐσκόπει μετ' ἐκείνων, τίνα χρηστέον τοῖς πράγμασι τρόπον. οἱ μὲν οὖν ἄλλοι τοὺς λόγους, οὓς ἦν αὐτῷ λεκτέον ἐπὶ τῆς ἀπολογίας, ὑπετίθεντο καὶ τοὺς τρόπους, οἷς ἔδει τὸ πλῆθος ἀποθεραπεύειν, ἀπελογίζοντο. αὐτὸς δ' ὁ Ταρκύνιος τούτων μὲν οὐδενὸς ἔφη δεῖν τοῖς πράγμασιν, ἰδίαν δὲ γνώμην ἀπεδείκνυτο μὴ τὰ κατηγορηθέντα λύειν, ἀλλ'
2 αὐτὸν τὸν κατηγορήσαντα ἀναιρεῖν. ἐπαινεσάντων δὲ τὴν γνώμην ἁπάντων συνταξάμενος μετ' αὐτῶν τὰ κατὰ τὴν ἐπίθεσιν πράγματι ἐπεχείρησεν ἥκιστα δυναμένῳ πεσεῖν εἰς πρόνοιαν ἀνθρωπίνην καὶ φυλακήν. 759

1 τὴν om. AB 5 τε add. AB 6 οὐ φείσεται A | *τε ἕως O 7 τῆς δουλείας del. Kiessling Pr. Bas. p. 13 13 ἐπ⟨ι⟩οῦσαν B 16 ἦν add. B 17 ὑπερετίθεντο AB corr. Stephanus ex CD | οἷς A οὓς B 18 ἀπελογίζοντο AB ἐπελογίζοντο R 20 ἀπεδείκνυτο B ἀπεδείκν τὸ A | ἀλλ' αὐτὸν O ἀλλὰ τὸν Cobet Obs. p. 87 22 τὰ] om. Ba τῷ A, superscript. Bb τὰ corr. Sintenis Em. Dion. II 14

*τῶν γὰρ παρακομιζόντων τά θ' ὑποζύγια καὶ τὴν ἀπο-
σκευὴν τοῦ Τύρνου θεραπόντων τοὺς πονηροτάτους
ἐξευρὼν καὶ διαφθείρας χρήμασιν ἔπειθεν ὑπὸ νύκτα
ξίφη πολλὰ παρ' αὐτοῦ λαβόντας εἰσενεγκεῖν εἰς τὴν
κατάλυσιν τοῦ δεσπότου καὶ ἀποθέσθαι κρύψαντας ἐν
τοῖς σκευοφόροις. τῇ δ' ἑξῆς ἡμέρᾳ συναχθείσης ⟨τῆς⟩* 3
*ἐκκλησίας παρελθὼν ὑπὲρ μὲν τῶν κατηγορηθέντων
βραχεῖαν ἔλεγεν εἶναι τὴν ἀπολογίαν καὶ δικαστὴν
ἁπάντων ἐποιεῖτο τῶν ἐγκλημάτων αὐτὸν τὸν κατή-
γορον. Οὑτοσὶ γάρ, ἔφη, Τύρνος, ὦ σύνεδροι, τούτων
ὧν νυνί μου κατηγορεῖ πάντων δικαστὴς γενόμενος
αὐτὸς ἀπέλυσέ με, ὅτε τὴν θυγατέρα τὴν ἐμὴν ἐβού-
λετο λαβεῖν γυναῖκα. ἐπεὶ δ' ἀπηξιώθη τῶν γάμων* 4
*κατὰ τὸ εἰκός· τίς γὰρ ἂν τῶν νοῦν ἐχόντων Μαμί-
λιον τὸν εὐγενέστατόν τε καὶ κράτιστον Λατίνων ἀπεώ-
σατο, τοῦτον δὲ κηδεστὴν ἠξίωσε λαβεῖν, ὃς οὐδ' εἰς
τρίτον πάππον ἀνενεγκεῖν ἔχει τὸ γένος; ἀγανακτῶν
ἐπὶ τούτῳ νῦν ἥκει μου κατηγορῶν. ἔδει δ' αὐτόν,*
760 *εἰ μὲν ᾔδει με τοιοῦτον ὄντα, οἷον νῦν αἰτιᾶται, μὴ
προθυμεῖσθαι λαβεῖν τότε πενθερόν· εἰ δὲ χρηστὸν
ἐνόμιζεν, ὅτε τὴν θυγατέρα με ᾔτειτο, μηδὲ νῦν ὡς
πονηροῦ κατηγορεῖν. καὶ περὶ μὲν ἐμαυτοῦ τοσαῦτα* 5
*λέγω· ὑμῖν δ', ὦ σύνεδροι, κινδύνων τὸν μέγιστον
τρέχουσιν οὐ περὶ ἐμοῦ σκεπτέον ἐστὶ νυνί, πότερα
χρηστὸς ἢ πονηρός εἰμι· τουτὶ γὰρ ἐξέσται καὶ μετὰ
ταῦθ' ὑμῖν σκοπεῖν· ἀλλὰ περὶ τῆς ὑμῶν αὐτῶν ἀσφα-
λείας καὶ περὶ τῆς τῶν πατρίδων ἐλευθερίας. ἐπιβου-*

4 *παρ' αὐτοῦ* add. B 6 *τῆς* add. Kiessling 8 *καὶ δι-
καστὴν — κατήγορον* del. Schnelle Exerc. crit. p. 14 15 *ἀπώσατο*
O corr. Pflugk 22 *περὶ*] *ὑπὲρ* c. Hertlein Hermes X 413

λεύεσθε γὰρ οἱ κορυφαιότατοι τῶν ἐν ταῖς πόλεσι καὶ τὰ κοινὰ πράττοντες ὑπὸ τοῦ καλοῦ τούτου δημαγωγοῦ, ⟨ὃς⟩ παρεσκεύασταί τε τοὺς ἐπιφανεστάτους ὑμῶν ἀποκτείνας ἐπιθέσθαι τῇ Λατίνων ἀρχῇ καὶ ἐπὶ τοῦθ'
6 ἥκει. ταῦτα δ' οὐκ εἰκάζων, ἀλλ' ἀκριβῶς ἐπιστάμενος λέγω μηνύσεώς μοι γενομένης ἐν τῇ παρελθούσῃ νυκτὶ ὑπό τινος τῶν μετεσχηκότων τῆς συνωμοσίας. τεκμήριον δ' ὑμῖν παρέξομαι τῶν λόγων ἔργον ἀναμφίλεκτον, ἐὰν ἐθελήσητε ἐλθεῖν ἐπὶ τὴν κατάλυσιν αὐτοῦ, τὰ κεκρυμμένα ἐν αὐτῇ δείξας ὅπλα.

XXXXVIII. Ὡς δὲ ταῦτ' εἶπεν, ἀνεβόησάν τε πάν- 76
τες καὶ περὶ τοῖς ἀνδράσι δεδιότες ἐλέγχειν τὸ πρᾶγμα καὶ μὴ φενακίζειν ἠξίουν. καὶ ὁ Τύρνος, οἷα δὴ τὴν ἐπιβουλὴν οὐ προεγνωκώς, ἄσμενος τὴν ἐξέτασιν ἔφη δέχεσθαι καὶ τοὺς προέδρους ἐπὶ τὴν ἔρευναν τῆς καταλύσεως ἐκάλει καὶ δυεῖν γενέσθαι θάτερον ἔφη δεῖν, ἢ αὐτὸς ἀποθανεῖν, ἐὰν εὑρεθῇ παρεσκευασμένος ὅπλα ἔξω τῶν ἐνοδίων, ἢ τὸν καταψευσάμενον αὐτοῦ
2 δίκην ὑποσχεῖν. ἐδόκει ταῦτα· καὶ οἱ πορευθέντες ἐπὶ τὴν κατάλυσιν αὐτοῦ καταλαμβάνουσιν ἐν τοῖς σκευοφόροις τὰ κατακρυφθέντα ὑπὸ τῶν θεραπόντων ξίφη. μετὰ τοῦτο τὸν μὲν Τύρνον οὐκέτι λόγου τυχεῖν ἐάσαντες εἰς βάραθρόν τι καταβάλλουσι καὶ ἐπικατασκάψαντες ἔτι ζῶντος τὴν γῆν διαφθείρουσι παραχρῆμα.
3 τὸν δὲ Ταρκύνιον ἐπαινέσαντες ἐπὶ τῆς ἐκκλησίας ὡς κοινὸν εὐεργέτην τῶν πόλεων ἐπὶ τῷ σεσωκέναι τοὺς

3 ὃς add. Reiske 7 μετεσχηκότων B συνεσχηκότων R 9 *θελήσετε O 11 ἅπαντες B 13 δὴ] δεῖ A 14 βουλὴν A 21 ἀποκρυφθέντα c. Kiessling Pr. Bas. p. 3 23 ἐπισκάψαντες O praeter B 24 ζῶντές A ζῶντι c. Reiske

ἀρίστους ἄνδρας, ἡγεμόνα ποιοῦνται τοῦ ἔθνους ἐπὶ
762 τοῖς αὐτοῖς τοῖς δικαίοις, ἐφ᾽ οἷς Ταρκύνιόν τε τὸν πάππον αὐτοῦ πρότερον ἐποιήσαντο καὶ μετὰ ταῦτα Τύλλιον· συνθήκας τε γράψαντες ἐν στήλαις καὶ περὶ φυλακῆς τῶν συγκειμένων ὅρκια τεμόντες διέλυσαν τὸν σύλλογον.

XXXXVIIII. Τυχὼν δὲ τῆς Λατίνων ἡγεμονίας ὁ Ταρκύνιος ἐπρεσβεύσατο καὶ πρὸς τὰς Ἑρνίκων πόλεις καὶ πρὸς τὰς Οὐολούσκων προκαλούμενος κἀκείνους εἰς φιλίαν τε καὶ συμμαχίαν. Ἕρνικες μὲν οὖν ἅπαντες ἐψηφίσαντο ποιεῖν τὴν συμμαχίαν, ἐκ δὲ τοῦ Οὐολούσκων ἔθνους δύο πόλεις ἐδέξαντο μόναι τὰς προκλήσεις, Ἐχετρανοί τε καὶ Ἀντιᾶται. τοῦ δὲ μένειν εἰς ἅπαντα χρόνον τὰ συγκείμενα ταῖς πόλεσι πρόνοιαν ὁ Ταρκύνιος λαμβάνων ἱερὸν ἔγνω κοινὸν ἀποδεῖξαι Ῥωμαίων τε καὶ Λατίνων καὶ Ἑρνίκων καὶ Οὐολούσκων τῶν ἐγγραψαμένων εἰς τὴν συμμαχίαν, ἵνα συν-
763 ερχόμενοι καθ᾽ ἕκαστον ἐνιαυτὸν εἰς τὸν ἀποδειχθέντα τόπον πανηγυρίζωσι καὶ συνεστιῶνται καὶ κοινῶν ἱερῶν μεταλαμβάνωσιν. ἀγαπητῶς δὲ πάντων τὸ πρᾶγμα δε- 2
ξαμένων τόπον μὲν ἀπέδειξεν, ἔνθα ποιήσονται τὴν σύνοδον ἐν μέσῳ μάλιστα τῶν ἐθνῶν κείμενον ὄρος ὑψηλόν, ὃ τῆς Ἀλβανῶν ὑπέρκειται πόλεως, ἐν ᾧ πανηγύρεις τ᾽ ἀνὰ πᾶν ἔτος ἄγεσθαι καὶ ἐκεχειρίας εἶναι πᾶσι πρὸς πάντας ἐνομοθέτησε θυσίας τε συντελεῖσθαι κοινὰς τῷ καλουμένῳ Λατιαρίῳ Διὶ καὶ συνεστιάσεις, τάξας ἃ δεῖ παρέχειν ἑκάστην πόλιν εἰς τὰ

8 Ἑρνίκων — πρὸς τὰς A in mge del. Kayser Ann. phil. 1866 p. 45 11 ποιεῖσθαι Reiske, 13 Ἐχετραινοὶ B | Ἀντριάται A 20 ἁπάντων B

ἱερά, καὶ μοῖραν, ἣν ἑκάστην δεήσει λαμβάνειν. αἱ δὲ
μετασχοῦσαι τῆς ἑορτῆς τε καὶ τῆς θυσίας πόλεις τριῶν
3 δέουσαι πεντήκοντα ἐγένοντο. ταύτας τὰς ἑορτάς τε
καὶ τὰς θυσίας μέχρι τῶν καθ' ἡμᾶς χρόνων ἐπιτε-
λοῦσι Ῥωμαῖοι Λατίνας καλοῦντες, καὶ φέρουσιν εἰς
αὐτὰς αἱ μετέχουσαι τῶν ἱερῶν πόλεις αἱ μὲν ἄρνας,
αἱ δὲ τυρούς, αἱ δὲ γάλακτός τι μέτρον, αἱ δὲ ὅμοιόν
τι τούτοις [πελάνου γένος]· ἑνὸς δὲ ταύρου κοινῶς
ὑπὸ πασῶν θυομένου μέρος ἑκάστη τὸ τεταγμένον 76
λαμβάνει. θύουσι δ' ὑπὲρ ἁπάντων καὶ τὴν ἡγεμο-
νίαν τῶν ἱερῶν ἔχουσι Ῥωμαῖοι.

L. Ὡς δὲ καὶ ταύταις ἐκρατύνατο τὴν ἀρχὴν ταῖς
συμμαχίαις, στρατὸν ἐξάγειν ἐπὶ Σαβίνους ἔγνω Ῥω-
μαίων τ' αὐτῶν ἐπιλέξας οὓς ἥκιστα ὑπώπτευεν, εἰ
κύριοι τῶν ὅπλων γένοιντο, ἐλευθερίας μεταποιήσεσθαι,
καὶ τὴν παρὰ τῶν συμμάχων ἀφιγμένην δύναμιν προσ-
2 λαβὼν πολλῷ πλείονα τῆς πολιτικῆς ὑπάρχουσαν. δηώ-
σας δ' αὐτῶν τοὺς ἀγροὺς καὶ τοὺς ὁμόσε χωρήσαντας
μάχῃ νικήσας ἐπὶ τοὺς καλουμένους Πωμεντίνους ἦγε
τὴν δύναμιν, οἳ πόλιν μὲν Σύεσσαν ᾤκουν, εὐδαιμονέ-
στατοι δ' ἐδόκουν ἁπάντων εἶναι τῶν πλησιοχώρων
καὶ διὰ τὴν πολλὴν εὐτυχίαν ἅπασι λυπηροὶ καὶ βα-
ρεῖς, ἐγκαλῶν αὐτοῖς ἁρπαγάς τινας καὶ λῃστείας, ὑπὲρ

2 τῆς θυσίας R θυσίας B 3 αὐτὰς c. Sintenis Hermes I 472 4 τὰς om. B 5 εἰς αὐτὰς B εἰς ταύτας R cf. Sintenis Em. Dion. II 7 8 τούτοις] φυτοῖς c. Bücheler | αἱ δὲ ὅμοιόν τι τούτοις οἷον ἀκρόδρυα καὶ πελάνους. ἑνὸς δὲ c. Reiske, γένος ex ἑνὸς iteratum del. idem, αἱ δὲ γάλακτός τι μέτρον, αἱ δὲ ἴτριον, αἱ δὲ ὅμοιόν τι τούτοις verbis πελάνου γένος deletis Sintenis Hermes I 471; hunc secutus verba delevi πελάνου γένος, sed nihil inserui. 10 *ὑπὲρ πάντων O 18 δ' om. B 20 Σούεσσαν O

ὧν αἰτούμενοι δίκας αὐθάδεις ἔδωκαν ἀποκρίσεις. οἱ
δ' ἦσαν ἕτοιμοι προσδεχόμενοι τὸν πόλεμον καὶ ἐν τοῖς
765 ὅπλοις. συνάψας δ' αὐτοῖς μάχην περὶ τὰ μεθόρια 3
καὶ πολλοὺς μὲν ἀποκτείνας, τοὺς δὲ λοιποὺς τρεψά-
μενος καὶ κατακλείσας εἰς τὸ τεῖχος, ὡς οὐκέτι προ-
ῄεσαν ἐκ τῆς πόλεως, παραστρατοπεδεύσας αὐτοῖς ἀπε-
τάφρευέ τε καὶ περιεχαράκου καὶ προσβολὰς ἐποιεῖτο
τοῖς τείχεσι συνεχεῖς. οἱ δ' ἔνδον τέως μὲν ἀπεμάχοντο
καὶ πολὺν ἀντέσχον τῇ ταλαιπωρίᾳ χρόνον· ὡς δ'
ὑπέλειπεν αὐτοὺς τἀπιτήδεια, ἐξασθενοῦντες τὰ σώ-
ματα καὶ οὔτ' ἐπικουρίαν οὐδεμίαν προσλαβόντες οὐδ'
ἀναπαύσεως τυγχάνοντες, ἀλλὰ καὶ μεθ' ἡμέραν καὶ
νύκτωρ αὐτοὶ ταλαιπωροῦντες ἁλίσκονται κατὰ κράτος.
γενόμενος δὲ τῆς πόλεως ἐγκρατὴς τοὺς μὲν ἐν τοῖς 4
ὅπλοις διέφθειρε, γυναῖκας δ' αὐτῶν καὶ τέκνα καὶ
τοὺς ὑπομείναντας αἰχμαλώτους γενέσθαι καὶ τὸ τῶν
θεραπόντων πλῆθος οὐδ' ἀριθμηθῆναι ῥᾴδιον τοῖς
στρατιώταις ἐπέτρεψεν ἀπάγεσθαι τήν τ' ἄλλην κτῆσιν
τῆς πόλεως ἄγειν καὶ φέρειν, εἴ τις ἐπιτύχοι, τήν τ'
766 ἐντὸς τείχους καὶ τὴν ἐπὶ τῶν ἀγρῶν ἐφῆκεν· ἄργυρον
δὲ καὶ χρυσόν, ὅσος εὑρέθη, συναγαγὼν εἰς ἓν χωρίον
καὶ τὴν δεκάτην ἐξελόμενος εἰς κατασκευὴν ἱεροῦ τὰ
λοιπὰ χρήματα τοῖς στρατιώταις διεῖλεν. οὕτω δ' ἄρα 5
πολὺς ὁ καταληφθεὶς ἄργυρός τε καὶ χρυσὸς ἦν, ὥστε
τῶν μὲν στρατιωτῶν ἕκαστον πέντε μνᾶς ἀργυρίου

3 συνάψας οὖν αὐτοῖς c. Reiske 5 προ.ήεσαν B | εἰς τὸ τεῖχος add. B 6 αὐτοὺς c. Reiske 10 ἀπέλιπεν c. Reiske | *τὰ ἐπιτήδεια O 11 οὐδὲ O οὔτε Stephanus 13 νύκτωρ ἀεί c. Hertlein Hermes X 413 | οἱ αὐτοὶ c. Garrer Obs. p. 12

*λαβεῖν, τὸ δὲ τοῖς θεοῖς δεκατευθὲν ἀργύριον τετρακοσίων οὐ μεῖον γενέσθαι ταλάντων.*

LI. *Ἔτι δ' ἐν τῇ Συέσσῃ διατρίβοντος αὐτοῦ παρῆν τις ἀγγέλλων, ὅτι Σαβίνων ἡ κρατίστη νεότης ἐξελήλυθε καὶ δυσὶ μεγάλοις στρατεύμασιν εἰς τὴν Ῥωμαίων ἐμβαλοῦσα λεηλατεῖ τοὺς ἀγρούς, ἡ μὲν Ἠρήτου πλησίον θεμένη τὸν χάρακα, ἡ δὲ περὶ Φιδήνην· καὶ εἰ μή τις αὐτοῖς δύναμις ἐναντιωθήσεται, πάντα οἰχήσεται τἀκεῖ.*
2 *ὡς δὲ ταῦτ' ἤκουσεν, ἐν μὲν τῇ Συέσσῃ βραχύ τι καταλείπει μέρος τῆς στρατιᾶς τά τε λάφυρα καὶ τὴν ἀποσκευὴν φυλάττειν παρακελευσάμενος, τὴν δ' ἄλλην δύναμιν εὔζωνον ἀναλαβὼν ἦγεν ἐπὶ τοὺς πρὸς Ἠρήτῳ κατεστρατοπεδευκότας καὶ τίθεται τὸν χάρακα μετέωρον ὀλίγον τὸ μεταξὺ χωρίον καταλιπών. δόξαν δὲ* 767
*τοῖς ἡγεμόσι τῶν Σαβίνων μάχην ἕωθεν τίθεσθαι μεταπεμψαμένοις τὸ ἐν Φιδήνῃ στράτευμα, μαθὼν τὴν διάνοιαν αὐτῶν ὁ Ταρκύνιος· ἑάλω γὰρ ὁ τὰ γράμματα κομίζων παρὰ τῶν αὐτόθεν ἡγεμόνων πρὸς τοὺς ἐκεῖ· σοφίᾳ πρὸς τὸ συμβὰν ἀπὸ τύχης ἐχρήσατο τοιᾷδε.*
3 *νείμας τὴν δύναμιν διχῇ τὴν μὲν ἑτέραν ὑπὸ νύκτα πέμπει λαθὼν τοὺς πολεμίους ἐπὶ τὴν φέρουσαν ἀπὸ Φιδήνης ὁδόν, τὴν δ' ἑτέραν ἅμα τῷ λαμπρὰν ἡμέραν γενέσθαι συντάξας προῆγεν ἐκ τοῦ χάρακος ὡς εἰς μάχην· καὶ οἱ Σαβῖνοι τεθαρρηκότες ἀντεπεξῄεσαν τούς τε πολεμίους οὐ πολλοὺς ὁρῶντες καὶ τὴν ἑαυτῶν*

2 *μείων* Ba *μεῖον* Bb 4. 15. *Σαβ⟨ί⟩νων* Bb atque sic semper 5 *μεγάλοις* add. B 6. 12. *Ἠρήτου* Ba *Ἰρίτου* Bb 7 *Φειδηνὴν* Bb 8 *δύναμ⟨ι⟩ς* Bb 9 *ταῦτα* B 10 *καταϊσκευὴν* B 14 *δὲ* Kiessling *τε* O 16 *φειδηνη* B (ϊ Bb) atque sic semper *φειδήνοις* A

δύναμιν τὴν ἀπὸ Φιδήνης ὅσον οὔπω παρέσεσθαι νομίζοντες. οὗτοι μὲν δὴ καταστάντες ἐμάχοντο, καὶ ἦν ἰσόρροπος αὐτοῖς ἐπὶ πολὺν χρόνον ὁ ἀγών· οἱ δὲ προαποσταλέντες ὑπὸ τοῦ Ταρκυνίου νύκτωρ ὑποστρέψαντες ἐκ τῆς ὁδοῦ καὶ γενόμενοι κατὰ νώτου τῶν Σαβίνων ἐπῄεσαν. τούτους ἰδόντες οἱ Σαβῖνοι καὶ 4
768γνωρίσαντες ἐκ τῶν ὅπλων καὶ ἀπὸ τῶν σημείων ἐξέστησαν τῶν λογισμῶν καὶ τὰ ὅπλα ῥίψαντες ἐπειρῶντο σώζειν ἑαυτούς. ἦν δ' ἄπορος ἡ σωτηρία τοῖς πολλοῖς περιεχομένοις κύκλῳ ὑπ' ἐχθρῶν, καὶ τῶν Ῥωμαίων ἡ ἵππος ἐπικειμένη πανταχόθεν αὐτοὺς ἀπέκλειεν· ὥστ' ὀλίγοι μέν τινες ἔφθησαν τὰ δεινὰ ὑπεκδύντες, οἱ δὲ πλείους κατεκόπησαν ὑπὸ τῶν πολεμίων ἢ παρέδοσαν ἑαυτούς. ἀντέσχον δ' οὐδ' οἱ καταλειφθέντες ἐπὶ τοῦ χάρακος, ἀλλὰ καὶ τὸ ἔρυμα ἑάλω τῇ πρώτῃ ἐφόδῳ· ἔνθα σὺν τοῖς ἰδίοις τῶν Σαβίνων χρήμασι καὶ τὰ Ῥωμαίων ἅπαντα σὺν πολλοῖς αἰχμαλώτοις ἔτι ἀκέραια ὄντα τοῖς ἀπολωλεκόσιν ἀνεσώθη.

LII. Ὡς δ' ἡ πρώτη πεῖρα τῷ Ταρκυνίῳ κατὰ νοῦν ἐχώρησεν, ἀναλαβὼν τὴν δύναμιν ἧκεν ἐπὶ τοὺς ἐν Φιδήνῃ ἐστρατοπεδευκότας τῶν Σαβίνων, οἷς οὔπω δῆλος ἦν ὁ τῶν σφετέρων ὄλεθρος. ἔτυχον δὲ κἀκεῖνοι προεξεληλυθότες ἐκ τοῦ χάρακος καὶ ἤδη ὄντες ἐν ὁδῷ· ὡς δὴ πλησίον ἐγένοντο καὶ εἶδον ἐπὶ δορατίων
769ἀναπεπηγυίας τὰς κεφαλὰς τῶν σφετέρων ἡγεμόνων·

7 ἀπὸ add. B   8 τῷ λογισμῷ O praeter B   11 ἀπέκλειεν B ἀπέκλεισεν R   12 ἔφθησαν B ἐσώθησαν R   15 καταληφθέντες A   21 ἦγεν c. Kiessling   22 ἐπὶ Φιδήνην A corr. Stephanus ἐπὶ Φειδήνην B (ι superscript)

προὔτεινον γὰρ αὐτὰς οἱ Ῥωμαῖοι καταπλήξεως τῶν
πολεμίων ἕνεκα· μαθόντες, ὅτι διέφθαρται τὸ ἕτερον
αὐτῶν στράτευμα, οὐδὲν ἔτι ἀπεδείξαντο γενναῖον
ἔργον, ἀλλ' εἰς ἱκεσίας καὶ δεήσεις τραπόμενοι παρέ-
2 δοσαν ἑαυτούς. οὕτω δ' αἰσχρῶς καὶ κακῶς ἀμφοτέ-
ρων τῶν στρατοπέδων ἀναρπασθέντων εἰς στενὰς ἐλ-
πίδας οἱ Σαβῖνοι κατακεκλεισμένοι καὶ περὶ τῶν πόλεων,
μὴ ἐξ ἐφόδου καταληφθῶσι, δεδιότες ὑπὲρ εἰρήνης
διεπρεσβεύοντο παραδιδόντες σφᾶς αὐτοὺς ὑπηκόους
εἶναι Ταρκυνίου καὶ φόρου τὸ λοιπὸν ὑποτελεῖς. σπει-
σάμενος δὴ πρὸς αὐτοὺς τὸν πόλεμον καὶ ἐπὶ ταῖς
αὐταῖς συνθήκαις παραλαβὼν τὰς πόλεις ἐπὶ Σύεσσαν
ᾤχετο. ἐκεῖθεν δὲ τήν τε καταλειφθεῖσαν δύναμιν καὶ
τὰ λάφυρα καὶ τὴν ἄλλην ἀποσκευὴν ἀναλαβὼν εἰς
3 Ῥώμην ἀπήει πλουτοῦσαν τὴν στρατιὰν ἀπάγων. ἐποι-
ήσατο δὲ καὶ μετὰ ταῦτα πολλὰς ἐξόδους ἐπὶ τὴν
Οὐολούσκων χώραν τοτὲ μὲν ἁπάσῃ τῇ δυνάμει, τότε 770
δὲ μέρει τινί, καὶ λείας πολλῆς ἐγένετο κύριος. Ἤδη
δὲ τῶν πλείστων αὐτῷ κατὰ νοῦν χωρούντων πόλεμος
ἐκ τῶν ὁμόρων ἀνέστη χρόνῳ τε μακρός· ἔτη γὰρ
ἑπτὰ συνεχῶς ἐπολεμήθη· καὶ παθήμασι χαλεποῖς καὶ
ἀπροσδοκήτοις μέγας. ἀφ' ὧν δ' αἰτιῶν ἤρξατο καὶ

3 ἀπεδείξαντο ABa ⟨ἐ⟩πεδείξαντο Bb 4 παρεδίδοσαν AB παρέδοσαν R 6 εἰσ..τενας Ba 7 κατακεκλειμένοι B | πολέμων B 9 διεπρεσβεύοντο B διεπρεσβεύσαντο R 10 σπεισάμενος] λυσάμενος c. Portus 11 τὸν πόλεμον del. Kayser Ann. phil. 1866 p. 45 12 ταύταις ταῖς vel ταῖς αὐταῖς συνθήκαις αἷς πρότερον ὁ πάππος αὐτοῦ c. Sylburg, post συνθήκαις lacunam esse et addenda ἃς πρὸς τὸν Τύλλιον ἐποιήσαντο, Ταρκύνιος c. Schnelle p. 26 15 ἄγων c. Sintenis Em. Dion. III 22 17 τότε μὲν ἁπάσῃ τῇ δυνάμει add. B 20 μακρὸς B μακρῷ R 22 μέγας B περιέπεσεν ACD περιπετής c. Reiske

τελευτῆς ὁποίας ἔτυχεν, ἐπειδὴ δολίῳ τ' ἀπάτῃ καὶ στρατηγήματι παραδόξῳ κατειργάσθη, δι' ὀλίγων ἐρῶ.

LIII. Πόλις ἦν ἐκ τοῦ Λατίνων γένους Ἀλβανῶν ἀπόκτισις ἀπέχουσα τῆς Ῥώμης σταδίους ἑκατὸν ἐπὶ τῆς εἰς Πραίνεστον φερούσης ὁδοῦ κειμένη· Γαβίους αὐτὴν ἐκάλουν· νῦν μὲν οὐκέτι συνοικουμένη πᾶσα, πλὴν ὅσα μέρη πανδοκεύεται κατὰ τὴν δίοδον, τότε δὲ πολυάνθρωπος εἰ καί τις ἄλλη ⟨καὶ⟩ μεγάλη. τεκμήραιτο δ' ἄν τις αὐτῆς τὸ μέγεθος καὶ τὴν ἀξίωσιν ἐρείπια θεασάμενος οἰκιῶν πολλαχῇ καὶ τείχους κύκλον, ἔτι γὰρ ἕστηκεν αὐτοῦ τὰ πλεῖστα. εἰς ταύτην 2
771 συνερρύησαν Πωμεντίνων τε τῶν ἐκ Συέσσης διαφυγόντων τινές, ὅτε τὴν πόλιν αὐτῶν Ταρκύνιος κατελάβετο, καὶ τῶν ἐκ Ῥώμης φυγάδων συχνοί· οὗτοι δεόμενοι καὶ λιπαροῦντες τιμωρῆσαί σφισι τοὺς Γαβίους καὶ πολλὰς ὑπισχνούμενοι δωρεάς, εἰ κατέλθοιεν ἐπὶ τὰ σφέτερα, τήν τε κατάλυσιν τοῦ τυράννου δυνατὴν ἀποφαίνοντες καὶ ῥᾳδίαν, ὡς καὶ τῶν ἐν τῇ πόλει συλληψομένων, ἔπεισαν αὐτοὺς συμπροθυμηθέντων καὶ Οὐολούσκων· ἐπρεσβεύσαντο γὰρ κἀκεῖνοι δεόμενοι συμμαχίας· τὸν κατὰ τοῦ Ταρκυνίου πόλεμον ἀναλαβεῖν. ἐγίνοντο δὴ μετὰ ταῦτα μεγάλοις στρα- 3
τεύμασιν εἰς τὴν ἀλλήλων γῆν εἰσβολαὶ καὶ καταδρομαὶ μάχαι τε, ὅπερ εἰκός, τοτὲ μὲν ὀλίγοις πρὸς ὀλίγους, τοτὲ δὲ πᾶσι πρὸς πάντας, ἐν αἷς πολλάκις μὲν οἱ Γάβιοι τοὺς Ῥωμαίους τρεψάμενοι μέχρι τῶν τειχῶν

2 ἐλαχίστων B 3 ἐκ add. B 8 καὶ add. Kiessling 12 νωμεντίνων A 13 κατελάβετο B κατεβάλετο R 22 ἐγίνοντο B ἐγένοντο R | τοῦτο B 23 εἰςδρομαὶ καὶ καταβολαὶ O praeter B 24 πρὸς ὀλίγους add. B

καὶ πολλοὺς καταβαλόντες ἀδεῶς τὴν χώραν ἐπόρθουν, 77
πολλάκις δ' οἱ Ῥωμαῖοι τοὺς Γαβίους ὠσάμενοι καὶ κατακλείσαντες εἰς τὴν πόλιν ἀνδράποδα καὶ λείαν αὐτῶν πολλὴν ἀπῆγον.

LIIII. Συνεχῶς δὲ τούτων γινομένων ἠναγκάζοντο ἀμφότεροι τῆς χώρας ὅσα ἦν ἐρυμνὰ τειχίζοντες φρουρὰν ἐν αὐτοῖς καθιστάναι καταφυγῆς τῶν γεωργῶν ἕνεκα· ὅθεν ὁρμώμενοι τά τε λῃστήρια, καὶ εἴ τι ἀποσπασθὲν ἴδοιεν μέρος ὀλίγον ἀπὸ πολλοῦ στρατοῦ καὶ οἷα εἰκὸς ἐν προνομαῖς ἀσύντακτον διὰ καταφρόνησιν, κατιόντες ἀθρόοι διέφθειρον· καὶ τῶν πόλεων ὅσα ἦν ἐπίμαχα καὶ ῥᾴδια ληφθῆναι διὰ κλιμάκων ἐξοικοδομεῖν τε καὶ ἀποταφρεύειν δεδοικότες τὰς αἰφνιδίους
2 ἀλλήλων ἐφόδους. μᾶλλον δ' ὁ Ταρκύνιος περὶ ταῦτ' ἐνεργὸς ἦν καὶ τῆς πόλεως τὰ πρὸς τοὺς Γαβίους φέροντα τοῦ περιβόλου διὰ πολυχειρίας ἐξωχυροῦτο τάφρον ὀρυξάμενος εὐρυτέραν καὶ τεῖχος ἐγείρας ὑψη- 77
λότερον καὶ πύργοις διαλαβὼν τὸ χωρίον πυκνοτέροις· κατὰ τοῦτο γὰρ ἐδόκει μάλιστα τὸ μέρος ἡ πόλις ἀνώχυρος εἶναι, πάντα τὸν ἄλλον περίβολον ἀσφαλὴς
3 ἐπιεικῶς οὖσα καὶ δυσπρόσιτος. ἔμελλε δ', ὃ πάσαις φιλεῖ συμβαίνειν ταῖς πόλεσιν ἐν τοῖς μακροῖς πολέμοις δῃουμένης διὰ τὰς συνεχεῖς τῶν πολεμίων εἰσβολὰς τῆς γῆς καὶ μηκέτι τοὺς καρποὺς ἐκφερούσης,

1 καταβάλλοντες B | μέχρι τῶν τειχῶν B μέχρι τῶν πυλῶν R Kiessling post χώραν, Cobet Obs. p. 88 post Γαβίους collocanda esse censet 4 ἀπήγαγον O ἀπῆγον Garrer Obs. p. 16 9 ἀπὸ λοιποῦ στρατοῦ c. Portus | ἀποσπαθὲν A 15 Σαβίνους AB corr. Stephanus ex CD | φέροντα] βλέποντα c. Cobet Obs. p. 75 17 ἀνεγείρας O corr. Reudler Tiroc. crit. p. 35 20 *ἀνόχυρος A ἀνίσχυρος R 23 τὰς add. B

σπάνις ἁπάσης τροφῆς ἐν ἀμφοτέραις ἔσεσθαι καὶ δεινὴ περὶ τοῦ μέλλοντος ἀθυμία· κάκιον δὲ τοὺς Ῥωμαίους ἐπίεζεν ἢ τοὺς Γαβίους ἡ τῶν ἀναγκαίων ἔνδεια, καὶ οἱ πενέστατοι αὐτῶν μάλιστα κάμνοντες ὁμολογίας ᾤοντο δεῖν ποιήσασθαι πρὸς τοὺς Γαβίους καὶ τὸν πόλεμον ἐφ' οἷς ἂν ἐκεῖνοι θέλωσι διαλύσασθαι.

LV. Ἀδημονοῦντος δ' ἐπὶ τοῖς συμβεβηκόσι τοῦ Ταρκυνίου καὶ οὔτε διαλύσασθαι τὸν πόλεμον αἰσχρῶς 774 ὑπομένοντος οὔτ' ἀντέχειν ἔτι δυναμένου, πάσας δὲ πείρας ἐπιτεχνωμένου καὶ δόλους παντοδαποὺς συντιθέντος, ὁ πρεσβύτατος αὐτοῦ τῶν υἱῶν Σέξτος ὄνομα κοινωσάμενος τὴν γνώμην τῷ πατρὶ μόνῳ καὶ δόξας τολμηρῷ μὲν ἐπιχειρεῖν πράγματι καὶ μέγαν ἔχοντι κίνδυνον, οὐ μὴν ἀδυνάτῳ γε, συγχωρήσαντος τοῦ πατρὸς ποιεῖν ὅσα βούλεται, σκήπτεται διαφορὰν πρὸς τὸν πατέρα περὶ τῆς καταλύσεως τοῦ πολέμου· 2 μαστιγωθεὶς δ' ὑπ' αὐτοῦ ῥάβδοις ἐν ἀγορᾷ καὶ τἆλλα περιυβρισθείς, ὥστε περιβόητον γενέσθαι τὸ πρᾶγμα, πρῶτον μὲν ἐκ τῶν ἑταίρων τοὺς πιστοτάτους ἔπεμπεν ὡς αὐτομόλους φράσοντας τοῖς Γαβίοις δι' ἀπορρήτων, ὅτι πολεμεῖν τῷ πατρὶ διέγνωκεν ὡς αὐτοὺς ἀφικόμενος, εἰ λάβοι πίστεις, ὅτι φυλάξουσιν αὐτὸν ὥσπερ καὶ τοὺς ἄλλους τοὺς ἐκ Ῥώμης φυγάδας καὶ οὐκ ἐκδώσουσι τῷ πατρὶ τὰς ἰδίας ἔχθρας ἐλπίσαντες ἐπὶ τῷ σφετέρῳ συμφέροντι διαλύσεσθαι. 3 ἀσμένως δὲ τῶν 775 Γαβίων τὸν λόγον ἀκουσάντων καὶ μηδὲν εἰς αὐτὸν παρανομήσειν διομολογησαμένων παρῆν ἑταίρους τε

1 σπάνιν — δεινὴν — ἀθυμίαν A 8 διαλυθήσεσθαι A 19. 27 ἑτ⟨αί⟩ρων Bb et saepissime aliis locis 21 πόλεμον B 5 ἐκ Ῥωμαίων A 25 διαλύσασθαι O corr. Cobet Obs. p. 89

πολλοὺς καὶ πελάτας ἐπαγόμενος ὡς αὐτόμολος ⟨καὶ⟩ ἵνα δὴ μᾶλλον αὐτῷ πιστεύσειαν ἀληθεύειν τὴν ἀπὸ τοῦ πατρὸς ἀπόστασιν, ἀργύριόν τε καὶ χρυσίον πολὺ κομίζων· ἐπισυνέρρεόν τ' αὐτῷ πολλοὶ μετὰ ταῦτα τῶν ἐκ τῆς πόλεως φεύγειν τὴν τυραννίδα σκηπτόμενοι,
4 καὶ χεὶρ ἤδη περὶ αὐτὸν ἦν καρτερά. δόξαντες δ' οἱ Γάβιοι μέγα προσγεγονέναι σφίσι πλεονέκτημα πολλῶν ὡς αὐτοὺς ἀφικομένων καὶ οὐ διὰ μακροῦ τὴν Ῥώμην ὑποχείριον ἕξειν ἐλπίσαντες καὶ ἔτι μᾶλλον ἐξαπατηθέντες ὑφ' ὧν ἔπραττεν ὁ τοῦ πατρὸς ἀποστάτης συνεχῶς ἐπὶ τὴν χώραν ἐξιὼν καὶ πολλὰς περιβαλλόμενος ὠφελείας· παρεσκεύασε γὰρ ὁ πατὴρ αὐτῷ προειδὼς εἰς οὓς παρέσται τόπους, τήν τε λείαν ἄφθονον καὶ τὰ χωρία ἀφύλακτα, καὶ τοὺς ἀπολουμένους ὑπ' αὐτοῦ συνεχῶς ἔπεμπεν, ἐπιλεγόμενος ἐκ τῶν πολιτῶν, οὓς ἐν ὑποψίαις εἶχεν· ἐξ ἁπάντων τε τούτων δόξαντες 776
φίλον [τε] πιστὸν εἶναί σφισι τὸν ἄνδρα καὶ στρατηλάτην ἀγαθόν, πολλοὶ δὲ καὶ χρήμασιν ὑπ' αὐτοῦ δεκασθέντες, ἐπὶ τὴν αὐτοκράτορα παράγουσιν ἀρχήν.

LVI. Τοσαύτης δὴ γενόμενος ἐξουσίας ὁ Σέξτος κύριος δι' ἀπάτης καὶ φενακισμοῦ τῶν θεραπόντων τινὰ λαθὼν τοὺς Γαβίους πέμπει πρὸς τὸν πατέρα τήν τ' ἐξουσίαν, ἣν εἰληφὼς ἦν, δηλώσοντα καὶ πευ-
2 σόμενον, τί χρὴ ποιεῖν. ὁ δὲ Ταρκύνιος οὐδὲ τὸν θεράποντα γινώσκειν βουλόμενος, ἃ τὸν υἱὸν ἐκέλευσε

2 ἵνα δὴ O καὶ ἵνα δὴ vel καὶ ἵνα vel ἵνα δὲ μᾶλλον c. Portus 12 προι.δο. (ηδο ut videtur) Ba προϊδεῖν Bb 17 φίλον τε O φ. δὴ Hertlein Hermes X 413· τε del. Schenkl Bursiani librorum ann. breviar. p. 45 18 δεκασθέντες B δωροδοκηθέντες R 19 προάγουσιν c. Hertlein Hermes X 413 20 γενομένης A 25 ἐκέλευε B

ποιεῖν, ἄγων τὸν ἄγγελον προῆλθεν εἰς τὸν παρακείμενον τοῖς βασιλείοις κῆπον· ἔτυχον δὲ μήκωνες ἐν αὐτῷ πεφυκυῖαι πλήρεις ἤδη τοῦ καρποῦ καὶ συγκομιδῆς ὥραν ἔχουσαι· διεξιὼν δὴ διὰ τούτων τῆς ὑπερεχούσης ἀεὶ μήκωνος τῷ σκήπωνι παίων τὴν κεφαλὴν ἀπήραττε. ταῦτα ποιήσας ἀπέστειλε τὸν ἄγγελον 3
777 οὐδὲν ἀποκρινάμενος ⟨τῷ⟩ πολλάκις ἐπερωτῶντι, τὴν Θρασυβούλου τοῦ Μιλησίου διάνοιαν ὡς ἔμοιγε δοκεῖ μιμησάμενος· καὶ γὰρ ἐκεῖνος Περιάνδρῳ ποτὲ τῷ Κορινθίων τυράννῳ πυνθανομένῳ διὰ τοῦ πεμφθέντος ἀγγέλου, πῶς ἂν ἐγκρατέστατα τὴν ἀρχὴν κατάσχοι, λόγον μὲν οὐδένα ἀπέστειλεν, ἀκολουθεῖν δὲ τὸν ἥκοντα παρ' αὐτοῦ κελεύσας, ἦγε δι' ἀρούρας σιτοσπόρου καὶ τοὺς ὑπερέχοντας τῶν σταχύων ἀποθραύων ἐρρίπτει χαμαὶ διδάσκων, ὅτι δεῖ τῶν ἀστῶν τοὺς δοκιμωτάτους κολούειν τε καὶ διαφθείρειν. τὸ παρα- 4
πλήσιον δὴ καὶ τοῦ Ταρκυνίου τότε ποιήσαντος συνεὶς τὴν διάνοιαν τοῦ πατρὸς ὁ Σέξτος, ὅτι κελεύει τοὺς ὑπερέχοντας τῶν Γαβίων ἀναιρεῖν, συνεκάλεσεν εἰς ἐκκλησίαν τὸ πλῆθος καὶ πολὺν ὑπὲρ αὐτοῦ λόγον διαθέμενος, ὅτι καταπεφευγὼς εἰς τὴν ἐκείνων πίστιν ἅμα τοῖς ἑταίροις κινδυνεύει συλληφθεὶς ὑπό τινων τῷ πατρὶ παραδοθῆναι, τήν τ' ἀρχὴν ἕτοιμος ἦν ἀπο-
778 θέσθαι, καὶ πρὶν ἢ παθεῖν τι δεινὸν ἀπαίρειν ἐκ τῆς

2 προκείμενον AB προςκείμενον c. Reiske παρακείμενον Sintenis Em. Dion. II 14 6 ἀπέλυσε B ἀπέστειλε R 7 *τῷ addidi 8 ἐμοὶ B 10 πυνθανομένῳ add. B | διὰ πιστοῦ πεμφθέντος c. dubitanter Kiessling 12 ἀπέστειλε B 13 σιτοφόρου c. Bücheler 16 κολούιν Ba κολούειν Bb 20 ὑπὲρ αὐτῶν A ὑπὲρ αὐτοῦ B corr. Stephanus ex CD | ἐβούλετο del. Cobet Obs. p. 88

πόλεως ἐβούλετο δακρύων ἅμα καὶ τὴν ἑαυτοῦ τύχην κατολοφυρόμενος, ὥσπερ οἱ κατ' ἀλήθειαν ὑπὲρ τῆς ψυχῆς ἀγωνιῶντες.

LVII. Ἠρεθισμένου δὲ τοῦ πλήθους καὶ μετὰ πολλῆς προθυμίας πυνθανομένου, τίνες εἰσὶν οἱ μέλλοντες αὐτὸν προδιδόναι, [τὸν ἐπιφανέστατον τῶν Γαβίων] Ἀντίστιον Πέτρωνα ὠνόμασεν, ὃς ἐν εἰρήνῃ τε πολλὰ καὶ σπουδαῖα πολιτευσάμενος καὶ στρατηγίας πολλὰς τετελεκὼς ἐπιφανέστατος ἁπάντων ἐγεγόνει· ἀπολογουμένου δὲ τοῦ ἀνδρὸς καὶ διὰ τὸ μηδὲν ἑαυτῷ συνειδέναι πᾶσαν ἐξέτασιν ὑπομένοντος ἔφη βούλεσθαι τὴν οἰκίαν αὐτοῦ διερευνῆσαι πέμψας ἑτέρους, αὐτὸς δ' ἐπὶ τῆς ἐκκλησίας σὺν ἐκείνῳ, τέως ἂν οἱ πεμφθέν-
2 τες ἔλθωσι, μένειν. ἔτυχε δὲ διεφθαρκὼς αὐτοῦ τῶν θεραπόντων τινὰς ἀργυρίῳ τὰς ἐπὶ τὸν ὄλεθρον τοῦ Πέτρωνος κατασκευασθείσας ἐπιστολὰς σεσημειωμένας τῇ τοῦ πατρὸς σφραγῖδι λαβόντας ἔνδον ἀποθέσθαι. ὡς δ' οἱ πεμφθέντες ἐπὶ τὴν ἔρευναν· οὐδὲν γὰρ ἀντ- 77
εἶπεν ὁ Πέτρων, ἀλλ' ἐφῆκε τὴν οἰκίαν ἐρευνᾶν· εὑρόντες, ἔνθα ἦν ἀποκεκρυμμένα τὰ γράμματα, παρῆσαν εἰς τὴν ἐκκλησίαν ἄλλας τε πολλὰς φέροντες ἐπιστολὰς ἐπισεσημασμένας καὶ τὴν πρὸς τὸν Ἀντίστιον γραφεῖσαν, ἐπιγινώσκειν φήσας τὴν σφραγῖδα τοῦ πατρὸς ὁ Σέξτος ἔλυσε, καὶ τῷ γραμματεῖ δοὺς ἐκέλευ-
3 σεν ἀναγινώσκειν. ἐγέγραπτο δ' ἐν αὐτῇ, μάλιστα μὲν

2 ὑπὲρ τῆς B τῆς om. R 6 τὸν ἐπιφανέστατον τῶν Γαβίων del. Sintenis Hermes I 471 8 στρατηγίας τε O praeter B 11 ὑπομένων λέγοντος dubitanter c. Kiessling 13 *ἐκείνῳ ἕως ABb ἐκείνῳ τε ὡς Ba 14 μενεῖν c. Bücheler 16 πάτρωνος Ba | post Πέτρωνος add. ὑπ' αὐτοῦ Reiske | σεσημασμένας c. Cobet Obs. p. 88 18 δὲ B 23 τῇ σφραγῖδι A

ζῶντα παραδοῦναι τὸν υἱὸν αὐτῷ [καὶ κομίζεσθαι τοὺς διωμολογημένους μισθούς], ἐὰν δ' ἀδύνατος ᾖ τοῦτο τὴν κεφαλὴν ἀποτεμόντα πέμψαι. ταῦτα δὲ ποιήσαντι αὐτῷ τε καὶ τοῖς συλλαβομένοις τοῦ ἔργου χωρὶς τῶν ἄλλων μισθῶν, οὓς πρότερον ὑπέσχητο, πολιτείαν τε τὴν ἐν Ῥώμῃ δώσειν ἔφη καὶ εἰς τὸν τῶν πατρικίων ἀριθμὸν ἅπαντας ἐγγράψειν οἰκίας τε καὶ κλήρους καὶ
780 ἄλλας δωρεὰς πολλὰς ἐπιθήσειν καὶ μεγάλας. ἐφ' οἷς 4
ἐρεθισθέντες οἱ Γάβιοι τὸν μὲν Ἀντίστιον ἐκπεπληγότα ἐπὶ τῇ παραδόξῳ συμφορᾷ καὶ οὐδὲ φωνὴν ὑπὸ τοῦ κακοῦ ῥῆξαι δυνάμενον ἀποκτείνουσι βάλλοντες λίθοις· τὴν δὲ κατὰ τῶν ἄλλων ζήτησίν τε καὶ τιμωρίαν τῶν ταὐτὰ τῷ Πέτρωνι βουλευσαμένων ἐπέτρεψαν τῷ Σέξτῳ ποιήσασθαι. ὁ δὲ τοῖς ἰδίοις ἑταίροις τὴν φυλακὴν ἐπιτρέψας τῶν πυλῶν, ἵνα μὴ διαφύγοιεν αὐτὸν οἱ ἐν ταῖς αἰτίαις, πέμπων ἐπὶ τὰς οἰκίας τῶν ἐπιφανεστάτων ἀνδρῶν ἀπέκτεινε πολλοὺς τῶν Γαβίων καὶ ἀγαθούς.

LVIII. Ἐν ᾧ δὲ ταῦτ' ἐπράττετο, θορύβου κατὰ τὴν πόλιν ὄντος ὡς ἐπὶ τοσούτῳ κακῷ μαθὼν τὰ γινόμενα διὰ γραμμάτων ὁ Ταρκύνιος παρῆν ἄγων τὴν δύναμιν καὶ περὶ μέσον νυκτὸς ἀγχοῦ τῆς πόλεως γενόμενος ἀνοιχθεισῶν τῶν πυλῶν ὑπὸ τῶν ἐπὶ τοῦτο

1 καὶ κομίζεσθαι τοὺς διωμολογημένους μισθοὺς add. B sed cf. Sintenis Hermes I 471 2 τοῦτο ποιεῖν τὴν Kiessling, υἱοῦ τὴν c. Kayser Ann. phil. 1866 p. 45 ἀδύνατον ᾖ τοῦτο c. Reiske 3 πέμψαι αὐτῷ O praeter B 5 ὑπέσχητο ABb ὑπέσχετο Ba 10 ἐπὶ om. B | ἀπὸ O ὑπὸ Reiske 12 τὴν δὲ κατὰ τὴν ἄλλην Ba 20 γινόμενα AB γενόμενα R 21 ⟨γραμ⟩μάτων Bb 22 περὶ μέσον νυκτὸς O περὶ μέσας νύκτας Casaubonus πρὸ μέσης νυκτὸς Reiske περὶ μεσονύκτιον Sintenis Em. Dion. II 15 πρὸ μεσῶν νυκτῶν Kiessling

παρεσκευασμένων εἰσελθὼν δίχα πόνου κύριος ἐγεγόνει
2 τῆς πόλεως. ὡς δ' ἐγνώσθη τὸ πάθος ἁπάντων κατο-
δυρομένων ἑαυτοὺς οἷα πείσονται, σφαγάς τε καὶ ἀν-
δραποδισμοὺς καὶ πάντα ὅσα καταλαμβάνει δεινὰ τοὺς
ὑπὸ τυράννων ἁλόντας προσδοκώντων, εἰ δὲ τὰ κρά-
τιστα πράξειαν, δουλείας τε καὶ χρημάτων ἀφαιρέσεις 78
καὶ τὰ ὅμοια τούτοις κατεψηφικότων, οὐδὲν ὁ Ταρ-
κύνιος ὧν προσεδόκων τε καὶ ἐδεδοίκεσαν καίτοι πι-
κρὸς ὀργὴν καὶ περὶ τὰς τιμωρίας τῶν ἐχθρῶν ἀπα-
3 ραίτητος ὢν ἔδρασεν. οὔτε γὰρ ἀπέκτεινεν οὐδένα
Γαβίων οὔτ' ἐξήλασε τῆς πόλεως οὔτ' εἰς ἀτιμίαν ἢ
χρημάτων ἀφαίρεσιν ἐξημίωσε, συγκαλέσας δ' εἰς ἐκ-
κλησίαν τὸ πλῆθος καὶ βασιλικὸν ἐκ τυραννικοῦ τρό-
που μεταλαβὼν τήν τε πόλιν αὐτοῖς ἔφη τὴν ἰδίαν
ἀποδιδόναι καὶ τὰς οὐσίας, ἃς ἔχουσι, συγχωρεῖν καὶ
σὺν τούτοις τὴν Ῥωμαίων ἰσοπολιτείαν ἅπασι χαρί-
ζεσθαι, οὐ δι' εὔνοιαν τὴν πρὸς τοὺς Γαβίους, ἀλλ'
ἵνα τὴν Ῥωμαίων ἡγεμονίαν ἐγκρατέστερον κατέχῃ
ταῦτα πράττων· κρατίστην ἡγούμενος ἔσεσθαι φυλα-
κὴν ἑαυτοῦ τε καὶ τῶν παίδων τὴν ἐκ τῶν παρ' ἐλ-
πίδας σεσωσμένων καὶ τὰ ἴδια πάντα κεκομισμένων
4 πίστιν. καὶ ἵνα μηδὲν αὐτοῖς ἔτι δεῖμα περὶ τοῦ μέλ-
λοντος ὑπάρχῃ χρόνου μηδ' ἐνδοιάζωσιν, εἰ βέβαια 78
ταῦτα σφίσι διαμενεῖ, γράψας ἐφ' οἷς ἔσονται δικαίοις
φίλοι, τὰ περὶ τούτων ὅρκια συνετέλεσεν ἐπὶ τῆς ἐκ-

3 πείσονται σφαγάς ABb πεί.οντεσ φαγὰς Ba | τε add. B 13 τρόπον c. Cobet Obs. p. 88 14 μεταβαλὼν A 16 τὴν Ῥωμαίων — ἀλλ' ἵνα add. B 18 κατέχοι A κατέχ⟨ῃ⟩ B 20 ἐλπίδα B 22 ἔτι add. B 23 εἰς βέβαια — διαμένῃ R εἰ διαμένει B corr. Kiessling

*κλησίας παραχρῆμα καὶ διωμόσατο κατὰ τῶν σφαγίων. τούτων ἐστὶ τῶν ὁρκίων μνημεῖον ἐν Ῥώμῃ κείμενον ἐν ἱερῷ Διὸς Πιστίου, ὃν Ῥωμαῖοι Σάγκον καλοῦσιν, ἀσπὶς ξυλίνη βύρσῃ βοείᾳ περίτονος τοῦ σφαγιασθέντος ἐπὶ τῶν ὁρκίων τότε βοός, γράμμασιν ἀρχαϊκοῖς*
783 *ἐπιγεγραμμένη τὰς γενομένας αὐτοῖς ὁμολογίας. ταῦτα πράξας καὶ βασιλέα τῶν Γαβίων τὸν υἱὸν Σέξτον ἀποδείξας ἀπῆγε τὴν δύναμιν. ὁ μὲν δὴ πρὸς Γαβίους πόλεμος τοιούτου τέλους ἔτυχεν.*

LVIIII. *Ταρκύνιος δὲ μετὰ τοῦτο τὸ ἔργον ἀναπαύσας τὸν λεὼν τῶν στρατειῶν καὶ πολέμων περὶ τὴν κατασκευὴν τῶν ἱερῶν ἐγίνετο τὰς τοῦ πάππου προθυμούμενος εὐχὰς ἐπιτελέσαι. ἐκεῖνος γὰρ ἐν τῷ τελευταίῳ πολέμῳ μαχόμενος πρὸς Σαβίνους εὔξατο τῷ Διὶ καὶ τῇ Ἥρᾳ καὶ τῇ Ἀθηνᾷ, ἐὰν κρατήσῃ τῇ μάχῃ, ναοὺς αὐτοῖς κατασκευάσειν· καὶ τὸν μὲν σκόπελον, ἔνθα ἱδρύσεσθαι τοὺς θεοὺς ἔμελλεν, ἀναλήμμασί τε καὶ χώμασι μεγάλοις ἐξειργάσατο, καθάπερ ἔφην ἐν τῷ πρὸ τούτου λόγῳ, τὴν δὲ τῶν ναῶν κατασκευὴν οὐκ ἔφθη τελέσαι. τοῦτο δὴ τὸ ἔργον ὁ Ταρκύνιος ἀπὸ τῆς δεκάτης τῶν ἐκ Συέσσης λαφύρων ἐπιτελέσαι προαιρούμενος ἅπαντας τοὺς τεχνίτας ἐπέστησε ταῖς ἐργασίαις. ἔνθα δὴ λέγεται τέρας τι θαυ-* 2
*μαστὸν ὑπόγειον ὀρυττομένων τε τῶν θεμελίων καὶ*
784 *τῆς ὀρυγῆς εἰς πολὺ βάθος ἤδη προϊούσης, εὑρῆσθαι κεφαλὴ νεοσφαγοῦς ἀνθρώπου τό τε πρόσωπον ἔχουσα*

3 *Σάγκτον* AB corr. Castalio 4 *βυρσοβοείᾳ* A | *περί τινος* B 6 *ὁμολογία<ι>ς* B | *ἐγγεγραμμένη* c. Cobet Obs. p. 88 11 *λεὼ* B 25 *παρούσης* O *προιούσης* c. Sylburg 26 *κεφαλὴν* O corr. Kiessling | *ἔχουσα* AC *ἔχουσαν* B

τοῖς ἐμψύχοις ὅμοιον καὶ τὸ καταφερόμενον ἐκ τῆς
3 ἀποτομῆς αἷμα θερμὸν ἔτι καὶ νεαρόν. τοῦτο τὸ τέρας ἰδὼν ὁ Ταρκύνιος τοῦ μὲν ὀρύγματος ἐπισχεῖν ἐκέλευσε τοὺς ἐργαζομένους· συγκαλέσας δὲ τοὺς ἐπιχωρίους μάντεις ἐπυνθάνετο παρ' αὐτῶν, τί βούλεται σημαίνειν τὸ τέρας. οὐδὲν δ' αὐτῶν ἀποφαινομένων, ἀλλὰ Τυρρηνοῖς ἀποδιδόντων τὴν περὶ τῶν τοιούτων ἐπιστήμην ἐξετάσας παρ' αὐτῶν καὶ μαθὼν τὸν ἐπιφανέστατον τῶν ἐν Τυρρηνοῖς τερατοσκόπων, ὅστις ἦν, πέμπει τῶν ἀστῶν τοὺς δοκιμωτάτους πρέσβεις πρὸς αὐτόν.

LX. Τούτοις τοῖς ἀνδράσιν ἀφικομένοις εἰς τὴν 78
οἰκίαν τοῦ τερατοσκόπου περιτυγχάνει τι μειράκιον ἐξιόν, ᾧ φράσαντες, ὅτι Ῥωμαίων εἰσὶ πρέσβεις τῷ μάντει βουλόμενοι συντυχεῖν, παρεκάλουν ἀπαγγεῖλαι πρὸς αὐτόν. καὶ ὁ νεανίας, Πατήρ ἐμός ἐστιν, ἔφησεν, ᾧ χρῄζετε συντυχεῖν· ἀσχολεῖται δὲ κατὰ τὸ παρόν· ἔσται δ' ὑμῖν ὀλίγου χρόνου παρελθεῖν πρὸς αὐτόν.
2 ἐν ᾧ δ' ἐκεῖνον ἐκδέχεσθε, πρὸς ἐμὲ δηλώσατε, περὶ τίνος ἥκετε. περιέσται γὰρ ὑμῖν, εἴ τι μέλλετε διὰ τὴν ἀπειρίαν σφάλλεσθαι κατὰ τὴν ἐρώτησιν, ὑπ' ἐμοῦ διδαχθεῖσι μηδὲν ἐξαμαρτεῖν· μοῖρα δ' οὐκ ἐλαχίστη τῶν ἐν μαντικῇ θεωρημάτων ἐρώτησις ὀρθή. ἐδόκει τοῖς ἀνδράσιν οὕτω ποιεῖν, καὶ λέγουσιν αὐτῷ τὸ τέρας. ὁ δ' ὡς ἤκουσε μικρὸν ἐπισχὼν χρόνον, Ἀκούσατ', ἔφησεν, ἄνδρες Ῥωμαῖοι· τὸ μὲν τέρας ὑμῖν ὁ πατὴρ

1 ἐκ τῆς ἀποτομῆς B ἐκ τῆς κεφαλῆς R ἐκ τῆς σφαγῆς c. Reiske ἐξ αὐτῆς Grimm Lect. Dion. IV 6 9 τερατοσκόπον Bb τερατόσκοπον R corr. Reiske 15 ἐντυχεῖν Cobet Obs. p. 89 | μάντι B 22 διδαχθεῖσαν A

διελεῖται καὶ οὐδὲν ψεύσεται· μάντει γὰρ οὐ θέμις·
ἃ δὲ λέγοντες ὑμεῖς καὶ ἀποκρινόμενοι πρὸς τὰς ἐρω-
786τήσεις ἀναμάρτητοί τε καὶ ἀψευδεῖς ἔσεσθε· διαφέρει
γὰρ ὑμῖν προεγνωκέναι ταῦτα· παρ' ἐμοῦ μάθετε. ὅταν 3
ἀφηγήσησθε αὐτῷ τὸ τέρας, οὐκ ἀκριβῶς μανθάνειν
φήσας ὅ τι λέγετε περιγράψει τῷ σκήπωνι τῆς γῆς
μέρος ὅσον δή τι· ἔπειθ' ὑμῖν ἐρεῖ, Τουτὶ μέν ἐστιν
ὁ Ταρπήιος λόφος, μέρος δ' αὐτοῦ τουτὶ μὲν τὸ πρὸς
τὰς ἀνατολὰς βλέπον, τουτὶ δὲ τὸ πρὸς τὰς δύσεις,
βόρειον δ' αὐτοῦ τόδε καὶ τοὐναντίον ⟨νότιον⟩. ταῦτα 4
τῷ σκήπωνι δεικνὺς πεύσεται παρ' ὑμῶν, ἐπὶ ποίῳ
τῶν μερῶν τούτων εὑρέθη ἡ κεφαλή. τί οὖν ὑμῖν
ἀποκρίνασθαι παραινῶ; μὴ συγχωρεῖν ἐν μηδενὶ τῶν
τόπων τούτων, οὓς ἂν ἐκεῖνος τῷ σκήπωνι δεικνὺς
πυνθάνηται, τὸ τέρας εὑρεθῆναι, ἀλλ' ἐν Ῥώμῃ φάναι
παρ' ἡμῖν ἐν Ταρπηίῳ λόφῳ. ταύτας ἐὰν φυλάττητε
τὰς ἀποκρίσεις καὶ μηδὲν παράγησθε ὑπ' αὐτοῦ, συγ-
γνούς, ὅτι τὸ χρεὼν οὐκ ἔνεστι μετατεθῆναι, διελεῖται
τὸ τέρας ὑμῖν ὅ τι βούλεται σημαίνειν καὶ οὐκ ἀπο-
κρύψεται.

787 LXI. Ταῦτα μαθόντες οἱ πρέσβεις, ἐπειδὴ σχολὴν
ὁ πρεσβύτης ἔσχε καὶ προῆλθέ τις αὐτοὺς μετιών,
εἰσελθόντες φράζουσι τῷ μάντει τὸ τέρας. σοφιζομέ-
νου δ' αὐτοῦ καὶ διαγράφοντος ἐπὶ τῆς γῆς περιφερεῖς

1 μάντι B 2 ἀποκρινάμενοι B 6 περιγράφει A | σκέπωνι Bb σκαίπωνι Ba 9 τὰς om. A 10 αὐτοῦ] αὖ c. Reiske | τοὐναντίον O τοὐναντίον ⟨νότιον⟩ Schnelle Exerc. crit. p. 27 τοῦτο νότιον c. Sintenis Hermes I 473 11 σκήπωνι ABb σκίπωνι Ba | ἐποίω Ba ἐ⟨πὶ⟩ ποίῳ Bb ἐπὶ ποίων A ἐν ποίῳ c. Cobet Obs. p. 90 14 τούτων add. B 16 παρ' ὑμῖν Stephanus 22 πρεσβύτης Cobet Obs. p. 89 πρέσβυς O | προσῆλθε O προῆλθε Sylburg

τε γραμμὰς καὶ ἑτέρας αὖθις εὐθείας καὶ καθ' ἓν
ἕκαστον χωρίον ποιουμένου τὰς ὑπὲρ τῆς εὑρέσεως
ἐρωτήσεις οὐδὲν ἐπιταραττόμενοι τὴν γνώμην οἱ πρέ-
σβεις τὴν αὐτὴν ἐφύλαττον ἀπόκρισιν, ὥσπερ αὐτοῖς
ὁ τοῦ μάντεως ὑπέθετο υἱός, τὴν Ῥώμην καὶ τὸν Ταρ-
πήιον ὀνομάζοντες ἀεὶ λόφον καὶ τὸν ἐξηγητὴν ἀξι-
οῦντες μὴ σφετερίζεσθαι τὸ σημεῖον, ἀλλ' ἀπὸ τοῦ
2 κρατίστου καὶ τοῦ δικαιοτάτου λέγειν. οὐ δυνηθεὶς
δὲ παρακρούσασθαι τοὺς ἄνδρας ὁ μάντις οὐδὲ σφε-
τερίσασθαι τὸν οἰωνὸν λέγει πρὸς αὐτούς, Ἄνδρες
Ῥωμαῖοι, λέγετε πρὸς τοὺς ἑαυτῶν πολίτας, ὅτι κεφα-
λὴν εἵμαρται γενέσθαι συμπάσης Ἰταλίας τὸν τόπον
τοῦτον, ἐν ᾧ τὴν κεφαλὴν εὕρετε. ἐξ ἐκείνου καλεῖται
τοῦ χρόνου Καπιτωλῖνος ὁ λόφος ἐπὶ τῆς εὑρεθείσης 78
ἐν αὐτῷ κεφαλῆς· κάπιτα γὰρ οἱ Ῥωμαῖοι καλοῦσι
3 τὰς κεφαλάς. ταῦτα παρὰ τῶν πρεσβευσάντων ἀκούσας
ὁ Ταρκύνιος ἐπέστησε τοῖς ἔργοις τοὺς τεχνίτας· καὶ
τὰ μὲν πολλὰ ἐξειργάσατο τοῦ ναοῦ, τελειῶσαι δ' οὐκ
ἔφθασεν ἅπαν τὸ ἔργον ἐκπεσὼν τάχιον ἐκ τῆς δυνα-
στείας, ἀλλ' ἐπὶ τῆς τρίτης ὑπατείας ἡ Ῥωμαίων πόλις
αὐτὸν εἰς συντέλειαν ἐξειργάσατο. ἐποιήθη δ' ἐπὶ κρη-
πῖδος ὑψηλῆς βεβηκὼς ὀκτάπλεθρος τὴν περίοδον, δι-
ακοσίων ποδῶν ἔγγιστα τὴν πλευρὰν ἔχων ἑκάστην·
ὀλίγον δέ τι τὸ διαλλάττον εὕροι τις ἂν τῆς ὑπεροχῆς
τοῦ μήκους παρὰ τὸ πλάτος οὐδ' ὅλων πεντεκαίδεκα
4 ποδῶν. ἐπὶ γὰρ τοῖς αὐτοῖς θεμελίοις ὁ μετὰ τὴν

8 post λέγειν verborum ordo partim repetitur partim perturbatus est A 14 τοῦ χρόνου add. B | ὁ om. B | λόφος B τόπος R 17 αὖθις ἐπέστησε c. Reiske 19 τάχ⟨ι⟩ον B 21 κρηπ⟨ί⟩δος B 22 ὀκταπέλεθρος B 24 ὀλίγον τι AB

789 ἔμπρησιν οἰκοδομηθεὶς κατὰ τοὺς πατέρας ἡμῶν εὑρέθη τῇ πολυτελείᾳ τῆς ὕλης μόνον διαλλάττων τοῦ ἀρχαίου, ἐκ μὲν τοῦ κατὰ πρόσωπον μέρους τοῦ πρὸς μεσημβρίαν βλέποντος τριπλῷ περιλαμβανόμενος στοίχῳ κιόνων, ἐκ δὲ τῶν πλαγίων ἁπλῷ· ἐν δ' αὐτῷ τρεῖς ἔνεισι σηκοὶ παράλληλοι κοινὰς ἔχοντες πλευράς, μέσος μὲν ὁ τοῦ Διός, παρ' ἑκάτερον δὲ τὸ μέρος ὅ τε τῆς Ἥρας καὶ ὁ τῆς Ἀθηνᾶς ὑφ' ἑνὸς ἀετοῦ καὶ μιᾶς στέγης καλυπτόμενοι.

LXII. Λέγεται δέ τι καὶ ἕτερον ἐπὶ τῆς Ταρκυνίου δυναστείας πάνυ θαυμαστὸν εὐτύχημα τῇ Ῥωμαίων
790 ὑπάρξαι πόλει εἴτε θεῶν τινος εἴτε δαιμόνων εὐνοίᾳ δωρηθέν· ὅπερ οὐ πρὸς ὀλίγον καιρόν, ἀλλ' εἰς ἅπαντα τὸν βίον πολλάκις αὐτὴν ἔσωσεν ἐκ μεγάλων κακῶν.
γυνή τις ἀφίκετο πρὸς τὸν τύραννον οὐκ ἐπιχωρία 2
βύβλους ἐννέα μεστὰς Σιβυλλείων χρησμῶν ἀπεμπολῆσαι θέλουσα. οὐκ ἀξιοῦντος δὲ τοῦ Ταρκυνίου τῆς αἰτηθείσης τιμῆς πρίασθαι τὰς βύβλους ἀπελθοῦσα τρεῖς ἐξ αὐτῶν κατέκαυσε· καὶ μετ' οὐ πολὺν χρόνον τὰς λοιπὰς ⟨ἓξ⟩ ἐνέγκασα τῆς αὐτῆς ἐπώλει τιμῆς. δόξασα δ' ἄφρων τις εἶναι καὶ γελασθεῖσα ἐπὶ τῷ τὴν αὐτὴν τιμὴν αἰτεῖν περὶ τῶν ἐλαττόνων, ἣν οὐδὲ περὶ τῶν πλειόνων ἐδυνήθη λαβεῖν, ἀπελθοῦσα πάλιν τὰς
791 ἡμισείας τῶν ἀπολειπομένων κατέκαυσε καὶ τὰς λοιπὰς

1 εὑρέθη O ἱδρύθη c. Ambrosch Quaest. Dion. I 10 et Sintenis Em. Dion. II 16  2 τοῦ ἀρχαίου R τὸν ἀρχαῖον B  4 στίχῳ O στοίχῳ Cobet Obs. p. 89  6 τὰς πλευρὰς c. Kiessling  14 τὸν βίον (ὠφέλιμον ἐγένετο καὶ) πολλάκις c. Cobet Obs. p. 89  16 βύβλους AB βίβλους R | .ρησμῶν Ba  20 ἓξ add. Kiessling  22 αἰτεῖν add. B | περὶ] hic et paulo post ὑπὲρ Cobet Obs. p. 89

3 τρεῖς ἐνέγκασα τὸ ἴσον ᾔτει χρυσίον. θαυμάσας δὴ τὸ
βούλημα τῆς γυναικὸς ὁ Ταρκύνιος τοὺς οἰωνοσκόπους
μετεπέμψατο καὶ διηγησάμενος αὐτοῖς τὸ πρᾶγμα, τί
χρὴ πράττειν, ἤρετο. κἀκεῖνοι διὰ σημείων τινῶν
μαθόντες, ὅτι θεόπεμπτον ἀγαθὸν ἀπεστράφη, καὶ με-
γάλην συμφορὰν ἀποφαίνοντες τὸ μὴ πάσας αὐτὸν τὰς
βύβλους πρίασθαι, ἐκέλευσαν ἀπαριθμῆσαι τῇ γυναικὶ
τὸ χρυσίον, ὅσον ᾔτει καὶ τοὺς περιόντας τῶν χρη-
4 σμῶν λαβεῖν. ἡ μὲν οὖν γυνὴ τὰς βύβλους δοῦσα καὶ
φράσασα τηρεῖν ἐπιμελῶς ἐξ ἀνθρώπων ἠφανίσθη,
Ταρκύνιος δὲ τῶν ἀστῶν ἄνδρας ἐπιφανεῖς δύο προ-
χειρισάμενος καὶ δημοσίους αὐτοῖς θεράποντας δύο
παραζεύξας ἐκείνοις ἀπέδωκε τὴν τῶν βιβλίων φυλα-
κήν, ὧν τὸν ἕτερον Μάρκον Ἀτίλιον ἀδικεῖν τι δόξαντα 79S
περὶ τὴν πύστιν καταμηνυθέντα ὑφ' ἑνὸς τῶν δημο-
σίων, ὡς πατροκτόνον εἰς ἀσκὸν ἐνράψας βόειον ἔρ-
5 ριψεν εἰς τὸ πέλαγος. μετὰ δὲ τὴν ἐκβολὴν τῶν βασι-
λέων ἡ πόλις ἀναλαβοῦσα τὴν τῶν χρησμῶν προστασίαν
ἄνδρας τε τοὺς ἐπιφανεστάτους ἀποδείκνυσιν αὐτῶν
φύλακας, οἳ διὰ βίου ταύτην ἔχουσι τὴν ἐπιμέλειαν
στρατειῶν ἀφειμένοι καὶ τῶν ἄλλων τῶν κατὰ πόλιν
πραγματειῶν, καὶ δημοσίους αὐτοῖς παρακαθίστησιν,
ὧν χωρὶς οὐκ ἐπιτρέπει τὰς ἐπισκέψεις τῶν χρησμῶν
τοῖς ἀνδράσι ποιεῖσθαι. συνελόντι δ' εἰπεῖν οὐδὲν
οὕτω Ῥωμαῖοι φυλάττουσιν οὐθ' ὅσιον κτῆμα οὐθ'
ἱερὸν ὡς τὰ Σιβύλλεια θέσφατα. χρῶνται δ' αὐτοῖς,

6 πάντας A 7 ἐκέλευσεν ABb 9 γυνὴ ἡ B 12 θερά-
ποντας del. Schnelle Exerc. crit. p. 20 14 Ἀτίλ⟨ι⟩ον B 15
πίστιν O πύστιν c. Bücheler | καὶ μηνυθέντα O καταμηνυθέντα
Schnelle ib. p. 15 21 κατὰ τὴν O praeter B 25 δημόσιον
c. Bücheler

ὅταν ἡ βουλὴ ψηφίσηται, στάσεως καταλαβούσης τὴν πόλιν ἢ δυστυχίας τινὸς μεγάλης συμπεσούσης κατὰ πόλεμον ἢ τεράτων τινῶν καὶ φαντασμάτων μεγάλων καὶ δυσευρέτων αὐτοῖς φανέντων, οἷα πολλάκις συνέβη. 793 οὗτοι διέμειναν οἱ χρησμοὶ μέχρι τοῦ Μαρσικοῦ κληθέντος πολέμου κείμενοι κατὰ γῆς ἐν τῷ ναῷ τοῦ Καπιτωλίνου Διὸς ἐν λιθίνῃ λάρνακι, ὑπ' ἀνδρῶν δέκα φυλαττόμενοι. μετὰ δὲ τὴν τρίτην ἐπὶ ταῖς ἑβ- 6
δομήκοντα καὶ ἑκατὸν ὀλυμπιάσιν ἐμπρησθέντος τοῦ ναοῦ, εἴτ' ἐξ ἐπιβουλῆς, ὡς οἴονταί τινες, εἴτ' ἀπὸ ταὐτομάτου, σὺν τοῖς ἄλλοις ἀναθήμασι τοῦ θεοῦ καὶ οὗτοι διεφθάρησαν ὑπὸ τοῦ πυρός. οἱ δὲ νῦν ὄντες ἐκ πολλῶν εἰσι συμφορητοὶ τόπων, οἱ μὲν ἐκ τῶν ἐν Ἰταλίᾳ πόλεων κομισθέντες, οἱ δ' ἐξ Ἐρυθρῶν τῶν ἐν Ἀσίᾳ, κατὰ δόγμα βουλῆς τριῶν ἀποσταλέντων πρεσβευτῶν ἐπὶ τὴν ἀντιγραφήν· οἱ δ' ἐξ ἄλλων πόλεων καὶ παρ' ἀνδρῶν ἰδιωτῶν μεταγραφέντες· ἐν οἷς εὑρίσκονταί τινες ἐμπεποιημένοι τοῖς Σιβυλλείοις, ἐλέγχονται δὲ ταῖς καλουμέναις ἀκροστιχίσι· λέγω δ' ἃ Τερέντιος Οὐάρρων ἱστόρηκεν ἐν τῇ θεολογικῇ πραγματείᾳ.

LXIII. Ταῦτα διαπραξάμενος ὁ Ταρκύνιος ἐν εἰρήνῃ 794 τε καὶ κατὰ πολέμους καὶ δύο πόλεις ἀποικίσας τὴν μὲν καλουμένην Σιγνίαν οὐ κατὰ προαίρεσιν, ἀλλ' ἐκ ταὐτομάτου, χειμασάντων ἐν τῷ χωρίῳ τῶν στρατιωτῶν καὶ κατασκευασαμένων τὸ στρατόπεδον ὡς μηδὲν

7 Καπιτωλίου AB 8 ἐπὶ B ἐν A 9 καὶ om. AB 10 οἴονται ABb οἷόν τε Ba | εἴτ' ἀπ' αὐτομάτου A εἴτε ἀπαυτομάτου B εἴτε ἀπὸ ταὐτομάτου vulgo εἴτ' ἐκ ταυτομάτου Kiessling 11 ἄλλοις] ὅλοις B 24 Σιγναῖαν A κατασκευασάμενον B | * ἐκ τοῦ αὐτομάτου O

διαφέρειν πόλεως· Κιρκαίαν δὲ κατὰ λογισμόν, ὅτι
τοῦ Πωμεντίνου πεδίου μεγίστου τῶν περὶ τῇ Λατίνῃ
καὶ τῆς συναπτούσης αὐτῷ θαλάττης ἔκειτο ἐν καλῷ·
ἔστι δὲ χερσονησοειδὴς σκόπελος ὑψηλὸς ἐπιεικῶς ἐπὶ
τοῦ Τυρρηνικοῦ πελάγους κείμενος, ἔνθα λόγος ἔχει
Κίρκην τὴν Ἡλίου θυγατέρα κατοικῆσαι· καὶ τὰς ἀποι-
κίας ἀμφοτέρας δυσὶ τῶν παίδων οἰκισταῖς ἀναθείς,
Κιρκαίαν μὲν Ἄρροντι, Σιγνίαν δὲ Τίτῳ, δέος ἅτε
οὐδὲν ἔτι περὶ τῆς ἀρχῆς ἔχων, διὰ γυναικὸς ὕβριν
αὐτῆς, ἣν ὁ πρεσβύτατος αὐτοῦ τῶν παίδων Σέξτος
διέφθειρεν, ἐξελαύνεται τῆς τ' ἀρχῆς καὶ τῆς πόλεως, 79
προθεσπίσαντος αὐτῷ τοῦ δαιμονίου τὴν μέλλουσαν
γενήσεσθαι περὶ τὸν οἶκον συμφορὰν πολλοῖς μὲν καὶ
2 ἄλλοις οἰωνοῖς, τελευταίῳ δὲ τῷδε. αἰετοὶ συνιόντες
εἰς τὸν παρακείμενον τοῖς βασιλείοις κῆπον ἔαρος ὥρᾳ
νεοττιὰν ἔπλαττον ἐπὶ κορυφῇ φοίνικος ὑψηλοῦ. τού-
των δὲ τῶν αἰετῶν ἀπτῆνας ἔτι τοὺς νεοττοὺς ἐχόντων
γῦπες ἀθρόοι προσπετασθέντες τήν τε νεοττιὰν διε-
φόρησαν καὶ τοὺς νεοττοὺς ἀπέκτειναν καὶ τοὺς αἰε-
τοὺς προσιόντας ἀπὸ τῆς νομῆς ἀμύττοντές τε καὶ
παίοντες τοῖς ταρσοῖς ἀπὸ τοῦ φοίνικος ἀπήλασαν.
3 τούτους τοὺς οἰωνοὺς ἰδὼν ὁ Ταρκύνιος καὶ φυλαττό-
μενος, εἴ πως δύναιτο διακρούσασθαι τὴν μοῖραν, οὐκ
ἴσχυσε νικῆσαι τὸ χρεών, ἀλλ' ἐπιθεμένων αὐτῷ τῶν
πατρικίων καὶ τοῦ δήμου συμφρονήσαντος ἐξέπεσε τῆς

2 περὶ] πρὸς vel ἐπὶ c. Reiske 8 Σιγναίαν O | δέος ἅτε Bb δέοςα Ba δέος R 9 *ὕβριν . . τῆς ἣν B ὕβριν ἣν R γαμετῆς c. Bernays et Sintenis Em. Dion. II 16 14 καὶ ante τῷδε inserit Reiske 15 κῆπον Bb κήπων Ba τόπον R 16 νεοττιὰς O corr. Bücheler 17 ἀετῶν add. Bb 20 ἀμύττοντές τε τοῖς ῥάμφεσι c. Reiske

δυναστείας. οἵτινες δ' ἦσαν οἱ τῆς ἐπαναστάσεως ἄρξαντες καὶ δι' οἵων τρόπων ἦλθον ἐπὶ τὰ πράγματα, δι' ὀλίγων πειράσομαι διελθεῖν.

LXIIII. Τὴν Ἀρδεατῶν πόλιν ὁ Ταρκύνιος ἐπο-
796λιόρκει πρόφασιν μὲν ποιούμενος, ὅτι τοὺς ἐκ Ῥώμης φυγάδας ὑπεδέχετο καὶ συνέπραττεν αὐτοῖς περὶ καθόδου· ὡς δὲ τἀληθὲς εἶχεν ἐπιβουλεύων αὐτῇ διὰ τὸν πλοῦτον εὐδαιμονούσῃ μάλιστα τῶν ἐν Ἰταλίᾳ πόλεων. γενναίως δὲ τῶν Ἀρδεατῶν ἀπομαχομένων καὶ πολυχρονίου τῆς πολιορκίας γινομένης οἵ τ' ἐπὶ τοῦ στρατοπέδου κάμνοντες ἐπὶ τῇ τριβῇ τοῦ πολέμου καὶ οἱ κατὰ πόλιν ἀπειρηκότες ταῖς εἰσφοραῖς ἕτοιμοι πρὸς
ἀπόστασιν ἦσαν, εἴ τις ἀρχὴ γένοιτο. ἐν τούτῳ δὴ τῷ 2
καιρῷ Σέξτος ὁ πρεσβύτατος τῶν Ταρκυνίου παίδων ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς εἰς πόλιν, ἣ ἐκαλεῖτο Κολλάτεια, χρείας τινὰς ὑπηρετήσων στρατιωτικὰς παρ' ἀνδρὶ κατήχθη συγγενεῖ Λευκίῳ Ταρκυνίῳ τῷ Κολ-
λατίνῳ προσαγορευομένῳ. τοῦτον τὸν ἄνδρα Φάβιος 3
μὲν υἱὸν εἶναί φησιν Ἠγερίου, περὶ οὗ δεδήλωκα πρότερον, ὅτι Ταρκυνίῳ τῷ προτέρῳ βασιλεύσαντι
797Ῥωμαίων ἀδελφόπαις ἦν καὶ Κολλατείας ἡγεμὼν ἀποδειχθεὶς ἀπὸ τῆς ἐν ἐκείνῃ τῇ πόλει διατριβῆς αὐτός τε Κολλατῖνος ἐκλήθη καὶ τοῖς ἐγγόνοις ἀφ' ἑαυτοῦ τὴν αὐτὴν κατέλιπεν ἐπίκλησιν· ἐγὼ δὲ καὶ τοῦτον

4 ἐπολέμει O quod def. Krüger ad Dion. Hist. p. 49 ἐπολιόρκει c. Portus cf. Fr. Krebs Recens. litter. philol. nov. 1886 p. 327 10 οἵ τε ἐπὶ B οἵ τε ἐπὶ τῇ τριβῇ τοῦ πολέμου ἐπὶ τοῦ στρατοπέδου κάμνοντες A 12 κατὰ τὴν πόλιν Ambrosch 13 ἐν τού δὴ B 17 κατηνέχθη ABa κ⟨ατηνέ⟩χθη Bb corr. Reiske 19 φησιν γερίου Ba φησὶ Ἡγερίου Bb 21 ἀδελφό.παις Bb ἀδελφοῦ παῖς ABa | κολλάτια B

*υἱωνὸν εἶναι τοῦ Ἠγερίου πείθομαι, εἴ γε τὴν αὐτὴν
εἶχε τοῖς Ταρκυνίου παισὶν ἡλικίαν, ὡς Φάβιός τε καὶ
οἱ λοιποὶ συγγραφεῖς παραδεδώκασιν· ὁ γὰρ χρόνος
4 ταύτην μοι τὴν ὑπόληψιν βεβαιοῖ. ὁ μὲν οὖν Κολλα-
τῖνος ἐπὶ στρατοπέδου τότε ὢν ἐτύγχανεν, ἡ δὲ συνοι-
κοῦσα αὐτῷ γυνὴ Ῥωμαία, Λουκρητίου θυγάτηρ ἀν-
δρὸς ἐπιφανοῦς, ἐξένιζεν αὐτὸν ὡς συγγενῆ τοῦ ἀνδρὸς
πολλῇ προθυμίᾳ τε καὶ φιλοφροσύνῃ. ταύτην τὴν
γυναῖκα καλλίστην οὖσαν τῶν ἐν Ῥώμῃ γυναικῶν καὶ
σωφρονεστάτην ἐπεχείρησεν ὁ Σέξτος διαφθεῖραι, πα-
λαίτερον μὲν ἔτι εἰργόμενος, ὁπότε κατάγοιτο παρὰ τῷ
συγγενεῖ, τότε δὲ καιρὸν ἁρμόττοντα οἰόμενος ἔχειν.
5 ὡς δὲ μετὰ τὸ δεῖπνον ἀπῆλθε κοιμησόμενος ἐπισχὼν* 198
*τῆς νυκτὸς πολὺ μέρος, ἐπειδὴ καθεύδειν ἅπαντας ἐνόμιζεν, ἀναστὰς ἧκεν ἐπὶ τὸ δωμάτιον, ἐν ᾧ τὴν Λουκρητίαν ᾔδει καθεύδουσαν, καὶ λαθὼν τοὺς παρὰ ταῖς θύραις τοῦ δωματίου κοιμωμένους εἰσέρχεται ξίφος ἔχων.*

LXV. *Ἐπιστὰς δὲ τῇ κλίνῃ διεγερθείσης ἅμα τῷ συνεῖναι τὸν ψόφον τῆς γυναικὸς καὶ πυνθανομένης, ὅστις εἴη, φράσας τοὔνομα σιωπᾶν ἐκέλευε καὶ μένειν ἐν τῷ δωματίῳ σφάξειν αὐτὴν ἀπειλήσας, ἐὰν ἐπιχειρήσῃ φεύγειν ἢ βοᾶν. τούτῳ καταπληξάμενος τῷ τρόπῳ τὴν ἄνθρωπον αἱρέσεις αὐτῇ δύο προὔτεινεν, ὧν ποτέραν αὐτὴ προῃρεῖτο λαβεῖν ἠξίου, θάνατον μετ'*

1 *εἰ* et v. 2 *εἶχε* add. B 10 * *παλαίτερον μὲν ἐπειγόμενος* ABb *π. μ. ἐπιγόμενος* Ba *π. μὲν ἔτι πειρώμενος* c. Kiessling *π. μ. ἔτι γλιχόμενος* Grasberger Tess. Herbip. p. 21 *π. μ. ἔτι ὀρεγόμενος* Cobet Obs. p. 89 *π. μὲν ἔτι εἰργόμενος* ego 20 *συνιέναι* c. Reudler Tiroc. crit. p. 35 21 *ἐκέλευε* B *ἐκέλευσε* R 24 *ὧν ὁποτέραν* Casaubonus 25 *προαιροῖτο* c. Sylburg

αἰσχύνης ἢ βίον μετ' εὐδαιμονίας. Εἰ μὲν γὰρ ὑπο- 2
μενεῖς, ἔφη, χαρίσασθαί μοι, γυναῖκά σε ποιήσομαι καὶ
βασιλεύσεις σὺν ἐμοὶ νῦν μὲν ἧς ὁ πατήρ μοι ἔδωκε
199 πόλεως, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν Ῥωμαίων τε καὶ
Λατίνων καὶ Τυρρηνῶν καὶ τῶν ἄλλων ὅσων ἐκεῖνος
ἄρχει. ἐγὼ γὰρ οἶδ', ὅτι παραλήψομαι τὴν τοῦ πατρὸς
βασιλείαν, ὥσπερ ἐστὶ δίκαιον, τῶν υἱῶν αὐτοῦ πρε-
σβύτατος ὤν. ὅσα δ' ὑπάρχει τοῖς βασιλεῦσιν ἀγαθά,
ὧν ἁπάντων ἔσῃ σὺν ἐμοὶ κυρία, τί δεῖ σε καλῶς
ἐπισταμένην διδάσκειν; εἰ δ' ἀντιπράττειν ἐπιχειρήσεις 3
σώζειν βουλομένη τὸ σῶφρον, ἀποκτενῶ σε καὶ τῶν
θεραπόντων ἐπικατασφάξας ἕνα θήσω τὰ σώματα ὑμῶν
ἅμα καὶ φήσω κατειληφὼς ἀσχημονοῦσάν σε μετὰ τοῦ
δούλου τετιμωρῆσθαι τὴν τοῦ συγγενοῦς ὕβριν μετερ-
χόμενος, ὥστ' αἰσχρὰν καὶ ἐπονείδιστόν σου γενέσθαι
τὴν τελευτὴν καὶ μηδὲ ταφῆς τὸ σῶμά σου τυχεῖν
μηδ' ἄλλου τῶν νομίμων μηδενός. Ὡς δὲ πολὺς ἦν 4
ἀπειλῶν θ' ἅμα καὶ ἀντιβολῶν καὶ διομνύμενος ἀλη-
θεύειν τῶν λεγομένων ἑκάτερον, εἰς ἀνάγκην ἦλθεν ἡ
Λουκρητία φοβηθεῖσα τὴν περὶ τὸν θάνατον ἀσχη-
μοσύνην εἶξαί τε καὶ περιιδεῖν αὐτὸν ἃ προῃρεῖτο δια-
πραξάμενον.

800 LXVI. Ἡμέρας δὲ γενομένης ὁ μὲν ἐπὶ τὸ στρα-
τόπεδον ἀπῄει πονηρὰν καὶ ὀλέθριον ἐπιθυμίαν ἐκ-
πεπληρωκώς, ἡ δὲ Λουκρητία δεινῶς φέρουσα τὸ συμ-
βεβηκὸς ὡς εἶχε τάχους ἐπιβᾶσα τῆς ἀπήνης εἰς Ῥώμην
ᾤχετο, μέλαιναν ἐσθῆτα περιβαλομένη καὶ ξιφίδιόν τι

1 ὑπομενεῖς ex ὑπομενέσεις B 19 ἦλθε B 21 εἶξα/// Ba εἶξει Bb | διαπρασσόμενον c. Reiske 24 ἐπιθυμίαν om. Ba

κρύπτουσα ὑπὸ τῇ στολῇ, οὔτε προσαγορεύουσα κατὰ
τὰς συναντήσεις οὐδένα τῶν ἀσπαζομένων οὔτ' ἀπο-
κρινομένη τοῖς μαθεῖν βουλομένοις, ὅ τι πέπονθεν, ἀλλὰ
σύννους καὶ κατηφὴς καὶ μεστοὺς ἔχουσα τοὺς ὀφθαλ-
2 μοὺς δακρύων. ὡς δ' εἰς τὴν οἰκίαν εἰσῆλθε τοῦ πατρός·
ἔτυχον δὲ συγγενεῖς ὄντες τινὲς παρ' αὐτῷ· τῶν γο-
νάτων αὐτοῦ λαβομένη καὶ περιπεσοῦσα τέως μὲν ἔκλαιε
φωνὴν οὐδεμίαν προϊεμένη, ἔπειτ' ἀνιστάντος αὐτὴν
τοῦ πατρὸς καὶ τί πέπονθεν ἀξιοῦντος λέγειν· Ἱκέτις
ἔφη γίνομαί σου πάτερ δεινὴν καὶ ἀνήκεστον ὑπομεί-
νασα ὕβριν, τιμωρῆσαί μοι καὶ μὴ περιιδεῖν τὴν σεαυ-
3 τοῦ θυγατέρα θανάτου χείρονα παθοῦσαν. Θαυμάσαν- 801
τος δ' αὐτοῦ καὶ τῶν ἄλλων ἁπάντων καὶ τίς ὕβρικεν
αὐτὴν καὶ ποδαπὴν ὕβριν ἀξιοῦντος λέγειν· Ἀκούσῃ
τὰς ἐμάς, ἔφη, συμφοράς, ὦ πάτερ, οὐκ εἰς μακράν·
χάρισαι δέ μοι ταύτην πρῶτον αἰτουμένῃ τὴν χάριν·
κάλεσον ὅσους δύνασαι πλείστους φίλους τε καὶ συγ-
γενεῖς, ἵνα παρ' ἐμοῦ τῆς τὰ δεινὰ παθούσης ἀκού-
σωσι καὶ μὴ παρ' ἑτέρων. ὅταν δὲ μάθῃς τὰς κατα-
σχούσας αἰσχρὰς καὶ δεινὰς ἀνάγκας, βούλευσαι μετ'
αὐτῶν, ὅντινα τιμωρήσεις ἐμοί τε καὶ σεαυτῷ τρόπον
καὶ μὴ πολὺν ποίει χρόνον τὸν διὰ μέσου.

LXVII. Ταχείᾳ δὲ καὶ κατεσπουδασμένῃ παρακλήσει τῶν ἐπιφανεστάτων ἀνδρῶν εἰς τὴν οἰκίαν συνελθόντων ὥσπερ ἠξίου, λέγει πρὸς αὐτοὺς ἅπαν τὸ πρᾶγμα

2 ἀσπαζομένων B προσαγορευομένων A προσαγορευόντων R 9 ἱκέτης ABa 14 ποταπὴν c. Hertlein Hermes X 413 | ἀκούσει Ba ἀκούσῃ ABb 15 ἔφη συμφοράς A συμφορὰς ἔφη Bb ἔφη om. Ba 17 πλείστους add. B 19 κατ⟨ασ⟩χούσας B 20 βουλευσ.. Ba βουλεύσῃ ABb βούλευσαι Kiessling

ἐξ ἀρχῆς ἀναλαβοῦσα. καὶ μετὰ τοῦτ' ἀσπασαμένη τὸν
802 πατέρα καὶ πολλὰς λιτανείας ἐκείνου τε καὶ τῶν σὺν
αὐτῷ παρόντων ποιησαμένη θεοῖς τε καὶ δαίμοσιν
εὐξαμένη ταχεῖαν αὐτῇ δοῦναι τὴν ἀπαλλαγὴν τοῦ βίου
σπᾶται τὸ ξιφίδιον, ὃ κατέκρυπτεν ὑπὸ τοῖς πέπλοις,
καὶ μίαν ἐνέγκασα διὰ τῶν στέρνων πληγὴν ἕως τῆς
καρδίας ὠθεῖ [τὸ ξίφος.] κραυγῆς δὲ καὶ θρήνου καὶ 2
τυπετοῦ γυναικείου τὴν οἰκίαν ὅλην κατασχόντος ὁ
μὲν πατὴρ περιχυθεὶς τῷ σώματι περιέβαλλε καὶ ἀνε-
καλεῖτο καὶ ὡς ἀνοίσουσαν ἐκ τοῦ τραύματος ἐτημε-
λεῖτο, ἡ δ' ἐν ταῖς ἀγκάλαις αὐτοῦ σπαίρουσα καὶ
ψυχορραγοῦσα ἀποθνήσκει. τοῖς δὲ παροῦσι Ῥωμαίων
οὕτω δεινὸν ἔδοξεν εἶναι καὶ ἐλεεινὸν τὸ πάθος, ὥστε
μίαν ἁπάντων γενέσθαι φωνήν, ὡς μυριάκις αὐτοῖς
κρεῖττον εἴη τεθνάναι περὶ τῆς ἐλευθερίας ἢ τοιαύτας
ὕβρεις ὑπὸ τῶν τυράννων γενομένας περιορᾶν. ἦν δέ 3
803 τις ἐν αὐτοῖς Πόπλιος Οὐαλέριος ἑνὸς τῶν ἅμα Τατίῳ
παραγενομένων εἰς Ῥώμην Σαβίνων ἀπόγονος, δρα-
στήριος ἀνὴρ καὶ φρόνιμος. οὗτος ἐπὶ στρατόπεδον
ὑπ' αὐτῶν πέμπεται τῷ τ' ἀνδρὶ τῆς Λουκρητίας τὰ
συμβεβηκότα φράσων καὶ σὺν ἐκείνῳ πράξων ἀπόστασιν
τοῦ στρατιωτικοῦ πλήθους ἀπὸ τῶν τυράννων. ἄρτι 4
δ' αὐτῷ τὰς πύλας ἐξεληλυθότι συναντᾷ κατὰ δαίμονα
παραγινόμενος εἰς τὴν πόλιν ὁ Κολλατῖνος ἀπὸ στρα-

3 θεούς τε καὶ δαίμονας A  7 τὸ ξίφος O del. Schnelle Exerc. crit. p. 20  9 περιέβαλλε ABb περιέβαλε Ba  9 περιέβαλλε καὶ del. Schnelle et καὶ ante ἀνεκαλεῖτο inserit l. l.  10 ἐτημελεῖτο A ἐπεμελεῖτο Bb ἔτι μένει.. Ba  11 ἡ add. ABb  15 εἴη R ἦν B | περὶ] ὑπὲρ Cobet Obs. p. 90  16 γινομένας AB γενομένας C  17 Πόπλ⟨ι⟩ος B  18 Σαβ⟨ί⟩νων B  19 στρατοπέδου A  20 Λουκριτίας B  23 διεξεληλυθότι c. Pflugk

τοπέδου, τῶν κατεσχηκότων τὴν οἰκίαν αὐτοῦ κακῶν οὐδὲν εἰδὼς καὶ σὺν αὐτῷ Λεύκιος Ἰούνιος, ᾧ Βροῦτος ἐπωνύμιον ἦν· εἴη δ' ἂν ἐξερμηνευόμενος ὁ Βροῦτος εἰς τὴν Ἑλληνικὴν διάλεκτον ἠλίθιος· ὑπὲρ οὗ μικρὰ προειπεῖν ἀναγκαῖον, ἐπειδὴ τοῦτον ἀποφαίνουσι Ῥωμαῖοι τῆς καταλύσεως τῶν τυράννων αἰτιώτατον γενέσθαι, τίς τ' ἦν καὶ ἀπὸ τίνων καὶ διὰ τί τῆς ἐπωνυμίας ταύτης ἔτυχεν οὐδὲν αὐτῷ προσηκούσης.

LXVIII. Τῷ ἀνδρὶ τούτῳ πατὴρ μὲν ἦν Μάρκος Ἰούνιος ἑνὸς τῶν σὺν Αἰνείᾳ τὴν ἀποικίαν στειλάντων ἀπόγονος, ἐν τοῖς ἐπιφανεστάτοις Ῥωμαίων ἀριθμούμενος δι' ἀρετήν, μήτηρ δὲ Ταρκυνία τοῦ προτέρου 804
βασιλέως Ταρκυνίου θυγάτηρ· αὐτὸς δὲ τροφῆς τε καὶ παιδείας τῆς ἐπιχωρίου πάσης μετέλαβε καὶ φύσιν
2 εἶχε πρὸς οὐδὲν τῶν καλῶν ἀντιπράττουσαν. ἐπεὶ δὲ Τύλλιον ἀποκτείνας Ταρκύνιος σὺν ἄλλοις ἀνδράσι πολλοῖς καὶ ἀγαθοῖς καὶ τὸν ἐκείνου πατέρα διεχρήσατο ἀφανεῖ θανάτῳ δι' οὐδὲν μὲν ἀδίκημα, τοῦ δὲ πλούτου προαχθεὶς εἰς ἐπιθυμίαν, ὃν ἐκ παλαιᾶς τε καὶ προγονικῆς παραλαβὼν εὐτυχίας ἐκέκτητο, καὶ σὺν αὐτῷ τὸν πρεσβύτερον υἱὸν εὐγενές τι φρόνημα διαφαίνοντα καὶ τὸ μὴ τιμωρῆσαι τῷ θανάτῳ τοῦ πατρὸς οὐκ ἂν ὑπομείναντα, νέος ὢν ὁ Βροῦτος ἔτι καὶ κομιδῇ βοηθείας συγγενικῆς ἔρημος ἔργον ἐπεχείρησε ποιῆσαι πάντων φρονιμώτατον, ἐπίθετον ἑαυτοῦ καταψεύσασθαι μωρίαν· καὶ διέμεινεν ἅπαντα τὸν ἐξ ἐκεί-

9 *Μάρκιος* O corr. Sylburg 10 *ἀποικίαν* add. B 14 *π⟨αι⟩δείας* B 15 *ἔσχε* B 23 *ἔτι κομιδῇ καὶ* c. Hertlein Hermes X 413 24 *ἐπιχειρῆσαι* Ba 25 *ποιῆσαι* delendum et *ἔργῳ — φρονιμωτάτῳ* scribendum c. Garrer Obs. p. 35

νου χρόνον, ἕως [οὗ] τὸν ἐπιτήδειον ἔδοξε καιρὸν ἔχειν, φυλάττων τὸ προσποίημα τῆς ἀνοίας, ἐξ οὗ ταύτης ἔτυχε τῆς ἐπωνυμίας· τοῦτ' αὐτὸν ἐρρύσατο μηδὲν
805 δεινὸν ὑπὸ τοῦ τυράννου παθεῖν πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν ἀπολλυμένων.

LXVIIII. Καταφρονήσας γὰρ ὁ Ταρκύνιος τῆς δοκούσης εἶναι περὶ αὐτόν, ἀλλ' οὐ κατ' ἀλήθειαν ὑπαρχούσης μωρίας, ἀφελόμενος ἅπαντα τὰ πατρῷα, μικρὰ δ' εἰς τὸν καθ' ἡμέραν βίον ἐπιχορηγῶν, ὡς παῖδα ὀρφανὸν ἐπιτρόπων ἔτι δεόμενον ἐφύλαττεν ὑφ' ἑαυτῷ διαιτᾶσθαί τε μετὰ τῶν ἰδίων παίδων ἐπέτρεπεν, οὐ διὰ τιμήν, ὡς ἐσκήπτετο πρὸς τοὺς πέλας οἷα δὴ συγγενής, ἀλλ' ἵνα γέλωτα παρέχῃ τοῖς μειρακίοις λέγων τ' ἀνόητα πολλὰ καὶ πράττων ὅμοια τοῖς κατ' ἀλήθειαν ἠλιθίοις. 2 καὶ δὴ καὶ ὅτε τῷ Δελφικῷ μαντείῳ χρησομένους ἀπέστελλε τοὺς δύο τῶν παίδων Ἄρροντα καὶ Τίτον ὑπὲρ τοῦ λοιμοῦ· κατέσκηψε γάρ τις ἐπὶ τῆς ἐκείνου βασιλείας οὐκ εἰωθυῖα νόσος εἰς παρθένους τε καὶ παῖδας, ὑφ' ἧς πολλὰ διεφθάρη σώματα, χαλεπωτάτη δὲ καὶ δυσίατος εἰς τὰς κυούσας γυναῖκας αὐτοῖς βρέφεσιν ἀποκτείνουσα τὰς μητέρας ἐν ταῖς
806 γοναῖς· τήν τ' αἰτίαν τῆς νόσου γνῶναι παρὰ τοῦ θεοῦ καὶ τὴν λύσιν βουλόμενος συνέπεμψε κἀκεῖνον ἅμα τοῖς μειρακίοις δεηθεῖσιν, ἵνα κατασκώπτειν τε καὶ περιυβρίζειν ἔχοιεν. 3 ὡς δὲ παρεγενήθησαν ἐπὶ τὸ μαντεῖον οἱ νεανίσκοι καὶ τοὺς χρησμοὺς ἔλαβον ὑπὲρ ὧν

1 *οὗ delevi 3 τοῦτ' αὐτὸν O τοῦτο δ' αὐτὸν Kiessling 7 κατὰ A ἀλλ' οὐ κατ' ἀλήθειαν ὑπαρχούσης del. Garrer Obs. p. 35 10 ἐπιδεόμενον A ἔτι δεόμενον B 12 συγγενὴς O συγγενῆ Pflugk 14 τε B 17 κατέσκηψειαρ B 21 ἀποκτείνασα A

ἐπέμφθησαν, ἀναθήμασι δωρησάμενοι τὸν θεὸν καὶ
τοῦ Βρούτου πολλὰ καταγελάσαντες, ὅτι βακτηρίαν
ξυλίνην ἀνέθηκε τῷ Ἀπόλλωνι· ὁ δὲ διατρήσας αὐτὴν
ὅλην ὥσπερ αὐλὸν χρυσῆν ῥάβδον ἐνέθηκεν οὐδενὸς
ἐπισταμένου· μετὰ τοῦτ' ἠρώτων τὸν θεόν, τίνι πέ-
πρωται τὴν Ῥωμαίων ἀρχὴν παραλαβεῖν, ὁ δὲ θεὸς
4 αὐτοῖς ἀνεῖλε, τῷ πρώτῳ τὴν μητέρα φιλήσαντι. οἱ
μὲν οὖν νεανίσκοι τοῦ χρησμοῦ τὴν διάνοιαν ἀγνοή- 807
σαντες συνέθεντο πρὸς ἀλλήλους ἅμα φιλῆσαι τὴν μη-
τέρα βουλόμενοι κοινῇ τὴν βασιλείαν κατασχεῖν, ὁ δὲ
Βροῦτος συνεὶς ὃ βούλεται δηλοῦν ὁ θεός, ἐπειδὴ
τάχιστα τῆς Ἰταλίας ἐπέβη, προσκύψας κατεφίλησε τὴν
γῆν, ταύτην οἰόμενος ἁπάντων ἀνθρώπων εἶναι μητέρα.
τὰ μὲν οὖν προγενόμενα τῷ ἀνδρὶ τούτῳ τοιαῦτ' ἦν.

LXX. Τότε δ' ὡς ἤκουσε τοῦ Οὐαλερίου τὰ συμ-
βάντα τῇ Λουκρητίᾳ καὶ τὴν ἀναίρεσιν αὐτῆς διηγου-
μένου τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν εἶπεν·
Ὦ Ζεῦ καὶ θεοὶ πάντες, ὅσοι τὸν ἀνθρώπινον ἐπισκο-
πεῖτε βίον, ἆρά γ' ὁ καιρὸς ἐκεῖνος ἥκει νῦν, ὃν ἐγὼ
περιμένων ταύτην τοῦ βίου τὴν προσποίησιν ἐφύλατ-
τον; ἆρα πέπρωται Ῥωμαίοις ὑπ' ἐμοῦ καὶ δι' ἐμὲ τῆς
2 ἀφορήτου τυραννίδος ἀπαλλαγῆναι; ταῦτ' εἰπὼν ἐχώρει
κατὰ σπουδὴν ἐπὶ τὴν οἰκίαν ἅμα τῷ Κολλατίνῳ τε
καὶ Οὐαλερίῳ. ὡς δ' εἰσῆλθεν ὁ μὲν Κολλατῖνος ἰδὼν
τὴν Λουκρητίαν ἐν τῷ μέσῳ κειμένην καὶ τὸν πατέρα
περικείμενον αὐτῇ μέγα ἀνοιμώξας καὶ περιλαβὼν τὴν

3 διατρήσας A ἀ////ατρήσας Ba ἀνατρήσας Bb 7 πρώτως B | φιλήσαντι O φιλήσοντι Sylburg 11 δ⟨η⟩λοῦν B 12 Ἰταλίας AB | ἐφίλησε c. Schnelle Exerc. p. 15 13 ἀνθρώπων add. BC 14 τῷ ἀνδρὶ τούτῳ O praeter AB 18 τὸν ἀνθρώπινον A τῶν ἀνῶν B 24 εἰςῆλθεν B εἰςῆλθον R 25 λουκριτίαν Bb

808 νεκρὰν κατεφίλει καὶ ἀνεκαλεῖτο καὶ διελέγετο πρὸς αὐτὴν ὥσπερ ζῶσαν ἔξω τοῦ φρονεῖν γεγονὼς ὑπὸ τοῦ κακοῦ. πολλὰ δ' αὐτοῦ κατολοφυρομένου καὶ τοῦ 3
πατρὸς ἐν μέρει καὶ τῆς οἰκίας ὅλης κλαυθμῷ καὶ θρήνοις κατεχομένης βλέψας εἰς αὐτοὺς ὁ Βροῦτος λέγει· Μυρίους ἕξετε καιρούς, ὦ Λουκρήτιε καὶ Κολλατῖνε καὶ πάντες ὑμεῖς οἱ τῇ γυναικὶ προσήκοντες, ἐν οἷς αὐτὴν κλαύσετε, νυνὶ δ' ὡς τιμωρήσομεν αὐτῇ, σκοπῶμεν· τοῦτο γὰρ ὁ παρὼν καιρὸς ἀπαιτεῖ. Ἐδόκει 4
ταῦτ' εἰκότα λέγειν, καὶ καθεζόμενοι καθ' ἑαυτοὺς τόν τ' οἰκετικὸν καὶ θητικὸν ὄχλον ἐκποδῶν μεταστήσαντες ἐβουλεύοντο, τί χρὴ πράττειν. πρῶτος δ' ὁ Βροῦτος ἀρξάμενος ὑπὲρ ἑαυτοῦ λέγειν, ὅτι τὴν δοκοῦσαν τοῖς πολλοῖς μωρίαν οὐκ εἶχεν ἀληθινήν, ἀλλ' ἐπίθετον, καὶ τὰς αἰτίας εἰπών, δι' ἃς τὸ προσποίημα τοῦθ' ὑπέμεινε, καὶ δόξας ἁπάντων ἀνθρώπων εἶναι φρονιμώτατος, μετὰ τοῦτ' ἔπειθεν αὐτοὺς τὴν αὐτὴν γνώμην
809 ἅπαντας λαβόντας ἐξελάσαι Ταρκύνιόν τε καὶ τοὺς παῖδας ἐκ τῆς πόλεως, πολλὰ καὶ ἐπαγωγὰ εἰς τοῦτο διαλεχθείς. ἐπεὶ δὲ πάντας εἶδεν ἐπὶ τῆς αὐτῆς γνώμης ὄντας οὐ λόγων ἔφη δεῖν οὐδ' ὑποσχέσεων, ἀλλ' ἔργων, εἴ τι τῶν δεόντων μέλλει γενήσεσθαι· ἄρξειν δὲ τούτων αὐτὸς ἔφη. Ταῦτ' εἰπὼν καὶ λαβὼν τὸ ξιφίδιον, 5
ᾧ διεχρήσατο ἑαυτὴν ἡ γυνή, καὶ τῷ πτώματι προσελθὼν αὐτῆς· ἔτι γὰρ ἔκειτο ἐν φανερῷ θέαμα οἴκτιστον· ὤμοσε τόν τ' Ἄρη καὶ τοὺς ἄλλους θεοὺς πᾶν ὅσον

1 ἀνεκλαίετο B   7 ἅπαντες O   8 ὅπως c. Cobet Obs. p. 90   9 σκοπῶμεν B σκατῶμεν A μελετῶμεν CD μελέτω ἡμῖν c. Sintenis Em. Dion. I 26   10 ταῦτα εἰκότα A τὰ εἰκότα R   14 ἀληθ⟨ι⟩νὴν B   20 εἶδεν ABb ἴδεν Ba   24 στόματι A

*δύναται πράξειν ἐπὶ καταλύσει τῆς Ταρκυνίων δυναστείας, καὶ οὔτ' αὐτὸς διαλλαγήσεσθαι πρὸς τοὺς τυράννους οὔτε τοῖς διαλλαττομένοις ἐπιτρέψειν, ἀλλ' ἐχθρὸν ἡγήσεσθαι τὸν μὴ ταὐτὰ βουλόμενον καὶ μέχρι* 81 *θανάτου τῇ τυραννίδι καὶ τοῖς συναγωνιζομένοις αὐτῇ διεχθρεύσειν. εἰ δὲ παραβαίη τὸν ὅρκον τοιαύτην αὐτῷ τελευτὴν ἠράσατο τοῦ βίου γενέσθαι καὶ τοῖς αὐτοῦ παισίν, οἵας ἔτυχεν ἡ γυνή.*

LXXI. *Ταῦτ' εἰπὼν ἐκάλει καὶ τοὺς ἄλλους ἅπαντας ἐπὶ τὸν αὐτὸν ὅρκον· οἱ δ' οὐδὲν ἔτι ἐνδοιάσαντες ἀνίσταντο καὶ τὸ ξίφος δεχόμενοι παρ' ἀλλήλων ὤμνυον. γενομένων δὲ τῶν ὁρκωμοσιῶν μετὰ τοῦτ' εὐθὺς ἐζήτουν, τίς ὁ τῆς ἐπιχειρήσεως ἔσται τρόπος. καὶ ὁ Βροῦτος αὐτοῖς ὑποτίθεται τοιάδε· Πρῶτον μὲν διὰ φυλακῆς τὰς πύλας ἔχωμεν, ἵνα μηδὲν τῶν ἐν τῇ πόλει λεγομένων τε καὶ πραττομένων κατὰ τῆς τυραννίδος αἴσθηται Ταρκύνιος, πρὶν ἢ τὰ παρ' ἡμῶν εὐτρεπῆ* 2 *γενέσθαι. ἔπειτα κομίσαντες τὸ σῶμα τῆς γυναικὸς ὡς ἔστιν αἵματι πεφυρμένον εἰς τὴν ἀγορὰν καὶ προθέντες ἐν φανερῷ συγκαλῶμεν τὸν δῆμον εἰς ἐκκλησίαν. ὅταν δὲ συνέλθῃ καὶ πλήθουσαν ἴδωμεν τὴν* 811 *ἀγοράν, προελθὼν Λουκρήτιός τε καὶ Κολλατῖνος ἀποδυράσθωσαν τὰς ἑαυτῶν τύχας ἅπαντα τὰ γενόμενα* 3 *φράσαντες. ἔπειτα τῶν ἄλλων ἕκαστος παριὼν κατηγορείτω τῆς τυραννίδος καὶ τοὺς πολίτας ἐπὶ τὴν ἐλευ-*

4 *ἐχθρὸν ἡγήσεσθαι τὸν μὴ ταὐτὰ βουλόμενον* del. Schnelle Exerc. p. 16 | *ταῦτα* O corr. Sylburg   7 *αὐτῷ* AB   8 *πᾶσιν* c. Reiske | *οἷ.ασ* B   10 *ἐνδ⟨οι⟩άσαντες* B   12 *εὐθὺς* add. B   12 *τίς αὐτοῖς* O praeter B | *ὁ* om. B   17 *ὑμῶν* B | *εὐτρεπ⟨ῆ⟩* B   22 *Λουκρίτιος* et sic semper Bb | *παρελθὼν* c. Reudler Tiroc. p. 36

θερίαν παρακαλείτω. ἔσται δὲ πᾶσι Ῥωμαίοις κατ'
εὐχήν, ἐὰν ἴδωσιν ἡμᾶς τοὺς πατρικίους ἄρχοντας τῆς
ἐλευθερίας· πολλὰ γὰρ καὶ δεινὰ πεπόνθασιν ὑπὸ τοῦ
τυράννου καὶ μικρᾶς ἀφορμῆς δέονται. ὅταν δὲ λά-
βωμεν τὸ πλῆθος ὡρμημένον καταλῦσαι τὴν μοναρχίαν
ψῆφόν τ' αὐτοῖς ἀναδῶμεν ὑπὲρ τοῦ μηκέτι Ῥωμαίων
Ταρκύνιον ἄρξειν καὶ τὸ περὶ τούτων δόγμα πρὸς
τοὺς ἐπὶ στρατοπέδου διαπεμψώμεθα ἐν τάχει. καὶ γὰρ 4
οἱ τὰ ὅπλα ἔχοντες, εἰ μάθοιεν, ὅτι τὰ ἐν τῇ πόλει
πάντα τοῖς τυράννοις ἐστὶν ἀλλότρια, πρόθυμοι περὶ
τὴν τῆς πατρίδος ἐλευθερίαν γενήσονται οὔτε δωρεαῖς
2 ἔτι κατεχόμενοι ὡς πρότερον οὔτε τὰς ὕβρεις τῶν Ταρ-
κυνίου παίδων τε καὶ κολάκων φέρειν δυνάμενοι.
Ταῦτα λέξαντος αὐτοῦ παραλαβὼν τὸν λόγον Οὐαλέ- 5
ριος, Τὰ μὲν ἄλλα, ἔφησεν, ὀρθῶς ἐπιλογίζεσθαί μοι
δοκεῖς, Ἰούνιε· περὶ δὲ τῆς ἐκκλησίας ἔτι βούλομαι
μαθεῖν, τίς ὁ καλέσων ἔσται αὐτὴν κατὰ νόμους καὶ
τὴν ψῆφον ἀναδώσων ταῖς φράτραις. ἄρχοντι γὰρ
ἀποδέδοται τοῦτο πράττειν· ἡμῶν δ' οὐδεὶς οὐδεμίαν
ἀρχὴν ἔχει. Ὁ δ' ὑπολαβών· Ἐγώ, φησίν, ὦ Οὐαλέριε. 6
τῶν γὰρ Κελερίων ἄρχων εἰμί, καὶ ἀποδέδοταί μοι
κατὰ νόμους ἐκκλησίαν, ὅτε βουλοίμην, συγκαλεῖν.
ἔδωκε δέ μοι τὴν ἀρχὴν ταύτην ὁ τύραννος μεγίστην
οὖσαν ὡς ἠλιθίῳ καὶ οὔτ' εἰσομένῳ τὴν δύναμιν αὐτῆς
οὔτ', εἰ γνοίην, χρησομένῳ· καὶ τὸν κατὰ τοῦ τυράν-
νου λόγον πρῶτος ἐγὼ διαθήσομαι.

7 ἄρχειν c. Hertlein Pr. Werth. 1873 p. 8 8 διαπέμψωμεν c. Reiske 15 ἔφησεν B ἔφη R 19 ἡμῶν τε O ἡ. δὲ Sylburg 20 ὑποτυχὼν B ὑπολαβὼν ἔφη ἐγὼ φησὶν O praeter B 23 ὁπότε c. Cobet Obs. p. 90 24 οὔ⟨τ⟩ B | εἰσομένῳ B αἰσθησομένῳ R

LXXII. Ὡς δὲ τοῦτ' ἤκουσαν ἅπαντες, ἐπῄνεσάν
τε καὶ ὡς ἀπὸ καλῆς ὑποθέσεως ἀρξάμενον καὶ νομί- 813
μου τὰ λοιπὰ λέγειν αὐτὸν ἠξίουν. κἀκεῖνος εἶπεν,
Ἐπειδὴ ταῦτα οὕτω πράττειν ὑμῖν δοκεῖ, σκοπώμεθα
πάλιν, τίς ⟨ἡ⟩ τὴν πόλιν ἐπιτροπεύσουσα ἀρχὴ γενή-
σεται μετὰ τὴν κατάλυσιν τῶν βασιλέων καὶ ὑπὸ τίνος
ἀποδειχθεῖσα ἀνδρός, καὶ ἔτι πρότερον, ὅστις ἔσται
πολιτείας κόσμος, ὃν ἀπαλλαττόμενοι τοῦ τυράννου
καταστησόμεθα. βεβουλεῦσθαι γὰρ ἅπαντα βέλτιον,
πρὶν ἐπιχειρεῖν ἔργῳ τηλικῷδε, καὶ μηδὲν ἀνεξέταστον
ἀφεῖσθαι μηδὲ ἀπροβούλευτον. ἀποφαινέσθω δὴ περὶ
2 τούτων ἕκαστος ὑμῶν ἃ φρονεῖ. Μετὰ τοῦτ' ἐλέχθη-
σαν πολλοὶ καὶ παρὰ πολλῶν λόγοι. ἐδόκει δὲ τοῖς
μὲν βασιλικὴν αὖθις καταστήσασθαι πολιτείαν ἐξαριθ-
μουμένοις, ὅσα τὴν πόλιν ἐποίησαν ἀγαθὰ πάντες οἱ
πρότεροι βασιλεῖς· τοῖς δὲ μηκέτι ποιεῖν ἐφ' ἑνὶ δυ-
νάστῃ τὰ κοινὰ τὰς τυραννικὰς διεξιοῦσι παρανομίας,
αἷς ἄλλοι τε πολλοὶ κατὰ τῶν ἰδίων πολιτῶν ἐχρή-
σαντο καὶ Ταρκύνιος τελευτῶν, ἀλλὰ τὸ συνέδριον τῆς 814
βουλῆς ἁπάντων ἀποδεῖξαι κύριον ὡς ἐν πολλαῖς τῶν
3 Ἑλληνίδων πόλεων· οἱ δὲ τούτων μὲν οὐδετέραν
προῃροῦντο τῶν πολιτειῶν, δημοκρατίαν δὲ συνεβού-
λευον ὥσπερ Ἀθήνησι καταστῆσαι, τὰς ὕβρεις καὶ τὰς
πλεονεξίας τῶν ὀλίγων προφερόμενοι καὶ τὰς στάσεις
τὰς γινομένας τοῖς ταπεινοῖς πρὸς τοὺς ὑπερέχοντας

4 ὑμῖν ἐδόκει A ἡμῖν δοκεῖ B 5 ἡ add. Reiske | ἐπιτροπεύσουσα A ἐπιτροπεύουσα B 7 ὅτι πρότερον Ba 11 ἀποφ⟨αι⟩νέσθω B 13 πολλοὶ καὶ διάφοροι παρὰ πολλῶν c. Kiessling, prob. Kayser, καὶ del. Cobet Obs. p. 91 25 γινομένας ABb γενομένας Ba

ἐλευθέρᾳ τε πόλει τὴν ἰσονομίαν ἀποφαίνοντες ἀσφαλεστάτην οὖσαν καὶ πρεπωδεστάτην τῶν πολιτειῶν.

LXXIII. Χαλεπῆς δὲ καὶ δυσκρίτου τῆς αἱρέσεως ἅπασι φαινομένης διὰ τὰς παρακολουθούσας ἑκάστῃ τῶν πολιτειῶν κακίας τελευταῖος παραλαβὼν τὸν λόγον ὁ Βροῦτος εἶπεν· Ἐγὼ δ', ὦ Λουκρήτιε καὶ Κολλατῖνε καὶ πάντες ὑμεῖς οἱ παρόντες ἄνδρες ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν, καινὴν μὲν οὐδεμίαν οἴομαι δεῖν ἡμᾶς καθίστασθαι πολιτείαν κατὰ τὸ παρόν· ὅ τε γὰρ καιρός, εἰς ὃν συνήγμεθα ὑπὸ τῶν πραγμάτων, βραχύς, ἐν ᾧ μεθαρμόσασθαι πόλεως κόσμον οὐ ῥᾴδιον, ἥ τε πεῖρα τῆς μεταβολῆς, κἂν τὰ κράτιστα τύχωμεν περὶ αὐτῆς βουλευσάμενοι, σφαλερὰ καὶ οὐκ ἀκίνδυνος, ἐξέσται θ' ἡμῖν ὕστερον, ὅταν ἀπαλλαγῶμεν τῆς τυραννίδος μετὰ πλείονος ἐξουσίας καὶ κατὰ σχολὴν βουλευομένοις τὴν κρείττονα πολιτείαν ἀντὶ τῆς χείρονος ἑλέσθαι, εἰ δή τις ἄρα ἔστι κρείττων, ἧς Ῥωμύλος τε καὶ Πομπίλιος καὶ πάντες οἱ μετ' ἐκείνους βασιλεῖς καταστησάμενοι παρέδοσαν ἡμῖν, ἐξ ἧς μεγάλη καὶ εὐδαίμων καὶ πολλῶν ἄρχουσα ἀνθρώπων ἡ πόλις ἡμῶν διετέλεσεν.

2 ἃ δὲ παρακολουθεῖν εἴωθε ταῖς μοναρχίαις χαλεπά, ἐξ ὧν εἰς τυραννικὴν ὠμότητα περιίστανται καὶ δι' ἃ δυσχεραίνουσιν ἅπαντες αὐτάς, ταῦθ' ὑμῖν ἐπανορθώσασθαί τε καὶ νῦν καὶ ἵνα μηδ' ἐξ ὑστέρου γένηταί ποτε φυλάξασθαι παραινῶ.

3 τίνα δ' ἐστὶ ταῦτα; πρῶτον μὲν ἐπειδὴ τὰ ὀνόματα τῶν πραγμάτων οἱ πολλοὶ

7 ὑμεῖς add. B 11 ᾗ ABb εἴ Ba 13 βουλευσάμενοι περὶ αὐτῆς τύχωμεν B | ἐξέσται ὑμῖν A 15 μετὰ σχολὴν A 18 ἐκείνου B 23 διαδυσχεραίνουσιν AB | ἡμῖν B τὰς αὐτὰς Aa πρὸς αὐτὰς Ab αὐτὰς B 24 τε τὰ νῦν c. Reiske καὶ ante νῦν del. Sylburg

LXXV. Ὃν δὲ τρόπον ἔσται τούτων ἕκαστον, ἀκού- 81
σατέ μου· συνάξω μὲν ἐγὼ τὴν ἐκκλησίαν, ὥσπερ ἔφην, ἐπειδὴ συγκεχώρηταί μοι κατὰ νόμον καὶ γνώμην εἰσηγήσομαι· φεύγειν Ταρκύνιον ἅμα τοῖς παισὶ καὶ τῇ γυναικὶ πόλεώς τε καὶ χώρας τῆς Ῥωμαίων εἰργομένους τὸν ἀεὶ χρόνον καὶ γένος τὸ ἐξ αὐτῶν· ὅταν δ' ἐπιψηφίσωσι τὴν γνώμην οἱ πολῖται, δηλώσας αὐτοῖς ἣν διανοούμεθα καταστήσασθαι πολιτείαν μεσοβασιλέα ἑλοῦμαι τὸν ἀποδείξοντα τοὺς παραληψομένους τὰ κοινά, καὶ αὐτὸς ἀποθήσομαι τὴν τῶν Κελερίων
2 ἀρχήν. ὁ δὲ κατασταθεὶς ὑπ' ἐμοῦ μεσοβασιλεὺς συναγαγὼν τὴν λοχῖτιν ἐκκλησίαν ὀνομασάτω τε τοὺς μέλλοντας ἕξειν τὴν ἐνιαύσιον ἡγεμονίαν καὶ ψῆφον ὑπὲρ αὐτῶν τοῖς πολίταις δότω· ἐὰν δὲ τοῖς πλείοσι δόξῃ λόγοις κυρίαν εἶναι τὴν τῶν ἀνδρῶν αἵρεσιν καὶ τὰ μαντεύματα γένηται περὶ αὐτῶν καλά, τοὺς πελέκεις οὗτοι παραλαβόντες καὶ τὰ λοιπὰ τῆς βασιλικῆς 82
ἐξουσίας σύμβολα πραττέτωσαν, ὅπως ἐλευθέραν οἰκήσομεν τὴν πατρίδα καὶ μηκέτι κάθοδον ἕξουσιν εἰς αὐτὴν Ταρκύνιοι· πειράσονται γάρ, εὖ ἴστε, καὶ πειθοῖ καὶ βίᾳ καὶ δόλῳ καὶ παντὶ ἄλλῳ τρόπῳ παρελθεῖν πάλιν ἐπὶ τὴν δυναστείαν, ἐὰν μὴ φυλαττώμεθα αὐ-
3 τούς. Ταυτὶ μὲν οὖν ἐστι τὰ μέγιστα καὶ κυριώτατα ὧν ὑμῖν ἐν τῷ παρόντι λέγειν ἔχω καὶ παραινεῖν· τὰ δὲ κατὰ μέρος πολλὰ ὄντα καὶ οὐ ῥᾴδια νῦν δι' ἀκριβείας ἐξετασθῆναι· συνήγμεθα γὰρ εἰς καιρὸν ὀξύν·

3 κατὰ νόμους c. Kiessling 6 εἰργομένου A εἰργομένους B 9 ἀποδείξαντα A ἀποδείξο//ντα B 10 κελλερίων A 11 μεσοβασιλεὺς R βασιλεὺς B | συναγαγὼν B ἀγαγὼν R 14 ἀναδότω Kiessling dubitanter 18 οἰκήσωμεν B

ἐπ' αὐτοῖς οἴομαι δεῖν ποιῆσαι τοῖς παραληψομένοις τὴν ἀρχήν. σκοπεῖσθαι μέντοι φημὶ χρῆναι τοὺς ἄν- 4 δρας ἅπαντα μετὰ τοῦ συνεδρίου τῆς βουλῆς, ὥσπερ οἱ βασιλεῖς ἐποίουν, καὶ μηδὲν πράττειν δίχα ὑμῶν καὶ τὰ δόξαντα τῇ βουλῇ φέρειν εἰς τὸν δῆμον, ὡς τοῖς προγόνοις ἡμῶν ποιεῖν ἔθος ἦν, μηδενὸς ἀφαιρουμένους αὐτὸν ὧν ἐν τοῖς πρότερον καιροῖς κύριος ἦν. οὕτω γὰρ αὐτοῖς ἀσφαλέστατα καὶ κάλλιστα ἕξει τὰ τῆς ἀρχῆς.

821 LXXVI. Ταύτην ἀποδειξαμένου τὴν γνώμην Ἰουνίου Βρούτου πάντες ἐπῄνεσαν καὶ αὐτίκα περὶ τῶν παραληψομένων τὰς ἡγεμονίας ἀνδρῶν βουλευόμενοι μεσοβασιλέα μὲν ἔκριναν ἀποδειχθῆναι Σπόριον Λουκρήτιον τὸν πατέρα τῆς διαχρησαμένης ἑαυτήν· ὑπ' ἐκείνου δὲ τοὺς ἕξοντας τὴν τῶν βασιλέων ἐξουσίαν ὀνομασθῆναι Λεύκιον Ἰούνιον Βροῦτον καὶ Λεύκιον Ταρκύνιον Κολλατῖνον. τοὺς δ' ἄρχοντας τούτους 2 ἔταξαν καλεῖσθαι κατὰ τὴν ἑαυτῶν διάλεκτον κωνσούλας· τοῦτο μεθερμηνευόμενον εἰς τὴν Ἑλλάδα γλῶτταν τοὔνομα συμβούλους ἢ προβούλους δύναται δηλοῦν, κωνσίλια γὰρ οἱ Ῥωμαῖοι τὰς συμβουλὰς καλοῦσιν· ὕπατοι δ' ὑφ' Ἑλλήνων ἀνὰ χρόνον ὠνομάσθησαν ἐπὶ τοῦ μεγέθους τῆς ἐξουσίας, ὅτι πάντων τ' ἄρχουσι καὶ τὴν ἀνωτάτω χώραν ἔχουσι. τὸ γὰρ ὑπερέχον καὶ ἄκρον ὕπατον ἐκάλουν οἱ παλαιοί. ταῦτα βουλευσά- 3 μενοί τε καὶ καταστησάμενοι καὶ τοὺς θεοὺς εὐχαῖς

6 ἡμῶν B ὑμῶν R | ποιεῖν add. BC | ἀφαιρουμένους B ἀφαιρούμενοι R 8 οὕτω A οὕτως Bb οὗτος Ba 12 βουλ⟨ευό⟩μενοι B βουλόμενοι R 15 ἐξουσίαν ὀνομασθῆναι B ὀνομασίαν ἐξετασθῆναι R 18 ἔτα⟨ξ⟩αν. καλεῖσθαι B | κωνσιλίους O praeter B | τὴν om. B

λιτανεύσαντες συλλαβέσθαι σφίσιν ὁσίων καὶ δικαίων
ἔργων ἐφιεμένοις ἐξῄεσαν εἰς τὴν ἀγοράν. ἠκολούθουν
δ' αὐτοῖς οἱ θεράποντες ἐπὶ κλίνης μέλασιν ἀμφίοις 822
ἐστρωμένης κομίζοντες ἀθεράπευτόν τε καὶ πεφυρμένην
αἵματι τὴν νεκράν· ἣν πρὸ τοῦ βουλευτηρίου τεθῆναι
κελεύσαντες ὑψηλὴν καὶ περιφανῆ συνεκάλουν τὸν δῆ-
4 μον εἰς ἐκκλησίαν. ὄχλου δὲ συναχθέντος οὐ μόνον
τοῦ κατ' ἀγορὰν τότ' ὄντος, ἀλλὰ καὶ τοῦ κατὰ τὴν
πόλιν ὅλην· διεξῄεσαν γὰρ οἱ κήρυκες διὰ τῶν στε-
νωπῶν τὸν δῆμον εἰς τὴν ἀγορὰν καλοῦντες· ἀναβὰς
ὁ Βροῦτος, ἔνθα τοῖς συνάγουσι τὰς ἐκκλησίας δημη-
γορεῖν ἔθος ἦν, καὶ τοὺς πατρικίους παραστησάμενος
ἔλεξε τοιάδε.

LXXVII. Ὑπὲρ ἀναγκαίων καὶ κοινῶν πραγμάτων
τοὺς λόγους μέλλων πρὸς ὑμᾶς ποιεῖσθαι, ἄνδρες πο-
λῖται, περὶ ἐμαυτοῦ πρῶτον ὀλίγα βούλομαι προειπεῖν·
ἴσως γάρ τισιν ὑμῶν, μᾶλλον δ' ἀκριβῶς οἶδ' ὅτι πολλοῖς
τεταράχθαι δόξω τὴν διάνοιαν, ἀνὴρ οὐ φρενήρης περὶ
τῶν μεγίστων ἐπιχειρῶν λέγειν, ᾧ κηδεμόνων οὐχ
2 ὑγιαίνοντι δεῖ. ἴστε δὴ τὴν κοινὴν ὑπόληψιν, ἣν περὶ
ἐμοῦ πάντες εἴχετε ὡς ἠλιθίου, ψευδῆ γενομένην καὶ 823
οὐχ ὑπ' ἄλλου τινὸς κατασκευασθεῖσαν, ἀλλ' ὑπ' ἐμοῦ.
ὁ δ' ἀναγκάσας με μήθ' ὡς ἡ φύσις ἠξίου μήθ' ὡς
ἥρμοττέ μοι ζῆν, ἀλλ' ὡς Ταρκυνίῳ τ' ἦν βουλομένῳ
κἀμοὶ συνοίσειν ἔδοξεν, ὁ περὶ τῆς ψυχῆς φόβος ἦν.
3 πατέρα γάρ μου Ταρκύνιος ἀποκτείνας ἅμα τῷ παρα-
λαβεῖν τὴν ἀρχήν, ἵνα τὴν οὐσίαν αὐτοῦ κατάσχοι

8 κατὰ τὴν πόλιν B τὴν om. R 14 κοινῶν Sintenis Hermes I 474 καλῶν O 17 *οἶδα ὅτι O 20 ὑπόλη⟨ψ⟩ιν B 23 ⟨με⟩ Ba

πολλὴν σφόδρα οὖσαν, καὶ ἀδελφὸν πρεσβύτερον, ὃς
ἔμελλε τιμωρήσειν τῷ θανάτῳ τοῦ πατρός, εἰ μὴ γέ-
νοιτο ἐκποδών, ἀφανεῖ θανάτῳ διαχρησάμενος, οὐδ'
ἐμοῦ δῆλος ἦν φεισόμενος ἐρήμου τῶν ἀναγκαιοτάτων
γεγονότος, εἰ μὴ τὴν ἐπίθετον ἐσκηψάμην μωρίαν.
τοῦτό με τὸ πλάσμα πιστευθὲν ὑπὸ τοῦ τυράννου μὴ 4
ταὐτὰ παθεῖν ἐκείνοις ἐρρύσατο καὶ μέχρι τοῦ παρόν-
τος διασέσωκε χρόνου· νῦν δ' αὐτὸ πρῶτον, ἥκει γὰρ
ὁ καιρός, ὃν εὐχόμην τε καὶ προσεδεχόμην, πέμπτον
ἤδη τοῦτο καὶ εἰκοστὸν ἔτος φυλάξας ἀποτίθεμαι. καὶ
τὰ μὲν περὶ ἐμοῦ τοσαῦτα.

824 LXXVIII. Τὰ δὲ κοινά, ὑπὲρ ὧν ὑμᾶς εἰς ἐκκλη-
σίαν συνεκάλεσα, ταῦτ' ἐστί. Ταρκύνιον οὔτε κατὰ τοὺς
πατρίους ἡμῶν ἐθισμοὺς καὶ νόμους τὴν δυναστείαν
κατασχόντα οὔτ', ἐπειδὴ κατέσχεν ὅπως δή ποτε λαβών,
καλῶς αὐτῇ καὶ βασιλικῶς χρώμενον, ἀλλ' ὑπερβεβλη-
κότα πάντας ὕβρει τε καὶ παρανομίᾳ τοὺς ὅπου δή
ποτε γενομένους τυράννους, ἀφελέσθαι τὴν ἐξουσίαν
βεβουλεύμεθα συνελθόντες οἱ πατρίκιοι, πάλαι μὲν
δέον, ἐν καιρῷ δὲ νῦν αὐτὸ ποιοῦντες ἐπιτηδείῳ, ὑμᾶς
τ', ὦ δημόται, συνεκαλέσαμεν, ἵνα τὴν προαίρεσιν
ἀποδειξάμενοι τὴν ἑαυτῶν συναγωνιστὰς ἀξιώσωμεν
ἡμῖν γενέσθαι, πράττοντας ἐλευθερίαν τῇ πατρίδι, ἧς
οὔτε πρότερον ἡμῖν ἐξεγένετο μεταλαβεῖν, ἐξ οὗ Ταρ-
κύνιος τὴν ἀρχὴν κατέσχεν, οὔθ' ὕστερον, ἐὰν νῦν
μαλακισθῶμεν, ἐξέσται. εἰ μὲν οὖν χρόνον εἶχον, ὅσον 2

4 *ἀναγκαίων* c. Stephanus 7 *τὰ αὐτὰ* B 17 *τε* om. B | *ὁποιδήποτε* AB corr. Stephanus 19 *νῦν συνελθόντες* O praeter B 21 *τε* O 23 *τὴν ἐλευθερίαν* dubitanter c. Kiessling | *πράττοντες* AB *πράττοντας* vulgo

ἐβουλόμην, ἢ πρὸς ἀγνοοῦντας ἔμελλον λέγειν, ἁπάσας διεξῆλθον ἂν τὰς τοῦ τυράννου παρανομίας, ἐφ' αἷς οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ἅπασιν εἴη δίκαιος ἀπολωλέναι· ἐπειδὴ δ' ὅ τε καιρός, ὃν τὰ πράγματά μοι δί- 821
δωσι, βραχύς, ἐν ᾧ λέγειν μὲν ὀλίγα δεῖ, πράττειν δὲ πολλά, καὶ πρὸς εἰδότας οἱ λόγοι, τὰ μέγιστα καὶ φανερώτατα τῶν ἔργων αὐτοῦ καὶ οὐδ' ἀπολογίας οὐδεμιᾶς δυνάμενα τυχεῖν, ταῦθ' ὑμᾶς ὑπομνήσω.

LXXVIIII. Οὗτός ἐστιν, ἄνδρες πολῖται, ὁ Ταρκύνιος ὁ πρὸ τοῦ παραλαβεῖν τὴν ἀρχὴν Ἄρροντα τὸν γνήσιον ἀδελφόν, ὅτι πονηρὸς οὐκ ἐβούλετο γενέσθαι, φαρμάκοις διαχρησάμενος, συνεργὸν εἰς τοῦτο τὸ μῦσος λαβὼν τὴν ἐκείνου γυναῖκα, τῆς δ' αὐτῷ συνοικούσης ἀδελφήν, ἣν ἐμοίχευεν ὁ θεοῖς ἐχθρὸς ἔτι καὶ πάλαι·
2 οὗτος ὁ τὴν γαμετὴν γυναῖκα, σώφρονα καὶ τέκνων κοινωνὸν γεγονυῖαν, ἐν ταῖς αὐταῖς ἡμέραις καὶ διὰ τῶν αὐτῶν φαρμάκων ἀποκτείνας οὐδ' ἀφοσιώσασθαι τῶν φαρμακειῶν ἀμφοτέρων τὰς διαβολάς, ὡς οὐχ ὑφ' 822
ἑαυτοῦ γενομένων, ἠξίωσεν ἐλεεινῷ χρησάμενος σχήματι καὶ μικρᾷ προσποιήσει πένθους, ἀλλ' εὐθὺς ἅμα τῷ αὐτὰ διαπράξασθαι τὰ θαυμαστὰ ἔργα, πρὶν ἢ μαρανθῆναι τὰς ὑποδεξαμένας τὰ δύστηνα σώματα πυράς, φίλους εἱστία καὶ γάμους ἐπετέλει καὶ τὴν ἀνδροφόνον νύμφην ἐπὶ τὸν τῆς ἀδελφῆς θάλαμον ἤγετο τὰς ἀπορρήτους ἐμπεδῶν πρὸς αὐτὴν ὁμολογίας· ἀνόσια καὶ ἐξά-

3 πολλάκις ἅπασιν εἴη δίκαιος A πολλάκις ἅπασι. δίκαιος B ἅπασιν εἴη del. Cobet Obs. p. 91 φανείη c. Reiske 6 καὶ οὐδ' ἀπολογίας O praeter B 14 ἔτι πάλαι B ἔτι νῦν καὶ πάλαι c. Reiske 15 καὶ τῆς ἀρχῆς καὶ τέκνων c. Stephanus 17 ἀποκτείνας ὃς οὐδ' O praeter B 18 ὡς οὐχ AB

γιστα καὶ οὔθ' Ἑλλάδος οὔτε βαρβάρου γῆς οὐδαμόθι
γενόμενα πρῶτος εἰς τὴν Ῥωμαίων πόλιν εἰσαγαγὼν καὶ
μόνος. οἷα δ' ἐξειργάσατο, ὦ δημόται, τὰ περιβόητα καὶ 3
827 δεινὰ περὶ τοὺς κηδεστὰς ἀμφοτέρους ἐπιχειρήματα ἐπὶ
ταῖς δυσμαῖς ὄντας ἤδη τοῦ βίου; Σερούιον μὲν Τύλλιον
τὸν ἐπιεικέστατον τῶν βασιλέων καὶ πλεῖστα ὑμᾶς εὖ
ποιήσαντα φανερῶς ἀποσφάξας καὶ οὔτ' ἐκκομιδῆς
οὔτε ταφῆς ἐάσας νομίμου τὸ σῶμα τυχεῖν· Ταρκυνίαν 4
δὲ τὴν ἐκείνου γυναῖκα, ἣν προσῆκεν αὐτῷ τιμᾶν
ὥσπερ μητέρα, πατρὸς ἀδελφὴν οὖσαν καὶ σπουδαίαν
περὶ αὐτὸν γενομένην, πρὶν ἢ πενθῆσαι καὶ τὰ νομιζόμενα ⟨τῷ⟩ κατὰ γῆς ἀνδρὶ ποιῆσαι τὴν ἀθλίαν ἀγχόνῃ διαχρησάμενος, ὑφ' ὧν ἐσώθη καὶ παρ' οἷς ἐτράφη καὶ οὓς διαδέξεσθαι μετὰ τὴν τελευτὴν ἔμελλεν ὀλίγον ἀναμείνας, ἕως ὁ κατὰ φύσιν αὐτοῖς παραγένηται θάνατος.

LXXX. Ἀλλὰ τί τούτοις ἐπιτιμῶ τοσαύτας ἔχων αὐτοῦ παρανομίας κατηγορεῖν ἔξω τῶν εἰς τοὺς συγγενεῖς καὶ κηδεστὰς γενομένων, τὰς εἰς τὴν πατρίδα καὶ πάντας ἡμᾶς ἐπιτελεσθείσας, εἰ δὴ καὶ παρανομίας
828 δεῖ καλεῖν αὐτάς, ἀλλ' οὐκ ἀνατροπὰς καὶ ἀφανισμοὺς ἁπάντων τῶν τε νομίμων καὶ τῶν ἐθῶν; αὐτίκα τὴν ἡγεμονίαν, ἵν' ἀπὸ ταύτης ἄρξωμαι, πῶς παρέλαβεν; ἆρά γ' ὡς οἱ πρὸ αὐτοῦ γενόμενοι βασιλεῖς; πόθεν;

1 γινόμενα O γενόμενα c. Reudler Tiroc. p. 36 2 εἰςάγων AB εἰςαγαγὼν R 4 post δεινὰ in cod. B duo verba 3—4 litterarum erasa sunt 7 οὔτε κομιδῆς O corr. Schnelle Exerc. crit. p. 10 12 τῷ add. Reiske ἀνδρ⟨ὶ⟩ B 14 διαδέξεσθαι B et Reiske διαδέξασθαι R 17 post τι in B 2—3 litt. erasae sunt 22 τῶν γενῶν καὶ τῶν ἐθνῶν A τῶν γενομένων καὶ τῶν ἐθνῶν B τῶν ἐθῶν καὶ τῶν νόμων c. Reiske τῶν τε νομίμων καὶ τῶν ἐθῶν Kiessling

2 πολλοῦ γε καὶ δεῖ. ἐκεῖνοι μέντοι πάντες ὑφ' ὑμῶν
ἐπὶ τὰς δυναστείας παρήγοντο κατὰ τοὺς πατρίους
ἐθισμοὺς καὶ νόμους· πρῶτον μὲν ψηφίσματος ὑπὸ
τῆς βουλῆς γραφέντος, ᾗ περὶ πάντων ἀποδέδοται τῶν
κοινῶν προβουλεύειν· ἔπειτα μεσοβασιλέων αἱρεθέν-
των, οἷς ἐπιτρέπει τὸ συνέδριον ἐκ τῶν ἀξίων τῆς
ἀρχῆς διαγνῶναι τὸν ἐπιτηδειότατον· μετὰ ταῦτα ψῆ-
φον ἐπενέγκαντος ἐν ἀρχαιρεσίαις τοῦ δήμου, μεθ' ἧς
ἅπαντα ἐπικυροῦσθαι βούλεται τὰ μέγιστα ὁ νόμος· 829
ἐφ' ἅπασι δὲ τούτοις οἰωνῶν καὶ σφαγίων καὶ τῶν
ἄλλων σημείων καλῶν γενομένων, ὧν χωρὶς οὐδὲν ἂν
γένοιτο τῆς ἀνθρωπίνης σπουδῆς καὶ προνοίας ὄφελος.
3 φέρε δὴ τί τούτων οἶδέ τις ὑμῶν γενόμενον, ὅτε τὴν
ἀρχὴν Ταρκύνιος ἐλάμβανε; ποῖον προβούλευμα συν-
εδρίου; τίνα μεσοβασιλέων διάγνωσιν; ποίαν δήμου
ψηφοφορίαν; ποίους οἰωνοὺς αἰσίους; οὐ λέγω ταῦτα
πάντα, καίτοι δέον, εἰ γοῦν ἔμελλεν ἕξειν καλῶς, μηδὲν
τῶν ἐν ἔθει κατὰ τοὺς νόμους παραλελεῖφθαι, ἀλλ'
ἐάν τις ἓν μόνον ἔχῃ τούτων ἐπιδεῖξαι γεγονός, οὐκ
ἀξιῶ τὰ παραλειφθέντα συκοφαντεῖν. πῶς οὖν παρ-
ῆλθεν ἐπὶ τὴν δυναστείαν; ὅπλοις καὶ βίᾳ καὶ πονη-
ρῶν ἀνθρώπων συνωμοσίαις, ὡς τυράννοις ἔθος, ἀκόν-
4 των ὑμῶν καὶ δυσχεραινόντων. φέρε, ἀλλ' ἐπειδὴ 830
κατέσχε τὴν δυναστείαν ὁπωσδήποτε λαβών, ἆρα βασι-
λικῶς αὐτῇ κέχρηται ζηλῶν τοὺς προτέρους ἡγεμόνας,

1 *μέντοι ἅπαντες A μένγε ἅπαντες B 6 συνέδρ⟨ι⟩ον 8 ἐπενέγκαντος B ἀπενέγκαντος R 10 καὶ σφαγίων — v. 11 ὧν om. B 13 φέρε δὴ τούτων οἶδε. τις ὑμῶν B φέρε δὴ τίς ὑμῶν τι τούτων οἶδε R 16 καὶ οὐ λέγω c. Reiske 18 ἔθει καὶ κατὰ c. Kiessling 24 ὅπως ποτὲ O ὁπωςδήποτε Kiessling

οἳ λέγοντές τε καὶ πράττοντες τοιαῦτα διετέλουν, ἐξ ὧν εὐδαιμονεστέραν τε καὶ μείζω τὴν πόλιν τοῖς ἐπιγινομένοις παρέδοσαν, ἧς αὐτοὶ παρέλαβον; καὶ τίς ἂν ὑγιαίνων ταῦτα φήσειεν, ὁρῶν ὡς οἰκτρῶς καὶ κακῶς ἅπαντες ὑπ' αὐτοῦ διατεθείμεθα;

LXXXI. Τὰς μὲν οὖν ἡμετέρας τῶν πατρικίων συμφοράς, ἃς καὶ τῶν πολεμίων ἄν τις μαθὼν δακρύσειε, σιωπῶ, εἴ γ' ὀλίγοι μὲν ἐκ πολλῶν λελείμμεθα, ταπεινοὶ δ' ἐκ μεγάλων γεγόναμεν, εἰς πενίαν δὲ καὶ δεινὴν ἀπορίαν ἥκομεν ἐκ πολλῶν καὶ μακαρίων ἐκπεσόντες ἀγαθῶν. οἱ λαμπροὶ δ' ἐκεῖνοι καὶ δεινοὶ καὶ μεγάλοι, δι' οὓς ἐπιφανὴς ἡ πόλις ἡμῶν ποτε ἦν, οἱ μὲν ἀπολώλασιν, οἱ δὲ φεύγουσι τὴν πατρίδα. 2 ἀλλὰ τὰ ὑμέτερα πράγματα, ὦ δημόται, πῶς ἔχει; οὐκ ἀφῄρηται μὲν ὑμῶν τοὺς νόμους, ἀφῄρηται δὲ τὰς ἐφ' ἱερὰ καὶ 831 θυσίας συνόδους, πέπαυκε δὲ τοὺς ἀρχαιρεσιάζοντας καὶ ψηφοφοροῦντας καὶ περὶ τῶν κοινῶν ἐκκλησιάζοντας, ἀναγκάζει δ' ὅσα δούλους ἀργυρωνήτους [αἰσχύνης ἄξια] ταλαιπωρεῖν λατομοῦντας ὑλοτομοῦντας ἀχθοφοροῦντας, ἐν ταρτάροις καὶ βαράθροις δαπανωμένους, ἀνάπαυσιν τῶν κακῶν οὐδὲ τὴν ἐλαχίστην λαμβάνοντας; 3 τίς οὖν ὅρος ἔσται τῶν συμφορῶν, καὶ μέχρι τίνος χρόνου ταῦτα πάσχοντες ὑπομενοῦμεν, καὶ πότε τὴν πάτριον ἐλευθερίαν ἀνακτησόμεθα; ὅταν ἀποθάνῃ Ταρκύνιος; νὴ Δία. καὶ τί πλέον ἡμῖν ἔσται τότε, τί δ' οὐ χεῖρον; τρεῖς γὰρ ἐξ ἑνὸς Ταρκυνίους ἕξομεν

8 εἴ γε B οἵ γε R 15 μὲν add. B 18 *αἰσχύνης ἄξια B ἄξια R verba delevi | δούλοις ἀργυρωνήτοις Reiske 19 ἀχθηφοροῦντας B 20 ἀπαναλωμένους c. Kiessling 21 τῶν ἐλαχίστων λαμβάνοντες A 25 ἡμῖν B ὑμῖν A

4 πολλῷ μιαρωτέρους τοῦ πατρός. ὅπου γὰρ ὁ γενόμενος ἐξ ἰδιώτου τύραννος καὶ ὀψὲ ἀρξάμενος πονηρὸς εἶναι, πᾶσαν ἀκριβοῖ τὴν τυραννικὴν κακίαν, ποδαποὺς χρὴ νομίζειν ἔσεσθαι τοὺς ἐξ ἐκείνου φύντας, οἷς πονηρὸν μὲν γένος, πονηραὶ δὲ τροφαί, πολιτικὸν δὲ καὶ μέτριον οὐδὲν οὔτ' ἰδεῖν ἐξεγένετο πώποτε 832 πραττόμενον οὔτε μαθεῖν; ἵνα δὲ μὴ μαντεύησθε τὰς καταράτους αὐτῶν φύσεις, ἀλλ' ἀκριβῶς μάθητε, οἵους σκύλακας ὑμῖν ἡ Ταρκυνίου τυραννὶς ὑποτρέφει, θεάσασθε ἔργον ἑνὸς αὐτῶν τοῦ πρεσβυτάτου.

LXXXII. Αὕτη Σπορίου μέν ἐστι Λουκρητίου θυγάτηρ, ὃν ἀπέδειξε τῆς πόλεως ἔπαρχον ὁ τύραννος ἐξιὼν ἐπὶ τὸν πόλεμον, Ταρκυνίου δὲ Κολλατίνου γυνὴ τοῦ συγγενοῦς τῶν τυράννων καὶ πολλὰ ὑπὲρ αὐτῶν κακοπαθήσαντος. αὕτη μέντοι σωφρονεῖν βουλομένη καὶ τὸν ἄνδρα τὸν ἑαυτῆς φιλοῦσα, ὥσπερ ἀγαθῇ προσήκει γυναικί, ξενιζομένου παρ' αὐτῇ Σέξτου διὰ τὴν συγγένειαν τῇ παρελθούσῃ νυκτί, Κολλατίνου δὲ τότ' ἀποδημοῦντος ἐπὶ στρατοπέδου, τὴν ἀκόλαστον ὕβριν τῆς τυραννίδος οὐκ ἐδυνήθη διαφυγεῖν, ἀλλ' ὥσπερ αἰχμάλωτος ὑπ' ἀνάγκης κρατηθεῖσα ὑπέμεινεν
2 ὅσα μὴ θέμις ἐλευθέρᾳ γυναικὶ παθεῖν. ἐφ' οἷς ἀγανακτοῦσα καὶ ἀφόρητον ἡγουμένη τὴν ὕβριν ἐπειδὴ πρὸς τὸν πατέρα καὶ τοὺς ἄλλους συγγενεῖς τὰς κατασχούσας αὐτὴν ἀνάγκας διεξῆλθε πολλὰς ποιησαμένη 8[illegible] διήσεις καὶ ἀράς, ἵνα τιμωροὶ τοῖς κακοῖς αὐτῆς γένοιντο καὶ τὸ κεκρυμμένον ὑπὸ τοῖς κόλποις ξίφος

3 ἀκριβοῖ B ἀκριβῶς διεξήλασε R 11 ⟨αὕτη⟩ B 15 αὐτὴ B 19 τ⟨ό⟩τ' B 25 ἀνάγκας διεξῆλθε B διεξῆλθε τύχας R

σπασαμένη τοῦ πατρὸς ὁρῶντος, ὦ δημόται, διὰ τῶν
ἑαυτῆς σπλάγχνων ἔβαψε τὸν σίδηρον. ὦ θαυμαστὴ 3
σὺ καὶ πολλῶν ἐπαίνων ἀξία τῆς εὐγενοῦς προαιρέ-
σεως, οἴχῃ καὶ ἀπόλωλας οὐχ ὑπομείνασα τυραννικὴν
ὕβριν, ἁπάσας ὑπεριδοῦσα τὰς ἐν τῷ ζῆν ἡδονάς, ἵνα
σοι μηδὲν ἔτι τοιοῦτον συμβῇ παθεῖν. ἔπειτα σὺ μέν,
ὦ Λουκρητία, γυναικείας τυχοῦσα φύσεως ἀνδρὸς εὐ-
γενοῦς φρόνημα ἔσχες, ἡμεῖς δ' ἄνδρες γενόμενοι γυ-
ναικῶν χείρους ἀρετῇ γενησόμεθα; καὶ σοὶ μέν, ὅτι
μίαν ἐτυραννήθης νύκτα τὴν ἀμίαντον ἀφαιρεθεῖσ'
αἰδῶ μετὰ βίας, ἡδίων καὶ μακαριώτερος ἔδοξεν ὁ
θάνατος εἶναι τοῦ βίου, ἡμῖν δ' ἆρ' οὐ παραστήσεται
τὸ αὐτὸ τοῦτο ὑπολαβεῖν, ὧν Ταρκύνιος οὐ μίαν ἡμέ-
ραν, ἀλλὰ πέμπτον καὶ εἰκοστὸν ἔτος ἤδη τυραννῶν,
πάσας ἀφῄρηται τὰς ἐν τῷ ζῆν ἡδονὰς ἐλευθερίαν
ἀφελόμενος; οὐκ ἔστιν ἡμῖν, ὦ δημόται, βιωτὸν ἐν 4
834 τοιούτοις καλινδουμένοις κακοῖς, ἐκείνων τῶν ἀνδρῶν
οὖσιν ἀπογόνοις, οἳ τὰ δίκαια τάττειν ἠξίουν τοῖς ἄλ-
λοις καὶ πολλοὺς ὑπὲρ ἀρχῆς καὶ δόξης ἤραντο κιν-
δύνους· ἀλλὰ δυεῖν θάτερον ἅπασιν αἱρετέον, ἢ βίον
ἐλεύθερον, ἢ θάνατον ἔνδοξον. ἥκει δὲ καιρός, οἷον 5
εὐχόμεθα, μεθεστηκότος μὲν ἐκ τῆς πόλεως Ταρκυνίου,
ἡγουμένων δὲ τῆς ἐπιχειρήσεως τῶν πατρικίων, οὐδε-
νὸς δ' ἡμῖν ἐλλείψοντος, ἐὰν ἐκ προθυμίας χωρήσωμεν
ἐπὶ τὰ ἔργα, οὐ σωμάτων, οὐ χρημάτων, οὐχ ὅπλων,

4 ᾤχηκας ἀπόλωλας A  οἴχῃ καὶ ἀπόλωλας B  ἀπόλωλας del. Schnelle Exerc. p. 21  10 νύκτα ἀφαιρεθεῖσα τὴν ἀμίαντον αἰδῶ B  *ἀφαιρεθεῖσα O  12 ἡμῖν δ' ἆρ' οὐ A  ἡμὶ// ἄρ οὐ Ba  ἡμῖν δ' ἄρ οὐ Bb  15 τὰς ἐν τῷ ζῆν ἡδονὰς O om. praeter B  17 κυλινδουμένοις B  23 οὐδενὸς δ' B  24 ἐλλείψοντος (ο ex α radendo) B

οὐ στρατηγῶν, οὐ τῆς ἄλλης τῆς εἰς τὰ πολέμια παρασκευῆς· μεστὴ γὰρ ἁπάντων ἡ πόλις, αἰσχρόν τε Οὐολούσκων καὶ Σαβίνων καὶ μυρίων ἄλλων ἄρχειν ἀξιοῦν, αὐτοὺς δὲ δουλεύοντας ἑτέροις ὑπομένειν, καὶ περὶ μὲν τῆς Ταρκυνίου πλεονεξίας πολλοὺς ἀναιρεῖσθαι πολέμους, περὶ δὲ τῆς ἑαυτῶν ἐλευθερίας μηδένα.

LXXXIII. Τίσιν οὖν ἀφορμαῖς εἰς τὰ πράγματα 831
χρησόμεθα καὶ ποίαις συμμαχίαις; τοῦτο γὰρ λοιπὸν εἰπεῖν. πρώταις μὲν ταῖς παρὰ τῶν θεῶν ἐλπίσιν, ὧν ἱερὰ καὶ τεμένη καὶ βωμοὺς μιαίνει Ταρκύνιος ταῖς αἱμοφύρτοις χερσὶ καὶ παντὸς ἐμφυλίου γεμούσαις ἄγους θυσιῶν καὶ σπονδῶν καταρχόμενος· ἔπειτα ταῖς ἐξ ἡμῶν αὐτῶν οὔτ' ὀλίγων ὄντων οὔτ' ἀπείρων πολέμου· πρὸς δὲ τούτοις ταῖς παρὰ τῶν συμμάχων ἐπικουρίαις, οἳ μὴ καλούντων μὲν ἡμῶν οὐδὲν ἀξιώσουσι πολυπραγμονεῖν, ἐὰν δ' ἀρετῆς ὁρῶσι μεταποιουμένους ἄσμενοι συναροῦνται τοῦ πολέμου· τυραννὶς γὰρ ἅπα-
2 σιν ἐχθρὰ τοῖς βουλομένοις ἐλευθέροις εἶναι. εἰ δέ τινες ὑμῶν τοὺς ἐπὶ στρατοπέδου συνόντας ἅμα Ταρκυνίῳ πολίτας δεδοίκασιν, ὡς ἐκείνῳ μὲν συναγωνιουμένους, ἡμῖν δὲ πολεμήσοντας, οὐκ ὀρθῶς δεδοίκασι. βαρεῖα γὰρ κἀκείνοις ἡ τυραννὶς καὶ ἔμφυτος ἅπασιν ἀνθρώποις ὁ τῆς ἐλευθερίας πόθος, καὶ πᾶσα μεταβολῆς πρόφασις τοῖς δι' ἀνάγκην ταλαιπωροῦσιν ἱκανή· 836
οὕς, εἰ ψηφιεῖσθε τῇ πατρίδι βοηθεῖν, οὐ φόβος ὁ καθέξων ἔσται παρὰ τοῖς τυράννοις, οὐ χάρις, οὐχ

2 *αἰσχρόν γε εἰ* A *αἰσχρόν τε* B *αἰσχρόν γε εἴη* c. Reiske | *Οὐολούσκων μὲν* Cobet Obs. p. 91 3 *ἀξιούντων* A 17 *τυραννὶ⟨ς⟩* B | *πᾶσιν* AB 19 *στρατοπέδῳ* B 25 **ψηφίσησθε* A *ψηφίσεσθε* Bb *ψηφίσασθαι* Ba 26 *τοῖς* add. B

ἕτερόν τι τῶν βιαζομένων ἢ πειθόντων ἀνθρώπους τὰ
μὴ δίκαια πράττειν. εἰ δέ τισιν αὐτῶν ἄρα διὰ κακὴν 3
φύσιν ἢ πονηρὰς τροφὰς τὸ φιλοτύραννον ἐμπέφυκεν
οὐ πολλοῖς οὖσι μὰ Δία, μεγάλαις καὶ τούτους ἀνάγ-
καις ἐνζεύξομεν, ὥστ' ἐκ πονηρῶν γενέσθαι χρηστούς·
ὅμηρα γὰρ αὐτῶν ἔχομεν ἐν τῇ πόλει τέκνα καὶ γυ-
ναῖκας καὶ γονεῖς, ἃ τιμιώτερα τῆς ἰδίας ἐστὶν ἑκάστῳ
ψυχῆς. ταῦτά τ' οὖν αὐτοῖς ἀποδώσειν, ἐὰν ἀποστῶσι
τῶν τυράννων, ὑπισχνούμενοι καὶ ἄδειαν ὧν ἥμαρτον
ψηφιζόμενοι ῥᾳδίως πείσομεν. ὥστε θαρροῦντες, ὦ 4
δημόται, καὶ ἀγαθὰς ἔχοντες ὑπὲρ τῶν μελλόντων ἐλ-
πίδας χωρεῖτε πρὸς τὸν ἀγῶνα, κάλλιστον ὧν πώποτε
837 ἤρασθε πολέμων τόνδε ὑποστησόμενοι. ἡμεῖς μὲν οὖν,
ὦ θεοὶ πατρῷοι, φύλακες ἀγαθοὶ τῆσδε τῆς γῆς, καὶ
δαίμονες, οἳ τοὺς πατέρας ἡμῶν λελόγχατε, καὶ πόλις
θεοφιλεστάτη πόλεων, ἐν ᾗ γενέσεώς τε καὶ τροφῆς
ἐτύχομεν, ἀμυνοῦμεν· ὑμῖν καὶ γνώμαις καὶ λόγοις
καὶ χερσὶ καὶ ψυχαῖς, καὶ πάσχειν ἕτοιμοι πᾶν, ὅ τι
ἂν ὁ δαίμων καὶ τὸ χρεὼν φέρῃ. μαντεύομαι δὲ κα- 5
λοῖς ἐγχειρήμασιν εὐτυχὲς ἀκολουθήσειν τέλος. εἴη
δὲ τούτοις ἅπασι ταὐτὸ λαβοῦσι θάρσος καὶ μιᾷ
γνώμῃ χρησαμένοις, σώζειν θ' ἡμᾶς καὶ σώζεσθαι ὑφ'
ἡμῶν.

LXXXIIII. Τοιαῦτα τοῦ Βρούτου δημηγοροῦντος
ἀναβοήσεις τε συνεχεῖς ἐφ' ἑκάστῳ τῶν λεγομένων ἐκ
τοῦ πλήθους ἐγίνοντο διασημαίνουσαι τὸ βουλόμενόν

1 βιαζομένων B βιαζόντων R 5 ἐνζεύξομεν Reiske ζεύξομεν O 7 τιμ⟨ιώ⟩τερα B 15 πόλι Ba πόλις ABb 17 οἱ γνώμῃ A αἱ γνώμαις Ba οἱ γνώμαις Bb 19 φέρειν A 26 βουλευόμενον A

τε καὶ ἐπικελευόμενον, τοῖς δὲ πλείοσιν αὐτῶν καὶ δάκρυα ὑφ' ἡδονῆς ἔρρει θαυμαστῶν καὶ ἀπροσδοκήτων ἀκούουσι λόγων· πάθη τε ποικίλα τὴν ἑκάστου ψυχὴν κατελάμβανεν οὐδὲν ἀλλήλοις ἐοικότα· λύπαι τε γὰρ ἡδοναῖς ἐκέκραντο, αἱ μὲν ἐπὶ τοῖς προγεγονόσι δεινοῖς, αἱ δ' ἐπὶ τοῖς προσδοκωμένοις ἀγαθοῖς, καὶ 83 θυμοὶ συνεξέπιπτον φόβοις, οἱ μὲν ἐπὶ τῷ κακῶς δράσαι τὰ μισούμενα τῆς ἀσφαλείας ὑπερορᾶν ἐπαίροντες, οἱ δὲ κατὰ λογισμὸν τοῦ μὴ ῥᾳδίαν εἶναι τὴν καθαίρεσιν τῆς τυραννίδος ὄκνον ταῖς ἐπιβολαῖς ἐπιφέροντες.

2 ἐπεὶ δ' ἐπαύσατο λέγων, ὥσπερ ἐξ ἑνὸς στόματος ἅπαντες τὴν αὐτὴν φωνὴν ἀνέκραγον ἄγειν σφᾶς ἐπὶ τὰ ὅπλα. καὶ ὁ Βροῦτος ἡσθείς, Ἐάν γε πρότερον, ἔφη, τὰ δόξαντα τῷ συνεδρίῳ μαθόντες ἐπικυρώσητε [τὸ δοχθέν.] δέδοκται γὰρ ἡμῖν φεύγειν Ταρκυνίους πόλιν τε τὴν Ῥωμαίων καὶ χώραν, ὅσης ἄρχουσι Ῥωμαῖοι, καὶ γένος τὸ ἐξ αὐτῶν ἅπαν· καὶ μηδενὶ ἐξεῖναι περὶ καθόδου Ταρκυνίων μήτε πράττειν μηδὲν μήτε λέγειν, 83 ἐὰν δέ τις παρὰ ταῦτα ποιῶν εὑρίσκηται τεθνάναι.

3 ταύτην εἰ βουλομένοις ὑμῖν ἐστι τὴν γνώμην εἶναι κυρίαν, διαστάντες κατὰ τὰς φράτρας ψῆφον ἐπενέγκατε, καὶ τοῦθ' ὑμῖν πρῶτον ἀρξάτω τὸ δικαίωμα τῆς ἐλευθερίας. Ἐγίνετο ταῦτα· καὶ ἐπειδὴ πᾶσαι τὴν φυγὴν τῶν τυράννων αἱ φρᾶτραι κατεψηφίσαντο, παρελθὼν πάλιν ὁ Βροῦτος λέγει· Ἐπειδὴ τὰ πρῶτα

4 λύπαις — αἷς μὲν — αἷς δὲ c. Reiske  7 συνεισέπιπτον c. Sylburg | δρᾶσαι B  δράσαντι R  δράσοντι c. Reiske  10 ἐπιβουλαῖς A  ἐπιβολαῖς BC et Reiske  15 δοθὲν Ba  δοχθὲν ABb  ταχθὲν vulgo  προσταχθὲν vel προταθὲν c. Reiske, del. Cobet Obs. p. 92  21 τὰς add. B  22 καὶ add. B | ἄρξατο Ba  23 τὴν del. Cobet Obs. p. 92

ἡμῖν κεκύρωται κατὰ τὸ δέον, ἀκούσατε καὶ τὰ λοιπὰ ὅσα βεβουλεύμεθα περὶ τῆς πολιτείας. ἡμῖν σκοπου- 4
μένοις, τίς ἀρχὴ γενήσεται τῶν κοινῶν κυρία, βασιλείαν μὲν οὐκέτι καταστήσασθαι δοκεῖ, ἄρχοντας δὲ δύο καθ' ἕκαστον ἐνιαυτὸν ἀποδεικνύναι βασιλικὴν ἔξοντας ἐξουσίαν, οὓς ἂν ὑμεῖς ἐν ἀρχαιρεσίαις ἀποδείξητε ψῆφον ἐπιφέροντες κατὰ λόχους. εἰ δὴ καὶ ταῦτα βουλομένοις ἐστὶν ὑμῖν, ἐπιψηφίσατε. Ἐπῄνει καὶ ταύτην τὴν γνώμην ὁ δῆμος, καὶ ψῆφος οὐδεμία ἐγένετο ἐναντία. μετὰ τοῦτο παρελθὼν ὁ Βροῦτος ἀπο- 5
840 δείκνυσι μεσοβασιλέα τὸν ἐπιμελησόμενον τῶν ἀρχαιρεσιῶν κατὰ τοὺς πατρίους νόμους Σπόριον Λουκρήτιον· κἀκεῖνος ἀπολύσας τὴν ἐκκλησίαν ἐκέλευσεν ἅπαντας ἥκειν εἰς τὸ πεδίον, ἔνθα σύνηθες αὐτοῖς ἦν ἀρχαιρεσιάζειν, ἔχοντας τὰ ὅπλα ἐν τάχει. ἀφικομένων δ' αὐτῶν ἄνδρας αἱρεῖται δύο τοὺς πράξοντας ὅσα τοῖς βασιλεῦσιν ἐξῆν, Βροῦτόν τε καὶ Κολλατῖνον· καὶ ὁ δῆμος καλούμενος κατὰ λόχους ἐπεκύρωσε τοῖς ἀνδράσι τὴν ἀρχήν. καὶ τὰ μὲν κατὰ πόλιν ἐν τῷ τότε χρόνῳ πραχθέντα τοιαῦτ' ἦν.

LXXXV. Βασιλεὺς δὲ Ταρκύνιος ὡς ἤκουσε παρὰ τῶν ἀπὸ τῆς πόλεως ἀγγέλων, οἷς ἐξεγένετο πρώτοις πρὶν ἢ κλεισθῆναι τὰς πύλας διαδρᾶναι, τοσοῦτο μόνον ἀπαγγελλόντων, ὅτι κατέχει τὴν ἐκκλησίαν Βροῦτος δημαγωγῶν καὶ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν παρακαλῶν, οὐδενὶ τῶν ἄλλων φράσας ἠπείγετο τοὺς
841 υἱοὺς ἀναλαβὼν καὶ τῶν ἑταίρων τοὺς πιστοτάτους,

4 ἐδόκει c. Cobet Obs. p. 92 8 ὑμῖν ἐστιν O praeter B 12 Σπό.ριον B 13 διαλύσας Smit Obs. p. 12 19 κατὰ τὴν πόλιν c. Ambrosch 20 *τοιαῦτα O 26 ἑτ⟨αι⟩ρων B

ἐλαύνων τοὺς ἵππους ἀπὸ ῥυτῆρος, ὡς φθάσων τὴν
ἀπόστασιν. εὑρὼν δὲ κεκλεισμένας τὰς πύλας καὶ με-
στὰς ὅπλων τὰς ἐπάλξεις ᾤχετο πάλιν ἐπὶ τὸ στρατό-
2 πεδον ὡς εἶχε τάχους οἰμώζων καὶ δεινοπαθῶν. ἔτυχε
δὲ καὶ τἀκεῖ πράγματα ἤδη διεφθαρμένα. οἱ γὰρ ὕπα-
τοι ταχεῖαν αὐτοῦ τὴν παρουσίαν ἐπὶ τὴν πόλιν προ-
ορώμενοι πέμπουσι γράμματα καθ' ἑτέρας ὁδοὺς πρὸς
τοὺς ἐπὶ τοῦ στρατοπέδου παρακαλοῦντες αὐτοὺς ἀπο-
στῆναι τοῦ τυράννου καὶ τὰ δόξαντα τοῖς ἐν ἄστει
3 ποιοῦντες φανερά. ταῦτα τὰ γράμματα λαβόντες οἱ
καταλειφθέντες ὑπὸ τοῦ βασιλέως ὕπαρχοι Τῖτος Ἑρ-
μίνιος καὶ Μάρκος Ὁράτιος ἀνέγνωσαν ἐν ἐκκλησίᾳ·
καὶ γνώμας διερωτήσαντες κατὰ λόχους, ὅ τι χρὴ ποιεῖν, 84
ἐπειδὴ πᾶσιν ἐφάνη κύρια ἡγεῖσθαι τὰ κριθέντα ὑπὸ
τῆς πόλεως, οὐκέτι προσδέχονται παραγενηθέντα τὸν
4 Ταρκύνιον. ἀπωσθεὶς δὴ καὶ ταύτης ὁ βασιλεὺς τῆς
ἐλπίδος φεύγει σὺν ὀλίγοις εἰς Γαβίων πόλιν, ἧς βα-
σιλέα τὸν πρεσβύτερον ἀπέδειξε τῶν υἱῶν Σέξτον, ὡς
καὶ πρότερον ἔφην· ἡλικίαν μὲν ἤδη πολιὸς ὤν, ἔτη
δὲ πέντε καὶ εἴκοσι τὴν βασιλείαν κατασχών. οἱ δὲ
περὶ τὸν Ἑρμίνιόν τε καὶ τὸν Ὁράτιον ἀνοχὰς τοῦ
πολέμου καταστησάμενοι πρὸς τοὺς Ἀρδεάτας πεντε-
καιδεκαετεῖς ἀπήγαγον ἐπ' οἴκου τὰς δυνάμεις. [ἡ μὲν
δὴ βασιλικὴ πολιτεία διαμείνασα μετὰ τὸν οἰκισμὸν

8 τοῦ add. BC 9 τοῦ τυράννου corr. ex τοὺς τυράννους Ba τοῦ τυράννου ABb 11 βασιλέως AB τυράννου R post hanc vocem in CD leguntur verba εἰς τὸ στρατόπεδον quae post Ταρκύνιον v. 16 collocanda esse censet Sintenis Em. Dion. II 8 | ὕπαρχοι add. B ἔπαρχοι c. Kiessling 22 ⟨καταστη⟩σάμενοι B πεντεκαιδεκέτεις B 23 verba ἡ μὲν usque ad finem ut ex initio libri V repetita Kiesslingius seclusit

*τῆς Ῥώμης ἐτῶν τεττάρων καὶ τετταράκοντα καὶ διακοσίων ἀριθμόν, ἐπὶ δὲ τοῦ τελευταίου βασιλέως τυραννὶς γενομένη, διὰ ταύτας τὰς προφάσεις καὶ ὑπὸ τούτων κατελύθη τῶν ἀνδρῶν.*]

ΔΙΟΝΥϹΙΟΥ ΑΡΧΑΙΟΛΟΓΙΑϹ ΛΟΓΟϹ Δ Α ΔΙΟΝΥϹΙΟΥ ΑΛΙΚΑΡΝΑϹϹΕΩϹ ΡΩΜΑΪΚΗϹ δ̄ ΑΡΧΑΙΟΛΟΓΙΑϹ Β

# ΔΙΟΝΥΣΙΟΥ 84

## ΑΛΙΚΑΡΝΑΣΕΩΣ

## ΡΩΜΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

## ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

---

*Ἡ μὲν δὴ βασιλικὴ Ῥωμαίων πολιτεία διαμείνασα μετὰ τὸν οἰκισμὸν τῆς Ῥώμης ἐτῶν τεττάρων καὶ τετταράκοντα καὶ διακοσίων ἀριθμόν, ἐπὶ δὲ τοῦ τελευταίου βασιλέως τυραννὶς γενομένη διὰ ταύτας τὰς προφάσεις καὶ ὑπὸ τούτων κατελύθη τῶν ἀνδρῶν, ὀλυμπιάδος μὲν ὀγδόης καὶ ἑξηκοστῆς ἐνεστώσης, ἣν ἐνίκα στάδιον Ἰσχόμαχος Κροτωνιάτης, Ἀθήνησι δὲ*
*2 τὴν ἐνιαύσιον ἀρχὴν ἔχοντος Ἰσαγόρου. ἀριστοκρατίας δὲ γενομένης οἱ πρῶτοι τὴν βασιλικὴν ἀρχὴν παραλαβόντες ὕπατοι τεττάρων μηνῶν εἰς τὸν ἐνιαυτὸν ἐκεῖνον ἐπιλειπομένων Λεύκιος Ἰούνιος Βροῦτος καὶ Λεύκιος Ταρκύνιος Κολλατῖνος, οὓς καλοῦσι Ῥωμαῖοι κατὰ τὴν ἑαυτῶν διάλεκτον ὥσπερ ἔφην προβούλους,*

ΔΙΟΝΥϹΙΟΥ ΡΩΜΑΙΚΗ͂Ϲ ΑΡΧΑΙΟΛΟΓΙΑϹ Ε̄: — A om. B
3 *τελευτ⟨αί⟩ον* B  8 *ἐνιαύσιο///ν* Ba  13 post *προβούλους* in B sequuntur haec verba: *οἱ μὲν ἀποδειχθέντες ὕπατοι βροῦτος καὶ κολλατῖνος*, quae Kiessling Pr. Bas. p. 14 in textum ita recipienda esse censet, ut v. 9 post *γενομένης* vel v. 11 post *ἐπιλειπομένων* addatur *ἦσαν*, post *ἀποδειχθέντες* inseratur *οὖν*, post *προβούλους* sententia concludatur

ἑτέρους παραλαβόντες πολλοὺς ἐλθόντων εἰς τὴν πόλιν τῶν ἀπὸ στρατοπέδου μετὰ τὰς σπονδὰς τὰς γενομένας αὐτοῖς πρὸς Ἀρδεάτας, ὀλίγαις ὕστερον ἡμέραις τῆς ἐκβολῆς τοῦ τυράννου συγκαλέσαντες τὸν δῆμον εἰς ἐκκλησίαν καὶ πολλοὺς ὑπὲρ ὁμονοίας λόγους ποιησάμενοι ψήφισμά τε πάλιν ἐπεκύρωσαν ἕτερον, περὶ ὧν οἱ κατὰ πόλιν ὄντες πρότερον ἐπεψηφίσαντο φυγὴν Ταρκυνίοις ἐπιβαλόντες ἀίδιον· καὶ μετὰ τοῦτο καθαρ- 3
μοὺς τῆς πόλεως ποιησάμενοι καὶ ὅρκια τεμόντες αὐτοί
845τε πρῶτοι στάντες ἐπὶ τῶν τομίων ὤμοσαν καὶ τοὺς ἄλλους πολίτας ἔπεισαν ὀμόσαι, μὴ κατάξειν ἀπὸ τῆς φυγῆς βασιλέα Ταρκύνιον μήτε τοὺς παῖδας αὐτοῦ μήτε τοὺς ἐξ ἐκείνων γενησομένους, βασιλέα τε τῆς Ῥωμαίων πόλεως μηκέτι καταστήσειν μηθένα μηδὲ τοῖς καθιστάναι βουλομένοις ἐπιτρέψειν. ταῦτα μὲν περὶ ἑαυτῶν τε καὶ τῶν τέκνων καὶ τοῦ μεθ' ἑαυτοὺς γένους ὤμοσαν. Ἐπειδὴ δὲ πολλῶν καὶ μεγάλων ἀγαθῶν 4
αἴτιοι γεγονέναι τοῖς κοινοῖς πράγμασιν ἔδοξαν οἱ βασιλεῖς, φυλάττειν τοὔνομα τῆς ἀρχῆς, ὅσον ἂν ἡ πόλις διαμένῃ χρόνον, βουλόμενοι τοὺς ἱεροφάντας τε καὶ οἰωνομάντεις ἐκέλευσαν ἀποδεῖξαι τὸν ἐπιτηδειότατον τῶν πρεσβυτέρων, ὃς οὐδενὸς ἤμελλεν ἕξειν ἑτέρου πλὴν τῶν περὶ τὰ θεῖα σεβασμῶν τὴν προστασίαν, ἀπάσης λειτουργίας πολεμικῆς καὶ πολιτικῆς ἀφειμένος,

6 ἐκύρωσαν B 7 κατὰ τὴν πόλιν c. Ambrosch | ἐψηφίσαντο A 10 τε] δὲ B | τιμίων B 13 μηδὲ — μηδὲ c. Hertlein Hermes X 413 | βασιλέα τε μηθένα B 14 μηθένα om. B 15 ἐπιτρέπειν A | μὲν δὴ c. Kiessling | περὶ] ὑπὲρ Hertlein l. l. cf. Tegge Quaest. p. 11 n 17 ἐπεὶ δὲ B | καὶ πολλῶν B 18 γεγονέναι (vel γενέσθαι) c. Reiske γενόμενοι O 24 λειτουργ⟨ί⟩ας Bb

*ἱερῶν καλούμενος βασιλεύς. καὶ καθίσταται πρῶτος ἱερῶν βασιλεὺς Μάνιος Παπίριος ἐκ τῶν πατρικίων ἀνὴρ ἡσυχίας φίλος.*

II. *Ὡς δὲ κατεστήσαντο ταῦτα, δείσαντες, ὡς ἐμοὶ* 84 *δοκεῖ, μὴ δόξα τοῖς πολλοῖς ἐγγένηται περὶ τῆς καινῆς πολιτείας οὐκ ἀληθής, ὅτι δύο βασιλεῖς κύριοι γεγόνασι τῆς πόλεως ἀνθ' ἑνὸς ἑκατέρου τῶν ὑπάτων τοὺς δώδεκα πελέκεις ἔχοντος, ὥσπερ εἶχον οἱ βασιλεῖς, ἔκριναν τό τε δέος ἀφελέσθαι τῶν πολιτῶν καὶ τῆς ἐξουσίας μειῶσαι τὸν φθόνον, τοῦ μὲν ἑτέρου τῶν ὑπάτων τοὺς δώδεκα κατατάξαντες προηγεῖσθαι πελέκεις, τοῦ δ' ἑτέρου δώδεκα ὑπηρέτας ῥάβδους ἔχοντας μόνον, ὡς δέ τινες ἱστοροῦσι, καὶ κορύνας, γίνεσθαι δὲ τῶν πελέκεων τὴν παράληψιν ἐκ περιτροπῆς ἕνα μῆνα κατέχοντος αὐτοὺς ἑκατέρου παραλλάξ. τοῦτο*

2 *δὴ τὸ πολίτευμα καταστησάμενοι καὶ ἄλλα τούτοις παραπλήσια οὐκ ὀλίγα πρόθυμον ἐποίησαν εἰς τὴν διαμο-*847 *νὴν τῶν πραγμάτων τὸν δημότην καὶ ταπεινὸν ὄχλον καὶ γὰρ τοὺς νόμους τοὺς περὶ τῶν συμβολαίων τοὺς ὑπὸ Τυλλίου γραφέντας φιλανθρώπους καὶ δημοτικοὺς εἶναι δοκοῦντας, οὓς ἅπαντας κατέλυσε Ταρκύνιος, ἀνενεώσαντο καὶ τὰς θυσίας τάς τε κατὰ πόλιν καὶ τὰς ἐπὶ τῶν ἀγρῶν, ἃς ἐποιοῦντο κοινῶς συνιόντες οἱ δημόται τε καὶ οἱ φυλέται, πάλιν προσέταξαν ἐπιτε-*

1 *πρῶτον* B  2 *παπ⟨ί⟩ριος* B  5 *ἐ⟨γ⟩γένηται* B  9 *κρίναντες* B | *τῶν πολλῶν* Hertlein Hermes X 413  11 *προηγεῖσθαι* Schnelle Exerc. p. 30 *ἡγεῖσθαι* O  14 *παρατροπῆς* B  15 *παραλλάξ* del. Schnelle Exerc. p. 21 | *τοῦτο τε δὴ* c. Kiessling  16 *καὶ ἄλλα τούτοις παραπλήσια οὐκ ὀλίγα* praebent O post *ὄχλον*, transposuit Portus  17 *πραγματειῶν* c. Kiessling  19 *συμβόλων* B | *τοὺς* del. Kiessling  22 *θυσίας καὶ τὰς* B an *θυσίας καὶ λιτὰς τάς*?  24 *πρ⟨οσέ⟩ταξαν* Bb

λεῖσθαι, ὡς ἐπὶ Τυλλίου συνετελοῦντο· ἐκκλησιάζειν τ' αὐτοῖς ἀπέδοσαν ὑπὲρ τῶν μεγίστων καὶ ψῆφον ἐπιφέρειν καὶ τἆλλα πράττειν, ὅσα κατὰ τοὺς προτέρους ἐθισμοὺς ἔπραττον. τοῖς μὲν οὖν πολλοῖς καθ' 3 ἡδονὴν τὰ γινόμενα ὑπ' αὐτῶν ἦν ἐκ πολυχρονίου δουλείας εἰς ἀνέλπιστον ἀφιγμένοις ἐλευθερίαν, εὑρέθησαν δέ τινες ἐξ αὐτῶν ὅμως, οἷς πόθος ἦν τῶν ἐν τυραννίδι κακῶν δι' εὐήθειαν ἢ διὰ πλεονεξίαν, ἄν-
848 δρες οὐκ ἀφανεῖς, οἳ συνώμοσαν ἐπὶ προδοσίᾳ τῆς πόλεως Ταρκύνιόν τε καταδέξασθαι συνθέμενοι καὶ τοὺς ὑπάτους ἀποκτεῖναι. ἡγεμόνες δ' αὐτῶν οἵτινες ἐγένοντο καὶ δι' οἵας ἐξηλέγχθησαν ἀνελπίστου συντυχίας καίτοι πάντας ἀνθρώπους λεληθέναι δοκοῦντες, μικρὰ τῶν ἔμπροσθεν γενομένων ἀναλαβὼν λέξω.

III. Ταρκύνιος ἐπειδὴ τῆς βασιλείας ἐξέπεσε, χρόνον μέν τινα οὐ πολὺν ἐν πόλει Γαβίοις διέτριβε τούς τε συνιόντας πρὸς αὐτὸν ἐκ τῆς πόλεως ὑποδεχόμενος, οἷς ἦν τυραννὶς ἀσπαστότερον χρῆμα ἐλευθερίας, καὶ ταῖς Λατίνων ἐλπίσιν ἐπέχων ὡς δι' ἐκείνων καταχθησόμενος ἐπὶ τὴν ἀρχήν. ὡς δ' οὐ προσεῖχον αὐτῷ τὸν νοῦν αἱ πόλεις οὐδ' ἐβούλοντο πόλεμον ὑπὲρ αὐτοῦ εἰς τὴν Ῥωμαίων πόλιν ἐκφέρειν, ἀπογνοὺς τὰς παρὰ τούτων ἐπικουρίας, εἰς Τυρρηνικὴν καταφεύγει πόλιν Ταρκυνίους, ἐξ ἧς τὸ πρὸς μητρὸς αὐτῷ γένος ἦν. πείσας δὲ τὰ τέλη τῶν Ταρκυνιητῶν 2

1 ἐκκλησιάζειν Reiske ἐκκλησίαν O 4 καθ' ἡδον⟨ὴν⟩ Bb καθ' ἡδονὰς? 5 ἐκ πολλοῦ χρόνου B 16 *ἐν πόλει Γαβιο//// Ba ἐν π. Γαβίων ABb aut ἐν Γαβίων πόλει aut ἐν πόλει Γαβίοις scribendum videtur esse 22 εἰς] ἐπὶ c. Kiessling 23 τυραννικὴν A 24 ταρκυνίου. Ba ταρκύνιος Bb om. R 25 τέλη Ba τέν.η Bb ut videtur, γένει A(?)

δωρεαῖς καὶ δι' ἐκείνων ἐπὶ τὴν ἐκκλησίαν παραχθεὶς 849
τήν τε συγγένειαν ἀνενεώσατο τὴν ὑπάρχουσαν αὐτῷ
πρὸς τὴν πόλιν καὶ τὰς εὐεργεσίας διεξῆλθεν, ἃς ὁ
πάππος αὐτοῦ πάσαις ἐχαρίσατο ταῖς ἐν Τυρρηνίᾳ πό-
λεσι, καὶ τὰς συνθήκας ὑπεμίμνησκεν, ἃς ἦσαν πεποιη-
μένοι πρὸς αὐτόν· ἐπὶ δὲ τούτοις ἅπασι τῆς κατειλη-
φυίας αὐτὸν ὠδύρετο τύχας, ὡς ἐκ μεγάλης ἐκπεσὼν
εὐδαιμονίας ἐν ἡμέρᾳ μιᾷ πλάνης καὶ τῶν ἀναγκαίων
ἐνδεὴς σὺν υἱοῖς τρισὶν ἐπὶ τοὺς ἐφ' ἑαυτῷ ποτε
3 γενομένους ἠναγκάσθη καταφυγεῖν. διεξελθὼν δ' ὧδε
ταῦτα μετὰ πολλῶν οἴκτων τε καὶ δακρύων ἔπεισε τὸν
δῆμον πρέσβεις ἀποστεῖλαι πρῶτον εἰς Ῥώμην συμ-
βατηρίους φέροντας ὑπὲρ αὐτοῦ λόγους, ὡς δὴ συμ-
πραττόντων αὐτῷ τῶν δυνατῶν ἐκεῖθεν καὶ συλλη-
ψομένων τῆς καθόδου. ἀποδειχθέντων δὲ πρεσβευτῶν,
οὓς αὐτὸς προείλετο, διδάξας τοὺς ἄνδρας ἃ χρὴ λέ- 850
γειν τε καὶ πράττειν, καὶ παρὰ τῶν σὺν αὐτῷ φυγά-
δων γράμματα δοὺς δεήσεις ἔχοντα πρὸς τοὺς οἰκείους
αὐτῶν καὶ φίλους, ἀπέστειλε φέροντάς τι καὶ χρυσίον.

IIII. Οὗτοι οἱ ἄνδρες εἰς Ῥώμην ἐλθόντες ἔλεγον ἐπὶ τῆς βουλῆς, Ὅτι Ταρκύνιος ἀξιοῖ λαβὼν ἄδειαν ἐλθεῖν σὺν ὀλίγοις πρῶτον μὲν ἐπὶ τὸ συνέδριον, ὥσπερ ἐστὶ δίκαιον· ἔπειτ' ἂν λάβῃ παρὰ τῆς βουλῆς τὸ συγχώρημα τότε καὶ ἐπὶ τὴν ἐκκλησίαν ἐλθεῖν λόγον ὑφέξων ὑπὲρ ἁπάντων ὧν ἔπραξεν, ἀφ' οὗ τὴν ἀρχὴν παρέλαβε, καὶ δικασταῖς χρησόμενος ἐάν τις αὐτοῦ

1 προαχθεὶς B παραχθεὶς R 6 ἐπὶ ABb ἐπεὶ Ba | ἅπασι ABb ἅπασ. Ba 9 ἐφ' ἑαυτῷ AB ὑφ' ἑαυτῷ R 15 τῶν πρεσβευτῶν A 21 βασιλεὺς Ταρκύνιος 23 *ἔπειτα ἂν O 24 ἐλθεῖν del. Kiessling

κατηγορήσῃ πᾶσι Ῥωμαίοις. ἀπολογηθεὶς δὲ καὶ πείσας 2
ἅπαντας, ὡς οὐδὲν ἄξιον εἴργασται φυγῆς, ἐὰν μὲν
ἀποδῶσιν αὐτῷ τὴν βασιλείαν αὖθις, ἄρξειν ἐφ' οἷς
ἂν ὁρίσωσιν οἱ πολῖται δικαίοις, ἐὰν δὲ μηκέτι βασι-
λεύεσθαι προαιρῶνται καθάπερ ἔμπροσθεν, ἀλλ' ἑτέραν
τινὰ καταστήσασθαι πολιτείαν, μένων ἐν τῇ πόλει
851 πατρίδι οὔσῃ καὶ τὸν ἴδιον οἶκον ἔχων πολιτεύσεσθαι
μετὰ πάντων ἐξ ἴσου, φυγῆς δ' ἀπηλλάχθαι καὶ πλά-
νης. ταῦτα διεξελθόντες ἐδέοντο τῆς βουλῆς, μάλιστα 3
μὲν διὰ τὸ δίκαιον, ὃ πᾶσιν ἀνθρώποις καθέστηκε,
μηθένα λόγου καὶ κρίσεως ἀποστερεῖν, συγχωρῆσαι τῷ
ἀνδρὶ τὴν ἀπολογίαν, ἧς αὐτοὶ γενήσονται δικασταί·
εἰ δ' ἐκείνῳ ταύτην οὐ βούλονται δοῦναι τὴν χάριν,
τῆς δεομένης ὑπὲρ αὐτοῦ πόλεως ἕνεκα μετριάσαι, δω-
ρεὰν αὐτῇ διδόντας, ἐξ ἧς οὐδὲν αὐτοὶ βλαπτόμενοι
μεγάλην δόξουσι τιμὴν κατατίθεσθαι τῇ λαμβανούσῃ,
ἀνθρώπους δ' ὄντας μηδὲν ὑπὲρ τὴν φύσιν τὴν ἀν-
θρωπίνην φρονεῖν μηδ' ἀθανάτους ἔχειν τὰς ὀργὰς
ἐν θνητοῖς σώμασιν, ἀλλὰ καὶ παρὰ γνώμην τι πράτ-
τειν ἐπιεικὲς ὑπομεῖναι τῶν δεομένων χάριν, ἐνθυμη-
θέντας, ὅτι φρονίμων μὲν ἀνθρώπων ἔργον ἐστὶ ταῖς
φιλίαις χαρίζεσθαι τὰς ἔχθρας, ἀνοήτων δὲ καὶ βαρ-
βάρων τοῖς ἐχθροῖς συναναιρεῖν τοὺς φίλους.

852 V. Τοιαῦτα λεξάντων αὐτῶν ἀναστὰς ὁ Βροῦτος
ἔφη Περὶ μὲν εἰσόδου Ταρκυνίων εἰς τήνδε πόλιν
παύσασθε, ἄνδρες Τυρρηνοί, τὰ πλείω λέγοντες. ἐπῆκται
γὰρ ἤδη ψῆφος ἀίδιον κατ' αὐτῶν ὁρίζουσα φυγήν,

1 κατηγορῇ B 3 ἀποδώσειν Ba 4 ἐὰν AB 7 πολιτεύσεσθαι Reiske, πολιτεύεσθαι O 26 ἐπενήνεκται c. Kiessling

καὶ θεοὺς ὀμωμόκαμεν ἅπαντες μήτ' αὐτοὶ κατάξειν
τοὺς τυράννους μηδὲ τοῖς κατάγουσιν ἐπιτρέψειν· εἰ
δέ τινος ἄλλου δεῖσθε τῶν μετρίων, ἃ μὴ νόμοις μηδ'
ὅρκοις κεκωλύμεθα δρᾶν, λέγετε. μετὰ τοῦτο παρελ-
2 θόντες οἱ πρέσβεις λέγουσι· Παρὰ δόξαν μὲν ἡμῖν
ἀπήντηται τὰ πρῶτα· πρεσβευσάμενοι γὰρ ὑπὲρ ἀνδρὸς
ἱκέτου λόγον ὑμῖν ὑποσχεῖν ἀξιοῦντος καὶ τὸ κοινὸν
ἁπάντων δίκαιον εἰς ἰδίαν αἰτούμενοι χάριν οὐ δεδυ-
νήμεθα τούτου τυχεῖν· ἐπεὶ δ' οὕτως ὑμῖν δοκεῖ, περὶ
μὲν εἰσόδου Ταρκυνίων οὐδὲν ἔτι λιπαροῦμεν, προ-
καλούμεθα δ' ὑμᾶς εἰς ἕτερόν τι δίκαιον, ὑπὲρ οὗ τὰς 853
ἐντολὰς ἡμῖν ἔδωκεν ἡ πατρίς, καὶ οὔτε νόμος ὁ κω-
λύσων αὐτὸ ποιεῖν ὑμᾶς ἐστιν οὔθ' ὅρκος, ἀποδοῦναι
τῷ βασιλεῖ τὴν οὐσίαν, ἣν ὁ πάππος αὐτοῦ πρότερον
ἐκέκτητο οὐθὲν τῶν ὑμετέρων οὔτε βίᾳ κατασχὼν οὔτε
λάθρα, παρὰ δὲ τοῦ πατρὸς διαδεξάμενος καὶ πρὸς
ὑμᾶς μετενέγκας. ἀπόχρη γὰρ αὐτῷ τὰ ἑαυτοῦ κομι-
σαμένῳ ζῆν ἑτέρωθί που μακαρίως μηθὲν ἐνοχλοῦντι
3 ὑμῖν. τοιαῦτα μὲν οἱ πρέσβεις διαλεχθέντες ἐξῆλθον·
τῶν δ' ὑπάτων Βροῦτος μὲν κατέχειν τὰ χρήματα
συνεβούλευσε τιμωρίας τε χάριν ἀνθ' ὧν οἱ τύραννοι
τὸ κοινὸν ἠδίκησαν πολλῶν ὄντων καὶ μεγάλων, καὶ
τοῦ συμφέροντος ἕνεκεν, ἵνα μὴ γένοιτ' αὐτοῖς ἀφορμὴ
πρὸς τὸν πόλεμον, διδάσκων ὡς οὐκ ἀγαπήσουσι Ταρ-
κύνιοι τὰς οὐσίας ἀπολαβόντες οὐδ' ὑπομενοῦσιν ἰδιώ-
την βίον ζῆν, ἀλλὰ πόλεμον ἐπάξουσι Ῥωμαίοις ἀλλο-
εθνῆ καὶ πειράσονται βίᾳ κατελθεῖν ἐπὶ τὴν ἀρχήν.
4 Κολλατῖνος δὲ τἀναντία παρῄνει λέγων, ὡς οὐδὲν τὰ

1 μηδὲ AB μήτε R 3 μήτε νόμοις μήτε ὅρκοις A 10 ταρκυνίου B 23 γένοιτο O

χρήματα τῶν τυράννων ἠδίκει τὴν πόλιν, ἀλλὰ τὰ σώματα, φυλάττεσθαί τ' αὐτοὺς ἀξιῶν ἀμφότερα, μὴ δόξης τε πονηρᾶς παρὰ πάντων τύχωσιν ὡς διὰ τὸν πλοῦτον ἐξεληλακότες ἐκ τῆς ἀρχῆς Ταρκυνίους, καὶ πρόφασιν πολέμου δικαίαν παράσχωσιν αὐτοῖς ὡς ἀποστερουμένοις τῶν ἰδίων· ἄδηλον μὲν εἶναι φάσκων, εἰ κομισάμενοι τὰ χρήματα πολεμεῖν ἐπιχειρήσουσιν ἔτι πρὸς αὐτοὺς περὶ τῆς καθόδου, πρόδηλον δὲ θάτερον ὡς οὐκ ἀξιώσουσιν εἰρήνην ἄγειν τὰς οὐσίας ἀφαιρεθέντες.

VI. Ταῦτα δὲ τῶν ὑπάτων λεγόντων καὶ πολλῶν συναγορευόντων ἀμφοτέροις ἀποροῦσα, ὅ τι χρὴ πράττειν, ἡ βουλὴ καὶ ἐφ' ἡμέρας συχνὰς σκοποῦσα, ἐπεὶ συμφορώτερα μὲν ὁ Βροῦτος ἐδόκει λέγειν, δικαιότερα δ' ὁ Κολλατῖνος παρῄνει, τελευτῶσα διέγνω τὸν δῆμον ποιῆσαι τοῦ τε συμφέροντος καὶ τοῦ δικαίου κριτήν. 2 πολλῶν δὲ λεχθέντων ὑφ' ἑκατέρου τῶν ὑπάτων ἀναλαβοῦσαι ψῆφον αἱ φρᾶτραι τριάκοντα οὖσαι τὸν ἀριθμὸν οὕτω μικρὰν ἐποιήσαντο τὴν ἐπὶ θάτερα ῥοπήν, ὥστε μιᾷ ψήφῳ πλείους γενέσθαι τῶν κατέχειν τὰ χρήματα 855 βουλομένων τὰς ἀποδιδόναι κελευούσας. λαβόντες δὲ παρὰ τῶν ὑπάτων τὰς ἀποκρίσεις οἱ Τυρρηνοὶ καὶ πολλὰ τὴν πόλιν ἐπαινέσαντες, ὅτι τὰ δίκαια πρὸ τῶν συμφερόντων εἵλοντο, Ταρκυνίῳ μὲν ἐπέστειλαν τοὺς ἀποληψομένους τὰ χρήματα πέμπειν, αὐτοὶ δ' ἐπέμειναν ἐν τῇ πόλει συναγωγήν τε τῶν ἐπίπλων καὶ διάθεσιν τῶν μὴ δυναμένων ἄγεσθαί τε καὶ φέρεσθαι σκηπτόμενοι· ὡς δὲ τἀληθὲς εἶχε ταράττοντες καὶ

13 ἔφη μεν Ba ἐφ' ἡμέρας ABb 14 συμφερώτερα B 25 ὑπέμειναν c. Kiessling

σκευωρούμενοι τὰ κατὰ τὴν πόλιν, ὡς ὁ τύραννος
3 αὐτοῖς ἐπέστειλε. τάς τε γὰρ ἐπιστολὰς τὰς παρὰ τῶν
φυγάδων τοῖς ἐπιτηδείοις αὐτῶν ἀπεδίδοσαν καὶ παρ'
ἐκείνων ἑτέρας πρὸς τοὺς φυγάδας ἐλάμβανον· συν-
ιόντες δὲ πολλοῖς εἰς ὁμιλίαν καὶ διάπειραν αὐτῶν
τῆς προαιρέσεως λαμβάνοντες, οὓς εὑρίσκοιεν εὐαλώ-
τους δι' ἀσθένειαν γνώμης ἢ βίου σπάνιν ἢ πόθον
τῶν ἐν τῇ τυραννίδι πλεονεξιῶν, ἐλπίδας τε χρηστὰς
ὑποτείνοντες αὐτοῖς καὶ χρήματα διδόντες ἐπεχείρουν 856
4 διαφθείρειν. ἔμελλον δ' ὥσπερ εἰκὸς ἐν πόλει μεγάλῃ
καὶ πολυοχλούσῃ φανήσεσθαί τινες οἳ τὴν χείρω πολι-
τείαν αἱρησόμενοι πρὸ τῆς κρείττονος οὐ τῶν ἀσήμων
μόνον, ἀλλὰ καὶ τῶν ἐπιφανῶν, ἐν οἷς ἦσαν Ἰούνιοί
τε δύο Τίτος καὶ Τιβέριος Βρούτου παῖδες τοῦ ὑπα-
τεύοντος ἀρτίως ἀρχόμενοι γενειᾶν καὶ σὺν αὐτοῖς
Οὐιτέλλιοί τε δύο Μάρκος καὶ Μάνιος, ἀδελφοὶ τῆς
Βρούτου γυναικός, ἱκανοὶ τὰ κοινὰ πράττειν, καὶ Κολ-
λατίνου θατέρου τῶν ὑπάτων ἀδελφῆς υἱοὶ δύο Λεύ-
κιος καὶ Μάρκος Ἀκύλλιοι τὴν αὐτὴν ἔχοντες τοῖς
Βρούτου παισὶν ἡλικίαν, παρ' οἷς αἱ σύνοδοι τὰ πολλὰ
ἐγίνοντο πατρὸς οὐκέτι περιόντος αὐτοῖς καὶ τὰ περὶ
τῆς καθόδου τῶν τυράννων βουλεύματα συνετίθετο.

VII. Ἐκ πολλῶν μὲν οὖν καὶ ἄλλων ἔδοξέ μοι τὰ 857
Ῥωμαίων πράγματα προνοίᾳ θεῶν εἰς τοσαύτην προ-
ελθεῖν εὐδαιμονίαν, οὐχ ἥκιστα δὲ καὶ ἐκ τῶν τότε

3 *ἀπεδίδουν O 9 χρήματα] τὰ χρηστὰ B 14 τοῦ τότε ὑπατεύοντος A 15 αὐτοισιτέλλιοι Ba αὐτοῖσ.τελλιοι Bb αὐτοῖσ Γέλλιοι A correxit Sigonius 19 Ἀκύλλιοι Bb Ἀκυίλιοι Ba Ἀκυήλιοι A 22 συνετίθεντο O corr. Cobet Obs. p. 94 24 προελθεῖν B παρε.λθεῖν A | δὲ καὶ ἐκ B δὲ ἐκ R

γενομένων. τοσαύτη γὰρ ἄνοια καὶ θεοβλάβεια τοὺς δυστήνους ἐκείνους κατέσχεν, ὥσθ' ὑπέμειναν ἐπιστολὰς γράψαι πρὸς τὸν τύραννον αὐτογράφους δηλοῦντες αὐτῷ τό πλῆθός τε τῶν μετεχόντων τῆς συνωμοσίας καὶ χρόνον, ἐν ᾧ τὴν κατὰ τῶν ὑπάτων ἐπίθεσιν ἔμελλον ποιήσεσθαι, πεισθέντες ὑπὸ τῶν ἀφικομένων ὡς αὐτοὺς παρὰ τοῦ τυράννου γραμμάτων, ὅτι βούλεται προειδέναι, τίνας αὐτῷ προσήκει Ῥωμαίων εὖ ποιεῖν κατασχόντι τὴν ἀρχήν. τούτων δ' ἐγένοντο τῶν 2
ἐπιστολῶν ἐγκρατεῖς οἱ ὕπατοι κατὰ τοιάνδε τινὰ συντυχίαν. παρ' Ἀκυλλίοις τοῖς ἐκ τῆς Κολλατίνου γεγονόσιν ἀδελφῆς οἱ κορυφαιότατοι τῶν ἐν τῇ συνωμοσίᾳ κατήγοντο παρακληθέντες ὡς ἐφ' ἱερὰ καὶ θυσίαν· μετὰ δὲ τὴν ἑστίασιν ἐξελθεῖν ἐκ τοῦ συμποσίου κελεύσαντες τοὺς διακόνους καὶ πρὸ τῶν θυρῶν τοῦ ἀνδρῶ-
858νος ἀπελθεῖν διεφέροντό τε πρὸς ἀλλήλους ὑπὲρ τῆς καταγωγῆς τῶν τυράννων καὶ τὰ δόξαντα εἰς ἐπιστολὰς κατεχώριζον αὐτογράφους, ἃς ἔδει τοὺς Ἀκυλλίους λαβόντας ἀποδοῦναι τοῖς ἐκ Τυρρηνίας πρέσβεσιν, ἐκείνους δὲ Ταρκυνίῳ. ἐν τούτῳ δὴ τῷ χρόνῳ τῶν 3
θεραπόντων τις οἰνοχόος ἐκ πόλεως Καινίνης αἰχμάλωτος ὄνομα Οὐινδίκιος ὑποπτεύσας τοὺς ἄνδρας βουλεύειν πονηρὰ τῇ μεταστάσει τῶν διακόνων ἔμεινε μόνος ἔξω παρὰ ταῖς θύραις καὶ τούς τε λόγους παρ' αὐτῶν ἠκροάσατο καὶ τὰς ἐπιστολὰς εἶδεν ὑπὸ πάντων

1 τοιαύτη O corr. Cobet Obs. p. 94 7 παρὰ τῶν τοῦ A 11 Ἀκυλλίοις ABb 13 συνήγοντο c. Reudler Tiroc. p. 39 14 ἑστίαν Ba 15 πρὸ O πρόσω Reiske ἀπὸ c. Cobet Obs. p. 95 16 διελέγοντό τε πρὸς ἀλλήλους περὶ c. Cobet Obs. p. 94 23 μεταναστάσει B 24 τούς τε λόγους τοὺς c. Cobet Obs. p. 95.

γραφομένας, ἁρμῷ τινι τῆς θύρας διαφανεῖ τὴν ὄψιν
4 προσβαλών. ἐξελθὼν δὲ πολλῆς ἔτι νυκτὸς οὔσης ὡς
ἀπεσταλμένος ὑπὸ τῶν δεσποτῶν ἐπὶ χρείαν τινά, πρὸς
μὲν τοὺς ὑπάτους ὤκνησεν ἐλθεῖν δεδιώς, μὴ συγκρύ- 859
ψαι τὸ πρᾶγμα βουλόμενοι διὰ τὴν εὔνοιαν τῶν συγ-
γενῶν τὸν μηνύσαντα τὴν συνωμοσίαν ἀφανίσωσιν,
ἀφικόμενος δ' ὡς Πόπλιον Οὐαλέριον, ὃς ἐν τοῖς πρώ-
τοις τέτταρσιν ἦν τῶν τὴν τυραννίδα καταλυσάντων,
δεξιώσει καὶ δι' ὅρκων τὸ πιστὸν παρ' αὐτοῦ λαβὼν
ὑπὲρ ἀσφαλείας τῆς ἑαυτοῦ μηνυτὴς ὧν τ' ἤκουσε καὶ
5 ὧν εἶδε γίνεται. ὁ δ' ὡς ἔμαθεν οὐδεμίαν ἀναβολὴν
ποιησάμενος ἐπὶ τὴν οἰκίαν τῶν Ἀκυλλίων σὺν χειρὶ
πολλῇ πελατῶν τε καὶ φίλων παραγίνεται περὶ τὸν
ὄρθρον καὶ παρελθὼν εἴσω τῶν θυρῶν ὡς ἐπ' ἄλλην
τινὰ χρείαν παρὼν ἀκωλύτως κατ' οἶκον ἔτι τῶν μει-
ρακίων ὄντων ἐγκρατὴς γίνεται τῶν ἐπιστολῶν καὶ
τοὺς νεανίσκους συλλαβὼν καθίστησιν ἐπὶ τοὺς ὑπάτους.

VIII. Τὰ δὲ μετὰ ταῦτα ἔργα θατέρου τῶν ὑπά-
των Βρούτου μεγάλα καὶ θαυμαστὰ λέγειν ἔχων, ἐφ'
οἷς μέγιστα φρονοῦσι Ῥωμαῖοι, δέδοικα μὴ σκληρὰ καὶ
ἄπιστα τοῖς Ἕλλησι δόξω λέγειν, ἐπειδὴ πεφύκασιν 860
ἅπαντες ἀπὸ τῶν ἰδίων παθῶν τὰ περὶ τῶν ἄλλων
λεγόμενα κρίνειν καὶ τὸ πιστὸν ἄπιστον ἐφ' ἑαυτοὺς
2 ποιεῖν· ἐρῶ δ' οὖν ὅμως. ἐπειδὴ γὰρ ἡμέρα τάχιστα

3 ἀποσταλμένος A 5 πρόνοιαν B 9 *δεξιω δοσει Ba δεξιᾶς δοσ⟨ει⟩ Bb in ras. 1 litt. δεξιὰς δίδωσι A 10 ὧν τε B τε ὧν R 15 ἀκώλυτος ABb ἀκωλύτως Ba (ω ex ο) 23 δὲ om. B 20 μέγιστον c. Cobet Obs. p. 95 ἐφ' οἷς γε μέγιστα c. Reiske 21 τοῖς ἄλλοις Ἕλλησι O praeter B τοῖς ἄλλοις, μάλιστα δὲ τοῖς Ἕλλησι c. Stephanus 23 πιστὸν ἄπιστον ἐφ' ἑαυτοὺς O πιστὸν καὶ ἄπιστον ἐφ' ἑαυτοῖς c. Stephanus πιστὸν ἢ ἄπιστον ἐφ' ἑαυτοῖς c. Reiske

ἐγένετο, καθίσας ἐπὶ τὸ βῆμα καὶ τὰς ἐπιστολὰς τῶν
ἐν τῇ συνωμοσίᾳ διασκεπτόμενος, ὡς εὗρε τὰς ὑπὸ τῶν
υἱῶν γραφείσας ταῖς σφραγῖσιν ἑκατέραν γνωρίσας καὶ
μετὰ τὸ λῦσαι τὰ σημεῖα τοῖς χειρογράφοις, ἀναγνω-
σθῆναι πρῶτον ἐκέλευσεν ἀμφοτέρας ὑπὸ τοῦ γραμμα-
τέως εἰς τὴν ἁπάντων τῶν παρόντων ἀκοήν· ἔπειτα
λέγειν ἐκέλευσε τοῖς παισίν, εἴ τι βούλονται. ὡς δ' 3
οὐκ ἐτόλμησεν αὐτῶν οὐδέτερος πρὸς ἄρνησιν ἀναιδῆ
τραπέσθαι, ἀλλὰ κατεψηφικότες ἑαυτῶν ἔκλαιον ἀμφό-
τεροι, ὀλίγον δ' ἐπισχὼν χρόνον ἀνίσταται καὶ σιωπὴν
προκηρύξας ἐκδεχομένων ἁπάντων, τί τέλος ἐξοίσει,
θάνατον ἔφη καταδικάζειν τῶν τέκνων· ἐφ' ᾧ πάντες
861ἀνέκραγον οὐκ ἀξιοῦντες τοιοῦτον ἄνδρα ζημιωθῆναι
τέκνων θανάτῳ καὶ χαρίζεσθαι τὰς ψυχὰς τῶν μειρα-
κίων ἐβούλοντο τῷ πατρί. ὁ δ' οὔτε τὰς φωνὰς αὐτῶν 4
οὔτε τὰς οἰμωγὰς ἀνασχόμενος ἐκέλευσε τοῖς ὑπηρέταις
ἀπάγειν τοὺς νεανίσκους ὀλοφυρομένους καὶ ἀντιβο-
λοῦντας καὶ ταῖς φιλτάταις αὐτὸν ἀνακαλουμένους
προσηγορίαις. θαυμαστὸν μὲν καὶ τοῦτο πᾶσιν ἐφάνη
τὸ μηδὲν ἐνδοῦναι τὸν ἄνδρα μήτε πρὸς τὰς δεήσεις
τῶν πολιτῶν μήτε πρὸς τοὺς οἴκτους τῶν τέκνων,
πολλῷ δ' ἔτι τούτου θαυμασιώτερον τὸ περὶ τὰς τι-
μωρίας αὐτῶν ἀμείλικτον. οὔτε γὰρ ἄλλοθί που συν- 5
εχώρησεν ἀπαχθέντας τοὺς υἱοὺς ἔξω τῆς ἁπάντων
ὄψεως ἀποθανεῖν, οὔτ' αὐτὸς ἐκ τῆς ἀγορᾶς ὑπανεχώ-

2 συνωμοσίαι B  3 καὶ del. Reiske  4 τοῖς χειρογράφοις del. Reiske  5 ἀμφότερα AB  9 *τραπέσθαι κατεψηφικότες B  τραπέσθαι πάλαι κ. R  τραπέσθαι ἀλλὰ κ. ego | ἔκλαιον δ' ἀμφότεροι, ὀλίγον ἐπισχὼν c. Reiske  19 μὲν οὖν c. Reiske | τοῦτο ἅπασιν O  23 ἀλλοσέ ποι c. Hertlein Hermes X 412 Cobet Obs. p. 96  25 παρεχώρησεν ABb ὑπανεχώρησεν corr. ex παρεχώρησεν Ba

σκευωρούμενοι τὰ κατὰ τὴν πόλιν, ὡς ὁ τύραννος
3 αὐτοῖς ἐπέστειλε. τάς τε γὰρ ἐπιστολὰς τὰς παρὰ τῶν φυγάδων τοῖς ἐπιτηδείοις αὐτῶν ἀπεδίδοσαν καὶ παρ' ἐκείνων ἑτέρας πρὸς τοὺς φυγάδας ἐλάμβανον· συνιόντες δὲ πολλοῖς εἰς ὁμιλίαν καὶ διάπειραν αὐτῶν τῆς προαιρέσεως λαμβάνοντες, οὓς εὑρίσκοιεν εὐαλώτους δι' ἀσθένειαν γνώμης ἢ βίου σπάνιν ἢ πόθον τῶν ἐν τῇ τυραννίδι πλεονεξιῶν, ἐλπίδας τε χρηστὰς ὑποτείνοντες αὐτοῖς καὶ χρήματα διδόντες ἐπεχείρουν 856
4 διαφθείρειν. ἔμελλον δ' ὥσπερ εἰκὸς ἐν πόλει μεγάλῃ καὶ πολυοχλούσῃ φανήσεσθαί τινες οἱ τὴν χείρω πολιτείαν αἱρησόμενοι πρὸ τῆς κρείττονος οὐ τῶν ἀσήμων μόνον, ἀλλὰ καὶ τῶν ἐπιφανῶν, ἐν οἷς ἦσαν Ἰούνιοί τε δύο Τίτος καὶ Τιβέριος Βρούτου παῖδες τοῦ ὑπατεύοντος ἀρτίως ἀρχόμενοι γενειᾶν καὶ σὺν αὐτοῖς Οὐιτέλλιοί τε δύο Μάρκος καὶ Μάνιος, ἀδελφοὶ τῆς Βρούτου γυναικός, ἱκανοὶ τὰ κοινὰ πράττειν, καὶ Κολλατίνου θατέρου τῶν ὑπάτων ἀδελφῆς υἱοὶ δύο Λεύκιος καὶ Μάρκος Ἀκύλλιοι τὴν αὐτὴν ἔχοντες τοῖς Βρούτου παισὶν ἡλικίαν, παρ' οἷς αἱ σύνοδοι τὰ πολλὰ ἐγίνοντο πατρὸς οὐκέτι περιόντος αὐτοῖς καὶ τὰ περὶ τῆς καθόδου τῶν τυράννων βουλεύματα συνετίθετο.

VII. Ἐκ πολλῶν μὲν οὖν καὶ ἄλλων ἔδοξέ μοι τὰ 857
Ῥωμαίων πράγματα προνοίᾳ θεῶν εἰς τοσαύτην προελθεῖν εὐδαιμονίαν, οὐχ ἥκιστα δὲ καὶ ἐκ τῶν τότε

3 *ἀπεδίδουν O  9 χρήματα] τὰ χρηστὰ B  14 τοῦ τότε ὑπατεύοντος A  15 αὐτοισιτέλλιοι Ba αὐτοῖσ.τελλιοι Bb αὐτοῖσ Γέλλιοι A correxit Sigonius  19 Ἀκύλλιοι Bb Ἀκυίλιοι Ba Ἀκυήλιοι A  22 συνετίθεντο O corr. Cobet Obs. p. 94  24 προελθεῖν B παρε.λθεῖν A | δὲ καὶ ἐκ B δὲ ἐκ R

γενομένων. τοσαύτη γὰρ ἄνοια καὶ θεοβλάβεια τοὺς
δυστήνους ἐκείνους κατέσχεν, ὥσθ' ὑπέμειναν ἐπιστο-
λὰς γράψαι πρὸς τὸν τύραννον αὐτογράφους δηλοῦν-
τες αὐτῷ τὸ πλῆθός τε τῶν μετεχόντων τῆς συνωμο-
σίας καὶ χρόνον, ἐν ᾧ τὴν κατὰ τῶν ὑπάτων ἐπίθεσιν
ἔμελλον ποιήσεσθαι, πεισθέντες ὑπὸ τῶν ἀφικομένων
ὡς αὐτοὺς παρὰ τοῦ τυράννου γραμμάτων, ὅτι βού-
λεται προειδέναι, τίνας αὐτῷ προσήκει Ῥωμαίων εὖ
ποιεῖν κατασχόντι τὴν ἀρχήν. τούτων δ' ἐγένοντο τῶν 2
ἐπιστολῶν ἐγκρατεῖς οἱ ὕπατοι κατὰ τοιάνδε τινὰ συν-
τυχίαν. παρ' Ἀκυλλίοις τοῖς ἐκ τῆς Κολλατίνου γε-
γονόσιν ἀδελφῆς οἱ κορυφαιότατοι τῶν ἐν τῇ συνωμο-
σίᾳ κατήγοντο παρακληθέντες ὡς ἐφ' ἱερὰ καὶ θυσίαν·
μετὰ δὲ τὴν ἑστίασιν ἐξελθεῖν ἐκ τοῦ συμποσίου κελεύ-
σαντες τοὺς διακόνους καὶ πρὸ τῶν θυρῶν τοῦ ἀνδρῶ-
358νος ἀπελθεῖν διεφέροντό τε πρὸς ἀλλήλους ὑπὲρ τῆς
καταγωγῆς τῶν τυράννων καὶ τὰ δόξαντα εἰς ἐπιστολὰς
κατεχώριζον αὐτογράφους, ἃς ἔδει τοὺς Ἀκυλλίους
λαβόντας ἀποδοῦναι τοῖς ἐκ Τυρρηνίας πρέσβεσιν,
ἐκείνους δὲ Ταρκυνίῳ. ἐν τούτῳ δὴ τῷ χρόνῳ τῶν 3
θεραπόντων τις οἰνοχόος ἐκ πόλεως Καινίνης αἰχμάλω-
τος ὄνομα Οὐινδίκιος ὑποπτεύσας τοὺς ἄνδρας βου-
λεύειν πονηρὰ τῇ μεταστάσει τῶν διακόνων ἔμεινε
μόνος ἔξω παρὰ ταῖς θύραις καὶ τούς τε λόγους παρ'
αὐτῶν ἠκροάσατο καὶ τὰς ἐπιστολὰς εἶδεν ὑπὸ πάντων

1 τοιαύτη O corr. Cobet Obs. p. 94  7 παρὰ τῶν τοῦ A  11 Ἀκυλλίοις ABb  13 συνήγοντο c. Reudler Tiroc. p. 39  14 ἑστίαν Ba  15 πρὸ O πρόσω Reiske ἀπὸ c. Cobet Obs. p. 95  16 διελέγοντό τε πρὸς ἀλλήλους περὶ c. Cobet Obs. p. 94  23 μετανασιτάσει B  24 τούς τε λόγους τοὺς c. Cobet Obs. p. 95.

γραφομένας, ἁρμῷ τινι τῆς θύρας διαφανεῖ τὴν ἱ
4 προσβαλών. ἐξελθὼν δὲ πολλῆς ἔτι νυκτὸς οὔσης
ἀπεσταλμένος ὑπὸ τῶν δεσποτῶν ἐπὶ χρείαν τινά, ὡ
μὲν τοὺς ὑπάτους ὤκνησεν ἐλθεῖν δεδιώς, μὴ συγ
ψαι τὸ πρᾶγμα βουλόμενοι διὰ τὴν εὔνοιαν τῶν
γενῶν τὸν μηνύσαντα τὴν συνωμοσίαν ἀφανίσω
ἀφικόμενος δ' ὡς Πόπλιον Οὐαλέριον, ὃς ἐν τοῖς π
τοις τέτταρσιν ἦν τῶν τὴν τυραννίδα καταλυσάντ
δεξιώσει καὶ δι' ὅρκων τὸ πιστὸν παρ' αὐτοῦ λα
ὑπὲρ ἀσφαλείας τῆς ἑαυτοῦ μηνυτὴς ὧν τ' ἤκουσε
5 ὧν εἶδε γίνεται. ὁ δ' ὡς ἔμαθεν οὐδεμίαν ἀναβ
ποιησάμενος ἐπὶ τὴν οἰκίαν τῶν Ἀκυλλίων σὺν χ
πολλῇ πελατῶν τε καὶ φίλων παραγίνεται περὶ
ὄρθρον καὶ παρελθὼν εἴσω τῶν θυρῶν ὡς ἐπ' ἄλ
τινὰ χρείαν παρὼν ἀκωλύτως κατ' οἶκον ἔτι τῶν
ρακίων ὄντων ἐγκρατὴς γίνεται τῶν ἐπιστολῶν
τοὺς νεανίσκους συλλαβὼν καθίστησιν ἐπὶ τοὺς ὑπάτ

VIII. Τὰ δὲ μετὰ ταῦτα ἔργα θατέρου τῶν ὑ
των Βρούτου μεγάλα καὶ θαυμαστὰ λέγειν ἔχων,
οἷς μέγιστα φρονοῦσι Ῥωμαῖοι, δέδοικα μὴ σκληρὸ
ἄπιστα τοῖς Ἕλλησι δόξω λέγειν, ἐπειδὴ πεφύκ
ἅπαντες ἀπὸ τῶν ἰδίων παθῶν τὰ περὶ τῶν ἄλ
λεγόμενα κρίνειν καὶ τὸ πιστὸν ἄπιστον ἐφ' ἑαυ
2 ποιεῖν· ἐρῶ δ' οὖν ὅμως. ἐπειδὴ γὰρ ἡμέρα τάχ

3 ἀποσταλμένος A 5 πρόνοιαν B 9 *δεξιω δοσε
δεξιᾶς δοσ<ει> Bb in ras. 1 litt. δεξιὰς δίδωσι A 1
τε B τε ὧν R 15 ἀκώλυτος ABb ἀκωλύτως Ba (ω
23 δὲ om. B 20 μέγιστον c. Cobet Obs. p. 95 ἐφ' ο
μέγιστα c. Reiske 21 τοῖς ἄλλοις Ἕλλησι O praeter B
ἄλλοις, μάλιστα δὲ τοῖς Ἕλλησι c. Stephanus 23 πιστὸν
στον ἐφ' ἑαυτοὺς O πιστὸν καὶ ἄπιστον ἐφ' ἑαυτοῖς c.
phanus πιστὸν ἢ ἄπιστον ἐφ' ἑαυτοῖς c. Reiske

ἐγένετο, καθίσας ἐπὶ τὸ βῆμα καὶ τὰς ἐπιστολὰς τῶν
ἐν τῇ συνωμοσίᾳ διασκεπτόμενος, ὡς εὗρε τὰς ὑπὸ τῶν
υἱῶν γραφείσας ταῖς σφραγῖσιν ἑκατέραν γνωρίσας καὶ
μετὰ τὸ λῦσαι τὰ σημεῖα τοῖς χειρογράφοις, ἀναγνω-
σθῆναι πρῶτον ἐκέλευσεν ἀμφοτέρας ὑπὸ τοῦ γραμμα-
τέως εἰς τὴν ἁπάντων τῶν παρόντων ἀκοήν· ἔπειτα
λέγειν ἐκέλευσε τοῖς παισίν, εἴ τι βούλονται. ὡς δ' 3
οὐκ ἐτόλμησεν αὐτῶν οὐδέτερος πρὸς ἄρνησιν ἀναιδῆ
τραπέσθαι, ἀλλὰ κατεψηφικότες ἑαυτῶν ἔκλαιον ἀμφό-
τεροι, ὀλίγον δ' ἐπισχὼν χρόνον ἀνίσταται καὶ σιωπὴν
προκηρύξας ἐκδεχομένων ἁπάντων, τί τέλος ἐξοίσει,
θάνατον ἔφη καταδικάζειν τῶν τέκνων· ἐφ' ᾧ πάντες
361 ἀνέκραγον οὐκ ἀξιοῦντες τοιοῦτον ἄνδρα ζημιωθῆναι
τέκνων θανάτῳ καὶ χαρίζεσθαι τὰς ψυχὰς τῶν μειρα-
κίων ἐβούλοντο τῷ πατρί. ὁ δ' οὔτε τὰς φωνὰς αὐτῶν 4
οὔτε τὰς οἰμωγὰς ἀνασχόμενος ἐκέλευσε τοῖς ὑπηρέταις
ἀπάγειν τοὺς νεανίσκους ὀλοφυρομένους καὶ ἀντιβο-
λοῦντας καὶ ταῖς φιλτάταις αὐτὸν ἀνακαλουμένους
προσηγορίαις. θαυμαστὸν μὲν καὶ τοῦτο πᾶσιν ἐφάνη
τὸ μηδὲν ἐνδοῦναι τὸν ἄνδρα μήτε πρὸς τὰς δεήσεις
τῶν πολιτῶν μήτε πρὸς τοὺς οἴκτους τῶν τέκνων,
πολλῷ δ' ἔτι τούτου θαυμασιώτερον τὸ περὶ τὰς τι-
μωρίας αὐτῶν ἀμείλικτον. οὔτε γὰρ ἄλλοθί που συν- 5
εχώρησεν ἀπαχθέντας τοὺς υἱοὺς ἔξω τῆς ἁπάντων
ὄψεως ἀποθανεῖν, οὔτ' αὐτὸς ἐκ τῆς ἀγορᾶς ὑπανεχώ-

2 συνωμοσίαι B 3 καὶ del. Reiske 4 τοῖς χειρογράφοις del. Reiske 5 ἀμφότερα AB 9 *τραπέσθαι κατεψηφικότες B τραπέσθαι πάλαι κ. R τραπέσθαι ἀλλὰ κ. ego | ἔκλαιον δ' ἀμφότεροι, ὀλίγον ἐπισχὼν c. Reiske 19 μὲν οὖν c. Reiske | τοῦτο ἅπασιν O 23 ἀλλοσέ ποι c. Hertlein Hermes X 412 Cobet Obs. p. 96 25 παρεχώρησεν ABb ὑπανεχώρησεν corr. ex παρεχώρησεν Ba

ρησεν, ἕως ἐκεῖνοι κολασθῶσι, τὴν δεινὴν θέαν ἐκτρεπόμενος, οὔτ' ἄνευ προπηλακισμοῦ ἀφῆκεν αὐτοῖς τὴν ἐψηφισμένην ἐκπληρῶσαι μοῖραν· ἀλλὰ πάντα τὰ περὶ τὰς τιμωρίας ἔθη καὶ νόμιμα φυλάττων, ὅσα τοῖς 8E
κακούργοις ἀπόκειται παθεῖν, ἐν ἀγορᾷ πάντων δρώντων αἰκισθέντας τὰ σώματα πληγαῖς, αὐτὸς ἅπασι τοῖς γιγνομένοις παρών, τότε συνεχώρησε τοὺς αὐχένας τοῖς
6 πελέκεσιν ἀποκοπῆναι. ὑπὲρ ἅπαντα δὲ τὰ παράδοξα καὶ θαυμαστὰ τοῦ ἀνδρὸς τὸ ἀτενὲς τῆς ὄψεως καὶ ἄτεγκτον ἦν· ὅς γε τῶν ἄλλων ἁπάντων ὅσοι τῷ πάθει παρεγένοντο κλαιόντων μόνος οὔτ' ἀνακλαυσάμενος ὤφθη τὸν μόρον τῶν τέκνων οὔτ' ἀποιμώξας ἑαυτὸν τῆς καθεξούσης τὸν οἶκον ἐρημίας οὔτ' ἄλλο μαλακὸν οὐθὲν ἐνδούς, ἀλλ' ἄδακρύς τε καὶ ἀστένακτος καὶ ἀτενὴς διαμένων εὐκαρδίως ἤνεγκε τὴν συμφοράν. οὕτως ἰσχυρὸς ἦν τὴν γνώμην καὶ βέβαιος τὰ κριθέντα διατηρεῖν καὶ τῶν ἐπιταραττόντων τοὺς λογισμοὺς παθῶν καρτερός.

VIIII. Ἀποκτείνας δὲ τοὺς υἱοὺς εὐθὺς ἐκάλει τοὺς ἀδελφιδοῦς τοῦ συνάρχοντος Ἀκυλλίους, παρ' οἷς αἱ σύνοδοι τῶν κατὰ τῆς πόλεως συνομοσαμένων 8E
ἐγένοντο· καὶ τὰς ἐπιστολὰς αὐτῶν ἀναγνῶναι τῷ γραμματεῖ κελεύσας, ὥστε πάντας ἀκούειν τοὺς παρόντας, ἀπολογίαν ἔφησεν αὐτοῖς διδόναι. ὡς δὲ προήχθησαν οἱ νεανίσκοι πρὸς τὸ βῆμα, εἴθ' ὑποθεμένου τινὸς τῶν φίλων εἴτ' αὐτοὶ συμφρονήσαντες τοῖς γό-

2 ἀφῆκεν O ἐφῆκεν c. Kiessling 3 περὶ τῆς O περὶ τὴν — τιμωρίαν vel περὶ τὰς — τιμωρίας c. Reiske 10 ἄ⟨τεγ⟩κτον B 23 ἐγένοντο Kiessling ἐγίνοντο O 24 διδόναι A διαδόναι Ba διαδοῦναι Bb | προσήχθησαν B

νασι τοῦ θείου προσπίπτουσιν ὡς δι' ἐκείνου σωθησόμενοι. κελεύσαντος δὲ τοῦ Βρούτου τοῖς ῥαβδούχοις ἀποσπᾶν αὐτοὺς καὶ ἀπάγειν ἐπὶ τὸν θάνατον, εἰ μὴ βούλοιντο ἀπολογήσασθαι, μικρὸν ἐπισχεῖν τοῖς ὑπηρέταις ὁ Καλλατῖνος εἰπών, ἕως τῷ συνάρχοντι διαλεχθῇ, λαβὼν τὸν ἄνδρα καταμόνας πολλὰς ἐξέτεινεν ὑπὲρ τῶν μειρακίων δεήσεις· τὰ μὲν ἀπολογούμενος ὡς διὰ νεότητος ἄνοιαν καὶ πονηρὰς φίλων ὁμιλίας εἰς ταύτην ἐμπεσόντων τὴν φρενοβλάβειαν, τὰ δὲ παρακαλῶν ἑαυτῷ χαρίσασθαι τὰς ψυχὰς τῶν συγγε-
364 νῶν μίαν αἰτουμένῳ ταύτην τὴν δωρεὰν καὶ περὶ οὐ- 3
δενὸς ἔτι ἑτέρου ἐνοχλήσοντι, τὰ δὲ διδάσκων, ὅτι συνταραχθῆναι κίνδυνος ὅλην τὴν πόλιν, ἐὰν ἅπαντας ἐπιχειρῶσι θανάτῳ ζημιοῦν τοὺς δόξαντάς τι συμπράττειν τοῖς φυγάσιν ὑπὲρ τῆς καθόδου· πολλοὺς γὰρ εἶναι καὶ οὐκ ἀσήμων οἰκιῶν ἐνίους. ὡς δ' οὐκ ἔπειθε, τελευτῶν ἠξίου μὴ θάνατον, ἀλλὰ μετρίαν κατ' αὐτῶν ὁρίσαι κόλασιν, ἄτοπον εἶναι λέγων τοὺς μὲν τυράννους φυγαῖς ἐξημιῶσθαι, τοὺς δὲ τῶν τυράννων φίλους θανάτῳ. ἀντιλέγοντος δὲ καὶ πρὸς τὴν ἐπιείκειαν τῆς κολάσεως τοῦ ἀνδρὸς καὶ οὐδ' εἰς ἑτέρους ἀναβαλέσθαι χρόνους τὰς κρίσεις τῶν ἐν ταῖς αἰτίαις βουλομένου· τελευταία γὰρ αὕτη τοῦ συνάρχοντος δέησις ἦν· ἀλλ' αὐθημερὸν ἀποκτενεῖν ἅπαντας ἀπειλοῦντος καὶ διομνυμένου, ἀδημονῶν ὁ Κολλατῖνος ἐπὶ τῷ μηδενὸς ὧν ἠξίου τυγχάνειν, Τοιγαροῦν, ἔφησεν, ἐπεὶ σκαιὸς εἶ καὶ πικρὸς ἐγὼ τὰ μειράκια ἀφαιροῦμαι τῆς

8 ἄγνοιαν O ἄνοιαν Smit Obs. p. 14 11 .αιτουμένῳ B 12 ἐνοχλήσοντι ἑτέρου B 16 ἐνίους] ἐκείνους Ba 23 δεήσεις Ba 27 εἶ om. A

αὐτῆς ἐξουσίας ἧς σὺ κύριος ὤν. καὶ ὁ Βροῦτος ἐκπικρανθείς, Οὐκ ἐμοῦ γ', ἔφη, ζῶντος, ὦ Κολλατῖνε τοὺς προδότας τῆς πατρίδος ἰσχύσεις ἐξελέσθαι· ἀλλ καὶ σὺ δώσεις δίκας ἃς προσῆκεν οὐκ εἰς μακράν.

X. Ταῦτ' εἰπὼν καὶ φυλακὴν τοῖς μειρακίοις ἐπιστήσας ἐκάλει τὸν δῆμον εἰς ἐκκλησίαν. πληρωθείση δὲ τῆς ἀγορᾶς ὄχλου· περιβόητον γὰρ ἀνὰ τὴν πόλι ὅλην τὸ περὶ τοὺς παῖδας αὐτοῦ πάθος ἐγεγόνει· προσελθών τε καὶ τοὺς ἐντιμοτάτους τῶν ἐν τῷ συνεδρίῳ 2 παραστησάμενος ἔλεξε τοιάδε· Ἐβουλόμην μὲν ἄν, ὦ [ἄνδρες] πολῖται, Κολλατῖνον τουτονὶ τὸν συνάρχοντ περὶ πάντων μοι ταὐτὰ φρονεῖν καὶ μὴ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις μισεῖν τοὺς τυράννου καὶ πολεμεῖν· ἐπεὶ δὲ τἀναντία φρονῶν γέγονέ μο καταφανὴς καὶ ἔστιν οὐ μόνον τῇ φύσει Ταρκυνίω συγγενής, ἀλλὰ καὶ τῇ προαιρέσει, διαλλαγάς τε πράττων πρὸς αὐτοὺς καὶ ἀντὶ τῶν κοινῇ συμφερόντων τ ἑαυτοῦ σκοπῶν λυσιτελές, αὐτός τε κωλύειν αὐτὸ παρεσκεύασμαι πράττειν ἃ κατὰ νοῦν ἔχει πονηρ ὄντα, καὶ ὑμᾶς ἐπὶ τούτῳ παρεκάλεσα· φράσω δ' ὑμῖ πρῶτον ⟨μὲν⟩, ἐν οἷς ἐγένετο κινδύνοις τὰ πράγματ τῆς πόλεως, ἔπειτα πῶς αὐτοῖς ἑκάτερος ἡμῶν κέχρηται 3 τῶν πολιτῶν τινες συνελθόντες εἰς τὴν Ἀκυλλίων οἰκία τῶν ἐκ τῆς Κολλατίνου γεγονότων ἀδελφῆς, ἐν οἷ ἦσαν οἵ τ' ἐμοὶ παῖδες ἀμφότεροι καὶ οἱ τῆς γυναικὸ

4 ἃς σοι O praeter B | προσῆκον c. Reiske προσήκει ve προσῆκον c. Hertlein Hermes X 414 8 παρελθὼν Hertlein l. 10 μὲν δὴ ὦ ἄνδρες A δὴ add. m. a, μὲν ἄνδρες B ἂν adc Cobet Obs. p. 96 qui ἄνδρες delet; Κολλατῖνον del. Cobet l. l. τὸν ἄνδρα συνάρχοντα ὄντα O praeter B 12 *περὶ ἁπάντω O 21 μὲν add. Kiessling

ῥεὰν καὶ αὐτὸς πέντε τάλαντα προστίθησιν ἐκ τῶν
ἰδίων. Ταρκύνιος μὲν δὴ Κολλατῖνος τοιαύτῃ τύχῃ 3
873περιπεσὼν εἰς Λαουίνιον ᾤχετο τὴν μητρόπολιν τοῦ
Λατίνων γένους, ἐν ᾗ γηραιὸς ἐτελεύτα· ὁ δὲ Βροῦτος
οὐκ ἀξιῶν μόνος ἄρχειν οὐδ' εἰς ὑπόνοιαν ἐλθεῖν τοῖς
πολίταις, ὅτι μοναρχίας ὑπαχθεὶς πόθῳ τὸν συνύπατον
ἐξήλασεν ἐκ τῆς πατρίδος, καλέσας τὸν δῆμον εἰς τὸ
πεδίον, ἔνθα σύνηθες αὐτοῖς ἦν τούς τε βασιλεῖς καὶ
τὰς ἄλλας ἀρχὰς καθιστάναι, συνάρχοντα αἱρεῖται Πό-
πλιον Οὐαλέριον, ἀπόγονον, ὡς καὶ πρότερον εἶπον,
τοῦ Σαβίνου Οὐαλερίου, ἄνδρα πολλῶν μὲν καὶ ἄλλων
ἐπιτηδευμάτων χάριν ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι
ἄξιον, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου. φιλοσοφία
γάρ τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτόν, ἣν ἐν πολ-
λοῖς ἀπεδείξατο πράγμασιν, ὑπὲρ ὧν ὀλίγον ὕστερον ἐρῶ.

XIII. Μετὰ τοῦτ' ἤδη μιᾷ γνώμῃ περὶ πάντων
χρώμενοι τοὺς μὲν ἐπὶ τῇ καθόδῳ τῶν φυγάδων συν-
874ομοσαμένους ἅπαντας ἀπέκτειναν παραχρῆμα, καὶ τὸν
μηνύσαντα τὴν συνωμοσίαν δοῦλον ἐλευθερίᾳ τε καὶ
πολιτείας μεταδόσει καὶ χρήμασι πολλοῖς ἐτίμησαν.
ἔπειτα τρία πολιτεύματα κάλλιστα καὶ συμφορώτατα
τῷ κοινῷ καταστησάμενοι τούς τ' ἐν τῇ πόλει πάντας
ὁμονοεῖν παρεσκεύασαν καὶ τὰς τῶν ἐχθρῶν ἑταιρίας
ἐμείωσαν. ἦν δὲ τὰ πολιτεύματα τῶν ἀνδρῶν τοιάδε· 2
πρῶτον μὲν ἐκ τῶν δημοτικῶν τοὺς κρατίστους ἐπι-

5 εἰςελθεῖν B 8 σύνηθες ἦν αὐτοῖς O praeter B 10 Οὐαλέριον συνυπατεύειν O praeter B 11 Σαβίνων Οὐαλερίων A Σαβίνου Οὐαλερίου B εἶπόν τινος τῶν ἅμα Τατίῳ παραγενομένων εἰς Ῥώμην Σαβίνων Οὐολοσσοῦ Οὐαλερίου cf. IV 67 dubitanter Kiessling 16 τούτου δὴ O praeter B 18 ἀποκτεῖναι Ba 19 ἐλευθερία B ἐλευθερίας R 23 ἑτερείας Ba

ὅς γ' ὀλίγαις μὲν ἡμέραις πρότερον τὰ χρήματα τοῖ τυράννοις ὑμᾶς ἔπεισεν ἀποδοῦναι, ἵνα μὴ κατὰ τῶ ἐχθρῶν ἡ πόλις αὐτοῖς ἔχῃ χρῆσθαι πρὸς τὸν πόλεμον ἀλλὰ κατὰ τῆς πόλεως οἱ ἐχθροί· νῦν δὲ τοὺς ἐπ καθόδῳ τῶν τυράννων συνομοσαμένους ἀφεῖσθαι τῆ τιμωρίας οἴεται δεῖν, ἐκείνοις αὐτοὺς δηλονότι χαριζόμενος, ἵν', ἐὰν ἄρα κατέλθωσιν εἴτ' ἐκ προδοσία εἴτε πολέμῳ, ταύτας προφερόμενος τὰς χάριτας ἀπάντων ὡς φίλος ὅσων ἂν αἱρῆται παρ' αὐτῶν τυγχάνῃ

7 ἔπειτ' ἐγὼ τῶν ἐμῶν οὐ φεισάμενος τέκνων σοῦ φείσομαι, Κολλατῖνε, ὃς τὸ μὲν σῶμα παρ' ἡμῖν ἔχεις τὴν δὲ ψυχὴν παρὰ τοῖς πολεμίοις, καὶ τοὺς μὲν προδότας τῆς πατρίδος σώζεις, ἐμὲ δὲ τὸν ὑπὲρ αὐτῆ ἀγωνιζόμενον ἀποκτενεῖς; πόθεν; πολλοῦ γε καὶ δεῖ ἀλλ' ἵνα μηδὲν ἔτι τοιοῦτον ἐξεργάσῃ, τὴν μὲν ἀρχὴ ἀφαιροῦμαί σε καὶ πόλιν ἑτέραν κελεύω μεταλαβεῖν ὑμῖν δ', ὦ πολῖται, ψῆφον ἀναδώσω καλέσας αὐτίκα μάλα τοὺς λόχους, ἵνα διαγνῶσιν, εἰ χρὴ ταῦτ' εἶναι κύρια· εὖ δ' ἴστε [ὅτι] δυεῖν θάτερον ἢ Κολλατῖνον ἕξοντες ὕπατον ἢ Βροῦτον.

XI. Τοιαῦτα δὲ λέγοντος αὐτοῦ βοῶν καὶ δεινοπαθῶν ὁ Κολλατῖνος ἐπίβουλόν τε καὶ προδότην τῶν φίλων αὐτὸν παρ' ἕκαστα ἀποκαλῶν καὶ τὰ μὲν ὑπὲρ τῶν ⟨καθ'⟩ ἑαυτοῦ διαβολῶν ἀπολογούμενος, τὰ δ' ὑπὲρ τῶν ἀδελφιδῶν δεόμενος ψῆφόν τε καθ' ἑαυτοῦ

5 τοῖς τυράννοις O corr. Reiske 6 δῆλον BC 9 ὅσον ἂν δέηται αἱρῆται A ὅσων ἀνδρηται. Ba ὅσων ἂν αἱρῆται Bb 10 τέκνων om. B 14 *ἀποκτείνεις O ἀποκναίεις c. Sintenis Em. Dion. II 17 15 τοιοῦτο B 16 μεταβαλεῖν Bb 18 μάλα A μάλιστα B 19 ὅτι del. Reiske 22 ἐπ⟨ί⟩βουλον Bb 24 καθ' add. Cobet Obs. p. 97 | αὐτοῦ O 25 αὐτοῦ B

τοῖς πολίταις οὐκ ἐῶν ἀναδοῦναι χαλεπώτερον ἐποίει
870 τὸν δῆμον καὶ δεινοὺς ἤγειρεν ἐπὶ πᾶσι τοῖς λεγομέ-
νοις θορύβους. ἠγριωμένων δὲ τῶν πολιτῶν πρὸς 2
αὐτὸν καὶ οὔτ' ἀπολογίαν ὑπομενόντων οὔτε δέησιν
προσιεμένων, ἀλλὰ τὰς ψήφους ἀναδοθῆναι σφίσι κε-
λευσάντων, δι' εὐλαβείας τὸ πρᾶγμα ὁ κηδεστὴς αὐτοῦ
λαβὼν Σπόριος Λουκρήτιος, ἀνὴρ τῷ δήμῳ τίμιος, μὴ
μεθ' ὕβρεως τῆς ἀρχῆς καὶ τῆς πατρίδος ἐκπέσῃ, λόγον
αἰτησάμενος παρ' ἀμφοτέρων τῶν ὑπάτων καὶ τυχὼν
τῆς ἐξουσίας ταύτης πρῶτος, ὥς φασιν οἱ Ῥωμαίων
συγγραφεῖς, οὔπω τότε Ῥωμαίοις ὄντος ἐν ἔθει δημη-
γορεῖν ἰδιώτην ἐν ἐκκλησίᾳ, κοινὴν ἐποιήσατο δέησιν
ἀμφοτέρων τῶν ὑπάτων, Κολλατίνῳ μὲν παραινῶν μὴ
θυμομαχεῖν μηδ' ἀκόντων κατέχειν τῶν πολιτῶν τὴν
ἀρχήν, ἣν παρ' ἑκόντων ἔλαβεν, ἀλλ' εἰ δοκεῖ τοῖς δοῦσιν
αὐτὴν ἀπολαβεῖν ἑκόντα καταθέσθαι καὶ μὴ τοῖς λό-
γοις ἀπολύεσθαι τὰς καθ' ἑαυτοῦ διαβολάς, ἀλλὰ τοῖς
871 πράγμασι, μεταθέσθαι τε τὴν οἴκησιν ἑτέρωσέ ποί ποτε
πάντα τὰ ἑαυτοῦ λαβόντα, ἕως ἂν ἐν ἀσφαλεῖ γέ-
νηται τὰ κοινά, ἐπειδὴ τοῦτο δοκεῖ τῷ δήμῳ συμφέ-
ρειν, ἐνθυμούμενον, ὅτι τοῖς μὲν ἄλλοις ἀδικήμασι
γενομένοις ὀργίζεσθαι πεφύκασιν ἅπαντες, προδοσίᾳ
δὲ καὶ ὑποπτευομένῃ, σωφρονέστερον ἡγούμενοι καὶ
διὰ κενῆς φοβηθέντες αὐτὴν φυλάξασθαι μᾶλλον ἢ 3

1 τοὺς πολίτας O corr. Portus  8 ἐκπέσῃ ABb om. Ba 14 δεινομαχεῖν c. Sylburg  17 ἀποθέσθαι c. Cobet Obs. p. 97 18 τε om. Ba | ἑτέρω⟨θι⟩ ποι Bb  ἑτέρω γε ποι Ba  ἑτέρωθι γε ποι R  ἑτέρωσε Cobet Nov. Lect. p. 703 Obs. p. 97 | ποτε del. Cobet l. l.  19 ἕως ἂν AD  ἂν om. BC | ἀσφαλείᾳ O corr. Cobet Nov. Lect. p. 703  23 post σωφρονέστερον eras. τε B | ἡγοῦνται O  ἡγούμενοι Sintenis Em. Dion. II 18

3 καταφρονήσει ἐπιτρέψαντες ἀνατραπῆναι· Βροῦτον δὲ πείθων μὴ μετ' αἰσχύνης καὶ προπηλακισμοῦ τὸν συνάρχοντα τῆς πατρίδος ἐκβαλεῖν, μεθ' οὗ τὰ κράτιστα ὑπὲρ τῆς πόλεως ἐβούλευσεν· ἀλλ' ἐὰν αὐτὸς ὑπομένῃ τὴν ἀρχὴν ἀποθέσθαι καὶ παραχωρῇ τῆς πατρίδος ἑκών, τήν τ' οὐσίαν αὐτῷ πᾶσαν ἐπιτρέψαι κατὰ σχολὴν ἀνασκευάσασθαι, καὶ ἐκ τοῦ δημοσίου προσθεῖναί τινα δωρεάν, ἵνα παραμύθιον ἔχῃ τῆς συμφορᾶς τὴν παρὰ τοῦ δήμου χάριν.

XII. Ταῦτα τοῦ ἀνδρὸς ἀμφοτέροις παραινοῦντος 871 καὶ τῶν πολιτῶν ἐπαινεσάντων τὸν λόγον, ὁ μὲν Κολλατῖνος πολλὰ κατολοφυρόμενος ἑαυτόν, εἰ διὰ συγγενῶν ἔλεον ἐκλιπεῖν ἀναγκασθήσεται τὴν πατρίδα μηδὲν ἀδικῶν, ἀποτίθεται τὴν ἀρχήν. ὁ δὲ Βροῦτος
2 ἐπαινέσας αὐτὸν ὡς τὰ κράτιστα καὶ συμφορώτατα ἑαυτῷ τε καὶ τῇ πόλει βεβουλευμένον παρεκάλει μήτ' αὐτῷ μήτε τῇ πατρίδι μνησικακεῖν· ἑτέραν δὲ μεταλαβόντα οἴκησιν τὴν καταλειπομένην πατρίδα ἡγεῖσθαι, μηδενὸς μήτ' ἔργου μήτε λόγου κοινωνοῦντα τοῖς ἐχθροῖς κατ' αὐτῆς· τὸ δ' ὅλον ἀποδημίαν ὑπολαβόντα τὴν μετανάστασιν, οὐκ ἐξορισμὸν οὐδὲ φυγήν, τὸ μὲν σῶμα παρὰ τοῖς ὑποδεξαμένοις ἔχειν, τὴν δὲ ψυχὴν παρὰ τοῖς προπέμπουσι. ταῦτα δ' ὑποθέμενος τῷ ἀνδρὶ πείθει τὸν δῆμον εἴκοσι ταλάντων δοῦναι αὐτῷ δω-

4 ὑπὲρ τῆς πόλεως B τῆς πατρίδος R 7 μετανασκευάσασθαι A ἀνασκευάσασθαι B 10 παραινέσαντος c. Garrer Obs. p. 54 12 κατολοφυράμενος c. Cobet Obs. p. 98 13 ἐκλείπειν B | ἔλεος Grasberger Philologus tom. 28 (1869) p. 347 15 συμφέροντα AB συμφορώτατα Reiske 16 τε καὶ — παρεκάλει om. Ba 17 αὐτῷ μήτε om. Ba | μεταβαλόντα Bb 20 οὔτ' ἐξορισμὸν οὔτε B | ὑποδεξομένοις — προπέμψουσι c. Portus

*ρεὰν καὶ αὐτὸς πέντε τάλαντα προστίθησιν ἐκ τῶν*
*ἰδίων. Ταρκύνιος μὲν δὴ Κολλατῖνος τοιαύτῃ τύχῃ* 3
873*περιπεσὼν εἰς Λαουίνιον ᾤχετο τὴν μητρόπολιν τοῦ*
*Λατίνων γένους, ἐν ᾗ γηραιὸς ἐτελεύτα· ὁ δὲ Βροῦτος*
*οὐκ ἀξιῶν μόνος ἄρχειν οὐδ' εἰς ὑπόνοιαν ἐλθεῖν τοῖς*
*πολίταις, ὅτι μοναρχίας ὑπαχθεὶς πόθῳ τὸν συνύπατον*
*ἐξήλασεν ἐκ τῆς πατρίδος, καλέσας τὸν δῆμον εἰς τὸ*
*πεδίον, ἔνθα σύνηθες αὐτοῖς ἦν τούς τε βασιλεῖς καὶ*
*τὰς ἄλλας ἀρχὰς καθιστάναι, συνάρχοντα αἱρεῖται Πό-*
*πλιον Οὐαλέριον, ἀπόγονον, ὡς καὶ πρότερον εἶπον,*
*τοῦ Σαβίνου Οὐαλερίου, ἄνδρα πολλῶν μὲν καὶ ἄλλων*
*ἐπιτηδευμάτων χάριν ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι*
*ἄξιον, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου. φιλοσοφία*
*γάρ τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτόν, ἣν ἐν πολ-*
*λοῖς ἀπεδείξατο πράγμασιν, ὑπὲρ ὧν ὀλίγον ὕστερον ἐρῶ.*

XIII. *Μετὰ τοῦτ' ἤδη μιᾷ γνώμῃ περὶ πάντων*
*χρώμενοι τοὺς μὲν ἐπὶ τῇ καθόδῳ τῶν φυγάδων συν-*
874*ομοσαμένους ἅπαντας ἀπέκτειναν παραχρῆμα, καὶ τὸν*
*μηνύσαντα τὴν συνωμοσίαν δοῦλον ἐλευθερίᾳ τε καὶ*
*πολιτείας μεταδόσει καὶ χρήμασι πολλοῖς ἐτίμησαν.*
*ἔπειτα τρία πολιτεύματα κάλλιστα καὶ συμφορώτατα*
*τῷ κοινῷ καταστησάμενοι τούς τ' ἐν τῇ πόλει πάντας*
*ὁμονοεῖν παρεσκεύασαν καὶ τὰς τῶν ἐχθρῶν ἑταιρίας*
*ἐμείωσαν. ἦν δὲ τὰ πολιτεύματα τῶν ἀνδρῶν τοιάδε·* 2
*πρῶτον μὲν ἐκ τῶν δημοτικῶν τοὺς κρατίστους ἐπι-*

5 *εἰςελθεῖν* B 8 *σύνηθες ἦν αὐτοῖς* O praeter B 10 *Οὐαλέριον συνυπατεύειν* O praeter B 11 *Σαβίνων Οὐαλερίων* A *Σαβίνου Οὐαλερίου* B *εἰπόν τινος τῶν ἅμα Τατίῳ παραγενομένων εἰς Ῥώμην Σαβίνων Οὐολοσσοῦ Οὐαλερίου* cf. IV 67 dubitanter Kiessling 16 *τούτου δὴ* O praeter B 18 *ἀποκτεῖναι* Ba 19 *ἐλευθερία* B *ἐλευθερίας* R 23 *ἑτερείας* Ba

λέξαντες πατρικίους ἐποίησαν καὶ συνεπλήρωσαν ἐξ αὐτῶν τὴν βουλὴν τοὺς τριακοσίους· ἔπειτα τὰς οὐσίας τῶν τυράννων εἰς τὸ κοινὸν ἅπασι τοῖς πολίταις φέροντες ἔθεσαν, συγχωρήσαντες ὅσον λάβοι τις ἐξ αὐτῶν ἔχειν· καὶ τὴν αὐτῶν γῆν ὅσην ἐκέκτηντο τοῖς μηδένα κλῆρον ἔχουσι διένειμαν, ἓν μόνον ἐξελόμενοι πεδίον, ὃ κεῖται μεταξὺ τῆς τε πόλεως καὶ τοῦ ποταμοῦ. τοῦτο δ' Ἄρεος ὑπάρχειν ἱερὸν οἱ πρότερον ἐψηφίσαντο ἵπποις τε λειμῶνα καὶ νέοις ἀσκοῦσι τὰς ἐνοπλίους μελέτας γυμνάσιον ἐπιτηδειότατον· ὅτι δὲ καὶ πρότερον ἱερὸν ἦν τοῦδε τοῦ θεοῦ, Ταρκύνιος δὲ σφετερισάμενος ἔσπειρεν αὐτὸ μέγιστον ἡγοῦμαι τεκμήριον εἶναι τὸ πραχθὲν ὑπὸ τῶν ὑπάτων τότε περὶ τοὺς 3 ἐν αὐτῷ καρπούς. ἅπαντα γὰρ ἐπιτρέψαντες τῷ δήμῳ τὰ τῶν τυράννων ἄγειν τε καὶ φέρειν, τὸν ἐν τούτῳ γενόμενον τῷ πεδίῳ σῖτον τὸν μὲν ἐπὶ ταῖς καλάμαις, τὸν δ' ἐπὶ ταῖς ἔτι ἅλωσιν κείμενον καὶ τὸν ἤδη κατειργασμένον οὐκ ἐπέτρεψαν οὐδενὶ φέρειν, ἀλλ' ὡς ἐξάγιστόν τε καὶ οὐχ ὡς ἐπιτήδειον εἰς οἰκίας εἰσενεχθῆναι, εἰς τὸν ποταμὸν καταβαλεῖν ἐψηφίσαντο. 4 καὶ ἔστι νῦν μνημεῖον ἐμφανὲς τοῦ ποτε ἔργου νῆσος εὐμεγέθης Ἀσκληπιοῦ ἱερά, περίκλυστος ἐκ τοῦ ποτα-

2 τῆς βουλῆς c. Kiessling 3 πᾶσι O 4 ὅσον ἂν O praeter B 8 οἱ] ὡς Ba 10 ἔτι δὲ O ὅτι δὲ Reiske 12 μέγιστον δ' ἡγοῦμαι O corr. Reiske τὸ πεδίον A | σῖτον ἐπὶ ABa σῖτον τὸν μὲν ἐπὶ Bb 17 ἐπικείμενον B ἔτι κείμενον R | τὸν δ' ἐπὶ O τόν τ' c. Stephanus σῖτον ἐπὶ ταῖς ἅλωσιν ἔτι κείμενον. τὸν μὲν ἐπὶ ταῖς καλάμαις, τὸν δ' ἤδη κατειργασμένον c. Sintenis Em. Dion. II 7 verba Schnellio duce Exerc. crit. p. 32 transposui 18 οὐδεν⟨ὶ⟩ B 19 καὶ οὐχ ὡς O καὶ οὐκ vel καὶ ὡς οὐκ c. Casaubonus καὶ οὐδαμῶς c. Reiske 21 τοῦ ποτὲ O τοῦ τότε Stephanus 22 ἐκ ποταμοῦ A

μοῦ, ἥν φασιν ἐκ τοῦ σωροῦ τῆς καλάμης σαπείσης καὶ ἔτι καὶ τοῦ ποταμοῦ προσλιπαίνοντος αὐτῇ ἰλὺν 876 γενέσθαι. καὶ τοῖς μετὰ τοῦ τυράννου πεφευγόσι Ῥωμαίων κάθοδον εἰς τὴν πόλιν ἐπ' ἀδείᾳ τε καὶ ἀμνηστίᾳ παντὸς ἁμαρτήματος ἔδωκαν χρόνον ὁρίσαντες ἡμερῶν εἴκοσιν· εἰ δὲ μὴ κατέλθοιεν ἐν ταύτῃ τῇ προθεσμίᾳ, τιμωρίας αὐτοῖς ὥρισαν ἀιδίους φυγὰς καὶ κτημάτων ὧν ἐκέκτηντο δημεύσεις. ταῦτα τῶν ἀνδρῶν 5 τὰ πολιτεύματα τοὺς μὲν ἀπολαύσαντας ἐκ τῆς οὐσίας τῶν τυράννων ὅτου δή τινος ὑπὲρ τοῦ μὴ ἀφαιρεθῆναι πάλιν ἃς ἔσχον ὠφελείας ἅπαντα κίνδυνον ἐποίησεν ὑπομένειν· τοὺς δὲ κατὰ δέος ὧν παρηνόμησαν ἐπὶ τῆς τυραννίδος μὴ δίκην ἀναγκασθεῖεν ὑπέχειν φυγῆς ἑαυτοῖς τιμησαμένους, ἀπαλλαγέντας τοῦ φόβου μηκέτι τὰ τῶν τυράννων, ἀλλὰ τὰ τῆς πόλεως φρονεῖν.

877 XIIII. Διαπραξάμενοι δὲ ταῦτα καὶ τὰ πρὸς τὸν πόλεμον εὐτρεπισάμενοι τέως μὲν ὑπὸ τῇ πόλει τὰς δυνάμεις συνεῖχον ἐν τοῖς πεδίοις ὑπὸ σημείοις τε καὶ ἡγεμόσι τεταγμένας καὶ τὰ πρὸς τὸν πόλεμον ἀσκούσας πυνθανόμενοι τοὺς φυγάδας ἐξ ἁπασῶν τῶν ἐν Τυρρηνίᾳ πόλεων ἀγείρειν ἐπὶ σφᾶς στρατόν, καὶ δύο μὲν πόλεις ἐκ τοῦ φανεροῦ συλλαμβάνειν αὐτοῖς τῆς καθόδου, Ταρκυνιήτας τε καὶ Οὐιεντανούς, ἀξιοχρέοις δυνάμεσιν ἀμφοτέρας, ἐκ δὲ τῶν ἄλλων ἐθελοντάς τινας, οὓς μὲν ὑπὸ φίλων παρασκευασθέντας, οὓς δὲ μισθο-

2 καὶ ἔτι O καί τι c. Casaubonus | αὐτῇ ἰλὺν AB αὐτὴν τῇ ἰλύι c. Kiessling 4 ἀμνηστίαν BbC 7 καὶ τοὺς B 10 ἀφαιρεῖσθαι B 11 πάντα O corr. Kiessling | ἐποίησεν O corr. Kiessling 13 ἐπὶ Sylburg ὑπὸ O | δίκην add. BC τιμὴν O φυγῆς Sintenis Em. Dion. II 18 Reiskio auctore 25 οὓς δὲ καὶ c. Reiske

φόρους· ἐπεὶ δ᾽ ἔμαθον ἐξεληλυθότας ἤδη τοὺς πολεμίους, ἀπαντᾶν αὐτοῖς ἔγνωσαν, καὶ πρὶν ἐκείνους διαβῆναι τὸν ποταμὸν αὐτοὶ τὰς δυνάμεις διαβιβάσαντες ἐχώρουν πρόσω, καὶ κατεστρατοπέδευσαν πλησίον Τυρρηνῶν ἐν λειμῶνι καλουμένῳ Ναιβίῳ παρὰ δρυ- 878
2 μὸν ἱερὸν ἥρωος Ὁρατίου. ἐτύγχανον δὲ πλήθει τε ἀγχώμαλοι μάλισθ᾽ αἱ δυνάμεις αὐτῶν οὖσαι καὶ προθυμίᾳ ὁμοίᾳ χωροῦσαι πρὸς τὸν ἀγῶνα ἀμφότεραι. πρώτη μὲν οὖν ἐγένετο τῶν ἱππέων μάχη βραχεῖά τις εὐθὺς ἅμα τῷ συνιδεῖν ἀλλήλους πρὶν ἢ τοὺς πεζοὺς καταστρατοπεδεύεσθαι, ἐν ᾗ διάπειραν ἀλλήλων λαβόντες καὶ οὔτε νικήσαντες οὔτε λειφθέντες πρὸς τοὺς ἑαυτῶν ἑκάτεροι χάρακας ἀπηλλάγησαν· ἔπειτα οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς ἀφ᾽ ἑκατέρων συνῄεσαν ταξάμενοι τὸν αὐτὸν ἀλλήλοις τρόπον, μέσην μὲν τὴν φάλαγγα τῶν πεζῶν ποιήσαντες, ἐπὶ δὲ τῶν κεράτων
3 ἀμφοτέρων τὴν ἵππον στήσαντες. ἡγεῖτο δὲ τοῦ μὲν δεξιοῦ Ῥωμαίων κέρατος Οὐαλέριος ὁ προσαιρεθεὶς ὕπατος ἐναντίαν στάσιν ἔχων Οὐιεντανοῖς, τοῦ δ᾽ εὐωνύμου Βροῦτος, καθ᾽ ὃ μέρος ἡ Ταρκυνιητῶν δύναμις 879
ἦν· ἡγεμόνες δ᾽ αὐτὴν ἐκόσμουν οἱ Ταρκυνίου τοῦ βασιλέως παῖδες.

XV. Μελλόντων δ᾽ αὐτῶν εἰς χεῖρας ἰέναι προελθὼν ἐκ τῆς τάξεως τῶν Τυρρηνῶν εἷς τῶν Ταρκυνίου παίδων, Ἄρρους ὄνομα, ῥωμήν τε κράτιστος καὶ

1 ἐπειδὴ δ᾽ c. Sylburg 4 καταστρατοπεδεύσαντες O κατεστρατοπέδευσαν vel κατεστρατοπεδεύσαντο c. Sylburg 5 καλουμένω ἲναιβίω B καλουμένῳ ναβίῳ C κ. οὐινίωι AD 6 ὁρατίου Bb ὁράτου ABa 19 οὐιουεντανοῖς B 25 Ἄρρου A Ἄρρος B corr. Kiessling | ῥωμήν τε κάλλιστος B μορφήν τε κάλλιστος R ῥωμήν τε κράτιστος Portus

ψυχὴν λαμπρότατος τῶν ἀδελφῶν, ἐγγὺς τῶν Ῥωμαίων
ἐλάσας τὸν ἵππον, ὅθεν μορφήν τε καὶ φωνὴν ἅπαν-
τες ἔμελλον αὐτοῦ συνήσειν, λόγους ὑβριστὰς εἰς τὸν
ἡγεμόνα τῶν Ῥωμαίων Βροῦτον ἀπερρίπτει, θηρίον
ἄγριον ἀποκαλῶν καὶ τέκνων αἵματι μιαρόν, ἀνανδρίαν
τ' ἐν ταὐτῷ καὶ δειλίαν ὀνειδίζων, καὶ τελευτῶν εἰς
880 τὸν ὑπὲρ ἁπάντων ἀγῶνα προὐκαλεῖτο μόνον αὐτῷ
συνοισόμενον. κἀκεῖνος οὐκ ἀξιῶν τοὺς ὀνειδισμοὺς 2
ὑπομένειν ἤλαυνε τὸν ἵππον ἐκ τῆς τάξεως, ὑπεριδὼν
καὶ τῶν ἀποτρεπόντων φίλων ἐπὶ τὸν κατεψηφισμένον
ὑπὸ τῆς μοίρας θάνατον ἐπειγόμενος. ὁμοίῳ δ' ἀμφό-
τεροι θυμῷ φερόμενοι καὶ λογισμὸν οὐχ ὧν πείσονται
λαβόντες, ἀλλ' ὧν ἐβούλοντο δρᾶσαι, συρράττουσι τοὺς
ἵππους ἐξ ἐναντίας ἐλαύνοντες καὶ φέρουσι ταῖς σαρί-
σαις ἀφύκτους κατ' ἀλλήλων πληγὰς ἀμφότεροι δι'
ἀσπίδων τε καὶ θωράκων, ὁ μὲν εἰς τὰ πλευρὰ βάψας
τὴν αἰχμήν, ὁ δ' εἰς τὰς λαγόνας· καὶ οἱ ἵπποι αὐτῶν
ἐμπλέξαντες τὰ στήθη τῇ ῥύμῃ τῆς φορᾶς ἐπὶ τοῖς
ὀπισθίοις ἀνίστανται ποσὶ καὶ τοὺς ἐπιβάτας ἀναχαι-
τίσαντες ἀποσείονται. οὕτω μὲν δὴ πεσόντες ἔκειντο 3
πολὺ διὰ τῶν τραυμάτων ἐκβάλλοντες αἷμα καὶ ψυχορ-
881 ραγοῦντες, αἱ δ' ἄλλαι δυνάμεις ὡς τοὺς ἡγεμόνας
εἶδον συμπεσόντας, ὠθοῦνται σὺν ἀλαλαγμῷ καὶ πα-
τάγῳ, καὶ γίνεται μέγιστος ἁπάντων ἀγὼν πεζῶν τε

2 πάντες O  3 συνοίσειν B  συννοήσειν c. Sylburg  συν-ήσειν R  5 ἀνανδρ⟨ί⟩αν B  6 τε ἐν ταὐτῷ A  ἐν ταὐτῷ Bb  ταὐτῷ Ba  τε αὐτῷ c. Kiessling  7 αὐτῷ O corr. Kiessling  9 ὑπεριδὼν καὶ O  καὶ transposuit post φίλων Kiessling  13 συ⟨να⟩ράττουσι B in extremo versu, συναράττουσι R  συρράττουσι c. Kiessling  14 σαρίσαις A  σαρίσσαις Bb  σαρισ αἶς Ba  15 ἀμφότεροι del. Bücheler  18 ἐμπλέξαντες] ἐμπλίξαντες c. Reiske  συμπλέξαντες c. Kiessling  20 οὕτω O  οὗτοι Sylburg

4 καὶ ἱππέων καὶ τύχη περὶ ἀμφοτέρους ὁμοία. Ῥωμαίων τε γὰρ οἱ τὸ δεξιὸν κέρας ἔχοντες, ἐφ' οὗ τεταγμένος ἦν ὁ ἕτερος τῶν ὑπάτων Οὐαλέριος, ἐνίκων τοὺς Οὐιεντανοὺς καὶ μέχρι τοῦ στρατοπέδου διώξαντες ἐπλήρωσαν νεκρῶν τὸ πεδίον, Τυρρηνῶν τε οἱ τὴν τοῦ δεξιοῦ κέρατος ἔχοντες στάσιν, ὧν ἡγοῦντο Τῖτος καὶ Σέξτος οἱ Ταρκυνίου τοῦ βασιλέως παῖδες, ἐτρέψαντο τοὺς ἐπὶ τοῦ λαιοῦ ὄντας Ῥωμαίων κέρατος, καὶ πλησίον τοῦ χάρακος αὐτῶν γενόμενοι πείρας μὲν οὐκ ἀπέστησαν, εἰ δύναιντο ἑλεῖν τὸ ἔρυμα ἐξ ἐφόδου, πολλὰς δὲ πληγὰς λαβόντες ὑποστάντων αὐτοὺς τῶν ἔνδον ἀπετράποντο. ἦσαν δ' αὐτοῦ φύλακες οἱ τριάριοι λεγόμενοι, παλαιοί τε καὶ πολλῶν ἔμπειροι πολέμων, οἷς ἐσχάτοις, ὅταν ἀπογνωσθῇ πᾶσα ἐλπίς, εἰς τοὺς περὶ τῶν μεγίστων ἀγῶνας καταχρῶνται.

XVI. Ἤδη δὲ περὶ καταφορὰν ὄντος ἡλίου πρὸς 882 τοὺς ἑαυτῶν ἀνέστρεψαν ἑκάτεροι χάρακας, οὐ τοσοῦτον ἐπὶ τῇ νίκῃ χαίροντες, ὅσον ἐπὶ τῷ πλήθει τῶν ἀπολωλότων ἀχθόμενοι καί, εἰ δεήσειεν αὐτοῖς ἑτέρας μάχης, οὐχ ἱκανοὺς ἡγούμενοι τὸν ἀγῶνα ἄρασθαι τοὺς περιλειπομένους σφῶν τραυματίας τοὺς πολλοὺς ὄντας.
2 πλείων δ' ἦν περὶ τοὺς Ῥωμαίους ἀθυμία καὶ ἀπόγνωσις τῶν πραγμάτων διὰ τὸν τοῦ ἡγεμόνος θάνατον· καὶ λογισμὸς εἰσῄει πολλοῖς, ὡς ἄμεινον εἴη σφίσιν ἐκλιπεῖν τὸν χάρακα πρὶν ἡμέραν γενέσθαι. τοιαῦτα δ' αὐτῶν διανοουμένων καὶ διαλεγομένων πρὸς ἀλλήλους περὶ τὴν πρώτην που μάλιστα φυλακὴν

1 ῥωμαῖοι B 8 ῥωμαίους Ba 14 πᾶσα ἄλλη ἐλπίς c. Kiessling 15 ἀγώνων A 20 αἱρεῖσθαι B 24 εἰςῄει Bb εἰςι . . ει Bα

κ τοῦ δρυμοῦ, παρ᾽ ὃν ἐστρατοπεδεύσαντο, φωνή τις
ἠκούσθη ταῖς δυνάμεσιν ἀμφοτέραις γεγονυῖα, ὥσθ᾽
ἅπαντας αὐτοὺς ἀκούειν εἴτε τοῦ κατέχοντος τὸ τέμε-
νος ἥρωος εἴτε τοῦ καλουμένου Φαύνου. τούτῳ γὰρ 3
ἀνατιθέασι τῷ δαίμονι Ῥωμαῖοι τὰ πανικὰ καὶ ὅσα
3φάσματα μορφὰς ἄλλοτε ἀλλοίας ἴσχοντα εἰς ὄψιν ἀν-
θρώπων ἔρχεται δείματα φέροντα, ἢ φωναὶ δαιμόνιοι
ταράττουσι τὰς ἀκοάς τούτου φασὶν εἶναι τοῦ θεοῦ
τὸ ἔργον. ἡ δὲ τοῦ δαιμονίου φωνὴ θαρρεῖν παρε-
κελεύετο τοῖς Ῥωμαίοις ὡς νενικηκόσιν, ἑνὶ πλείους
εἶναι τοὺς τῶν πολεμίων ἀποφαίνουσα νεκρούς. ταύτῃ
λέγουσι τῇ φωνῇ τὸν Οὐαλέριον ἐπαρθέντα νυκτὸς ἔτι
πολλῆς ἐπὶ τὸν χάρακα τῶν Τυρρηνῶν ὤσασθαι καὶ
πολλοὺς μὲν ἀποκτείναντα ἐξ αὐτῶν, τοὺς δὲ λοιποὺς
ἐκβαλόντα κρατῆσαι τοῦ στρατοπέδου.

XVII. Τοιοῦτο μὲν ἡ μάχη τέλος ἔλαβεν· τῇ δ᾽
ἑξῆς ἡμέρᾳ σκυλεύσαντες οἱ Ῥωμαῖοι τοὺς τῶν πολε-
884μίων νεκροὺς καὶ τοὺς ἑαυτῶν θάψαντες ἀπῄεσαν. τὸ
δὲ Βρούτου σῶμα ἀράμενοι μετὰ πολλῶν ἐπαίνων τε
καὶ δακρύων εἰς τὴν Ῥώμην ἀπεκόμιζον οἱ κράτιστοι
τῶν ἱππέων στεφάνοις κεκοσμημένον ἀριστείοις. ὑπήντα 2
δ᾽ αὐτοῖς ἥ τε βουλὴ θριάμβου καταγωγῇ ψηφισαμένη
κοσμῆσαι τὸν ἡγεμόνα, καὶ ὁ δῆμος ἅπας κρατῆρσι
καὶ τραπέζαις ὑποδεχόμενος τὴν στρατιάν. ὡς δ᾽ εἰς

2 γεγονυῖα O γεγωνοῦσα c. Reiske φωνή τις γέγονεν ὥσθ᾽ ἅπαντας αὐτοὺς ἀκούειν c. Schnelle Exerc. crit. p. 17 3 αὐτοὺς AB αὐτῆς R 6 φάσματα μορφὰς ἄλλοτε ἀλλοίας ἴσχοντα εἰς Ba φάσματα ἃ μ. ἀ. ἀ. ἰ. εἰς Bb φάσματα ἃ ὅτε ἀλλοίας ἴσχοντα μορφὰς εἰς R | ἄλλας c. Cobet Obs. p. 98 7 ἔρχονται O corr. Kiessling 8 ταράττουσι ABa ταράττουσαι Bb 19 τὸ δὲ τον. Βρούτου B

τὴν πόλιν ἀφίκοντο, πομπεύσας ὁ ὕπατος, ὡς τοῖς βασιλεῦσιν ἔθος ἦν, ὅτε τὰς τροπαιφόρους πομπάς τε καὶ θυσίας ἐπιτελοῖεν, καὶ τὰ σκῦλα τοῖς θεοῖς ἀναθείς, ἐκείνην μὲν τὴν ἡμέραν ἱερὰν ἀνῆκε καὶ τοὺς ἐπιφανεστάτους τῶν πολιτῶν ἑστιάσει [προθεὶς] ὑπεδέχετο· τῇ δ' ἑξῆς ἡμέρᾳ φαιὰν ἐσθῆτα λαβὼν καὶ τὸ Βρούτου σῶμα προθεὶς ἐν ἀγορᾷ κεκοσμημένον ἐπὶ στρωμνῆς ἐκπρεποῦς συνεκάλει τὸν δῆμον εἰς ἐκκλησίαν καὶ προελθὼν ἐπὶ τὸ βῆμα τὸν ἐπιτάφιον ἔλεξεν ἐπ' αὐτῷ λόγον.

3 εἰ μὲν οὖν Οὐαλέριος πρῶτος κατεστήσατο τὸν νόμον τόνδε Ῥωμαίοις ἢ κείμενον ὑπὸ τῶν βασιλέων παρέλαβεν, οὐκ ἔχω τὸ σαφὲς εἰπεῖν· ὅτι δὲ 885 Ῥωμαίων ἐστὶν ἀρχαῖον εὕρεμα τὸ παρὰ τὰς ταφὰς τῶν ἐπισήμων ἀνδρῶν ἐπαίνους τῆς ἀρετῆς αὐτῶν λέγεσθαι καὶ οὐχ Ἕλληνες αὐτὸ κατεστήσαντο πρῶτοι, παρὰ τῆς κοινῆς ἱστορίας οἶδα μαθών, ἣν ποιητῶν τε οἱ παλαιότατοι καὶ συγγραφέων οἱ λογιώτατοι παραδεδώκασιν.

4 ἀγῶνας μὲν γὰρ ἐπιταφίους τιθεμένους ἐπὶ τοῖς ἐνδόξοις ἀνδράσι γυμνικούς τε καὶ ἱππικοὺς ὑπὸ τῶν προσηκόντων ἱστορήκασιν, ὡς ὑπό τ' Ἀχιλλέως ἐπὶ Πατρόκλῳ καὶ ἔτι πρότερον ὑφ' Ἡρακλέους ἐπὶ Πέλοπι· ἐπαίνους δὲ λεγομένους ἐπ' αὐτοῖς οὐ γράφουσιν ἔξω τῶν Ἀθήνησι τραγῳδοποιῶν, οἳ κολακεύοντες τὴν πόλιν ἐπὶ τοῖς ὑπὸ Θησέως θαπτομένοις καὶ τοῦτ' ἐμύθευσαν. ὀψὲ γάρ ποτε Ἀθηναῖοι προσέθεσαν τὸν ἐπιτάφιον ἔπαινον τῷ νόμῳ, εἴτ' ἀπὸ τῶν 886 ἐπ' Ἀρτεμισίῳ καὶ περὶ Σαλαμῖνα καὶ ἐν Πλαταιαῖς

2 ὁπότε c. Cobet Obs. p. 98   4 ἱερὰν ἧκε A   5 εἰςτ..ασ.. Ba εἰστίασιν Bb | προθεὶς O del. Schnelle Exerc. crit. p. 19   15 πρῶτον O corr. Reiske

*ὑπὲρ τῆς πατρίδος ἀποθανόντων ἀρξάμενοι, εἴτ' ἀπὸ τῶν περὶ Μαραθῶνα ἔργων. ὑστερεῖ δὲ καὶ τὰ Μαραθώνια τῆς Βρούτου ταφῆς, εἰ δὴ ἀπὸ τούτων πρώτων ἤρξαντο οἱ ἔπαινοι λέγεσθαι τοῖς ἀπογενομένοις, ἑκ-*
*καίδεκα ἔτεσιν. εἰ δέ τις ἐάσας σκοπεῖν, οἵ τινες ἦσαν* 5
*οἱ πρῶτοι τοὺς ἐπιταφίους ἐπαίνους καταστησάμενοι, τὸν νόμον αὐτὸν ἐφ' ἑαυτοῦ βουληθείη καταμαθεῖν,*
887*παρ' ὁποτέροις ἄμεινον ἔχει, τοσούτῳ φρονιμώτερον*
*εὑρήσει παρὰ τοῖσδε κείμενον αὐτὸν ἢ παρ' ἐκείνοις, ὅσῳ γ' Ἀθηναῖοι μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις καταστήσασθαι τοὺς ἐπιταφίους ἀγορεύεσθαι λόγους δοκοῦσιν ἐκ μιᾶς τῆς περὶ τὸν θάνατον ἀρετῆς, κἂν τἆλλα φαῦλος γένηταί τις, ἐξετάζειν οἰόμενοι*
*δεῖν τοὺς ἀγαθούς· Ῥωμαῖοι δὲ πᾶσι τοῖς ἐνδόξοις* 6
*ἀνδράσιν, ἐάν τε πολέμων ἡγεμονίας λαβόντες ἐάν τε πολιτικῶν ἔργων προστασίας συνετὰ βουλεύματα καὶ πράξεις ἀποδείξωνται καλάς, ταύτην ἔταξαν εἶναι τὴν τιμήν, οὐ μόνον τοῖς κατὰ πόλεμον ἀποθανοῦσιν, ἀλλὰ καὶ τοῖς ὁποιαδήποτε χρησαμένοις τοῦ βίου τελευτῇ, ἐξ ἁπάσης τῆς περὶ τὸν βίον ἀρετῆς οἰόμενοι δεῖν ἐπαινεῖσθαι τοὺς ἀγαθούς, οὐκ ἐκ μιᾶς τῆς περὶ τὸν θάνατον εὐκλείας.*

XVIII. *Ἰούνιος μὲν δὴ Βροῦτος ὁ τὴν βασιλείαν ἐκβαλὼν καὶ πρῶτος ἀποδειχθεὶς ὕπατος, ὀψὲ μὲν εἰς ἐπιφάνειαν προελθών, ἀκαρῆ δὲ χρόνον ἀνθήσας ἐν*
888*αὐτῇ Ῥωμαίων ἁπάντων κράτιστος φανεὶς τοιαύτης*

2 *ἔργων* del. Bücheler | *δὲ τὰ Μαραθώνια καὶ* O corr. Sylburg 4 *ἐπὶ τοῖς* c. Kiessling 10 *ὅσω τε* B | *θαπτομένοις μόνοις* c. Kiessling 15 *δ' ἐφ' ἅπασι* O praeter B 16 *ἡγεμονίαν* O *ἡγεμονίας* Reiske | *ἐάν τι πολιτικῶν* B 18 *οὐ μόνον ἐν* O *ἐν* del. Reiske 25 *ἐπ' αὐτῇ* B

τελευτῆς ἔτυχε, γενεὰν οὔτε ἄρρενα καταλιπὼν οὔτε θήλειαν, ὡς οἱ τὰ Ῥωμαίων σαφέστατα ἐξητακότες γράφουσι, τεκμήρια πολλὰ μὲν καὶ ἄλλα τούτου φέροντες, ὑπὲρ ἅπαντα δ' ὃ δυσαντίλεκτόν ἐστιν, ὅτι τοῦ πατρικίων γένους ἐκεῖνος ἦν, οἱ δ' ἀπ' ἐκείνης αὐτοὺς λέγοντες εἶναι τῆς οἰκίας Ἰούνιοί τε καὶ Βροῦτοι πάντες ἦσαν πλήβειοι καὶ τὰς ἀρχὰς μετῄεσαν, ἃς τοῖς δημοτικοῖς μετιέναι νόμος, ἀγορανομίας τε καὶ δημαρχίας, ὑπατείαν δ' οὐδείς, ἧς τοῖς πατρικίοις
2 μετῆν. ὀψὲ δέ ποτε καὶ ταύτης ἔτυχον τῆς ἀρχῆς, ὅτε συνεχωρήθη καὶ τοῖς δημοτικοῖς αὐτὴν λαβεῖν. ἀλλ' 889
ὑπὲρ μὲν τούτων οἷς μέλει τε καὶ διαφέρει τὸ σαφὲς εἰδέναι παρίημι σκοπεῖν.

XVIIII. *Μετὰ δὲ τὴν Βρούτου τελευτὴν ὁ συνύπατος αὐτοῦ Οὐαλέριος ὕποπτος γίνεται τοῖς δημοτικοῖς ὡς βασιλείαν κατασκευαζόμενος· πρῶτον μὲν ὅτι μόνος κατέσχε τὴν ἀρχὴν δέον εὐθὺς ἑλέσθαι [τὸν] συνύπατον, ὥσπερ ὁ Βροῦτος ἐποίησε Κολλατῖνον ἐκβαλών· ἔπειθ' ὅτι τὴν οἰκίαν ἐν ἐπιφθόνῳ τόπῳ κατεσκευάσατο λόφον ὑπερκείμενον τῆς ἀγορᾶς ὑψηλὸν ἐπιεικῶς καὶ περίτομον, ὃν καλοῦσι Ῥωμαῖοι Οὐελίαν,*
*2 ἐκλεξάμενος. πυθόμενος δὲ παρὰ τῶν ἐπιτηδείων, ὅτι ταῦτα λυπεῖ τὸν δῆμον, ἀρχαιρεσιῶν προθεὶς ἡμέραν*

2 ὡς οἱ . . σαφέστατα ῥωμαίων Ba ὡς οἱ . . σα[β̄]φεστατα[τα] ῥω[ᾱ]μαίων ABb 7 πλήβειοι] δημοτικοὶ c. Schnelle Exerc. crit. p. 10 8 νόμος εἴα c. Stephanus 9 ἧς μόνοις τοῖς c. Cobet Obs. p. 98 ἧς οὐδενὶ πλὴν ἢ τοῖς c. Stephanus 10 τυχόντες B 12 μέλλει B 13 παρίημι σκοπεῖν τὸ σαφὲς εἰδέναι O corr. Stephanus 17 τὸν del. Reudler Tiroc. crit. p. 30 21 ἑλίαν O corr. Casaubonus

ὕπατον αἱρεῖται Σπόριον Λουκρήτιον, ὃς ¦οὐ πολλὰς
ἡμέρας τὴν ἀρχὴν κατασχὼν ἀποθνήσκει. εἰς δὲ τὸν
ἐκείνου τόπον καθίστησι Μάρκον Ὁράτιον, καὶ τὴν
890 οἰκίαν ἀπὸ τοῦ λόφου μετατίθεται κάτω, ἵν' ἐξείη Ῥω-
μαίοις, ὥς αὐτὸς ἐκκλησιάζων ἔφη, βάλλειν αὐτὸν ἄνω-
θεν ἀπὸ τοῦ μετεώρου τοῖς λίθοις, ἐάν τι λάβωσιν
ἀδικοῦντα. βεβαίαν τε πίστιν ὑπὲρ τῆς ἐλευθερίας 3
τοὺς δημοτικοὺς λαβεῖν βουλόμενος ἀφεῖλεν ἀπὸ τῶν
ῥάβδων τοὺς πελέκεις, καὶ κατεστήσατο τοῖς μεθ' ἑαυ-
τὸν ὑπάτοις ἔθος, ὃ καὶ μέχρι τῆς ἐμῆς διέμεινεν ἡλι-
κίας, ὅταν ἔξωθεν τῆς πόλεως γένωνται χρῆσθαι τοῖς
πελέκεσιν, ἔνδον δὲ ταῖς ῥάβδοις κοσμεῖσθαι μόναις·
νόμους τε φιλανθρωποτάτους ἔθετο βοηθείας ἔχοντας 4
τοῖς δημοτικοῖς· ἕνα μέν, ἐν ᾧ διαρρήδην ἀπεῖπεν
ἄρχοντα μηδένα εἶναι Ῥωμαίων, ὃς ἂν μὴ παρὰ τοῦ
δήμου λάβῃ τὴν ἀρχήν, θάνατον ἐπιθεὶς ζημίαν, ἐάν
τις παρὰ ταῦτα ποιῇ, καὶ τὸν ἀποκτείναντα τούτων
τινὰ ποιῶν ἀθῷον· ἕτερον δ', ἐν ᾧ γέγραπται, Ἐὰν
τις ἄρχων Ῥωμαίων τινὰ ἀποκτείνειν ἢ μαστιγοῦν ἢ
891 ζημιοῦν εἰς ¦χρήματα θέλῃ, ἐξεῖναι τῷ ἰδιώτῃ προκα-
λεῖσθαι τὴν ἀρχὴν ἐπὶ τὴν τοῦ δήμου κρίσιν, πάσχειν
δ' ἐν τῷ μεταξὺ χρόνῳ μηδὲν ὑπὸ τῆς ἀρχῆς, ἕως ἂν
ὁ δῆμος ὑπὲρ αὐτοῦ ψηφίσηται. ἐκ τούτων γίνεται 5
τῶν πολιτευμάτων τίμιος τοῖς δημοτικοῖς, καὶ τίθενται
αὐτῷ ἐπωνύμιον Ποπλικόλαν· τοῦτο κατὰ τὴν Ἑλλή-
νων διάλεκτον βούλεται δηλοῦν δημοκηδῆ. καὶ τὰ μὲν

6 ὑπὸ Ba ἀπὸ ABb ἄνωθεν vel ἀπὸ τοῦ μετεώρου del. Garrer Obs. p. 37 12 κοσμεῖεν μόνως B 13 ἔχοντας] παρέχοντας c. Kiessling ἄγοντας c. Grasberger Philologus t. XXVIII (1869) p. 552 19 Ῥωμαῖόν τινα c. Cobet Obs. p. 98 | ἡμᾶς τιγοῦν Ba 24 τίθενται B

ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ συντελεσθέντα ὑπὸ τῶν ὑπάτω τοιάδε ἦν·

XX. Τῷ δ' ἑξῆς αὐτός τε πάλιν ἀποδείκνυται Οὐα λέριος τὸ δεύτερον ὕπατος καὶ σὺν αὐτῷ Λουκρήτιο ἐφ' ὧν ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ἐπράχθη, τιμήσει δ' ἐγένοντο τῶν βίων καὶ τάξεις τῶν εἰς τοὺς πολ μους εἰσφορῶν, ὡς Τύλλιος ὁ βασιλεὺς ἐνομοθέτησ πάντα τὸν ἐπὶ τῆς Ταρκυνίου δυναστείας χρόνον ἀφε μέναι, τότε δὲ πρῶτον ὑπὸ τούτων ἀνανεωθεῖσαι· - ὧν εὑρέθη τῶν ἐν ἥβῃ Ῥωμαίων περὶ τρισκαίδεκ μυριάδας. καὶ εἰς χωρίον τι Σιγνούριον καλούμενο Ῥωμαίων ἀπεστάλη στρατιά, διὰ φυλακῆς ἕξουσα τ φρούριον ἐπὶ ταῖς Λατίνων τε καὶ Ἑρνίκων πόλε κείμενον, ὅθεν τὸν πόλεμον προσεδέχοντο.

XXI. Ποπλίου δὲ Οὐαλερίου τοῦ προσαγορευθέν τος Ποπλικόλα τὸ τρίτον ἐπὶ τὴν αὐτὴν ἀποδειχθέντο ἀρχὴν καὶ σὺν αὐτῷ Μάρκου Ὁρατίου Πολβίλλου τ δεύτερον βασιλεὺς Κλουσινῶν τῶν ἐν Τυρρηνίᾳ Λάρο ὄνομα, Πορσίνας ἐπίκλησιν, καταφυγόντων ἐπ' αὐτὸ Ταρκυνίων, ὑποσχόμενος αὐτοῖς δυεῖν θάτερον ἢ δι αλλάξειν αὐτοὺς πρὸς τοὺς πολίτας ἐπὶ καθόδῳ κα ἀναλήψει τῆς ἀρχῆς ἢ τὰς οὐσίας ἀνακομισάμενος, ὁ ἀφῃρέθησαν, ἀποδώσειν, ἐπειδὴ πρέσβεις ἀποστείλα εἰς τὴν Ῥώμην ἐν τῷ παρελθόντι ἐνιαυτῷ μεμιγμένο ἀπειλαῖς ἐπικλήσεις κομίζοντας οὔτε διαλλαγὰς εὗρει

10 εὑρέθησαν — μυριάδες c. Cobet l. l. 11 μυριάδες A *τισιοννύριον B συγνήριον A (σιγλιουρίαν apud Plutarch. Pop c. 16) 16 τὸ om. B 18 κλουσίων A κολουσίνων B 1 Πορσῖνος AB 22 ἀναλή.ψει B 24 πρὸς τὴν πόλιν B παρόντι B | παρακλήσεις c. Sylburg

τοῖς ἀνδράσι καὶ κάθοδον, αἰτιωμένης τῆς βουλῆς τὰς
ἀρὰς καὶ τοὺς ὅρκους τοὺς γενομένους κατ' αὐτῶν,
οὔτε τὰς οὐσίας ἀνεπράξατο αὐτοῖς, τῶν διανειμαμέ-
νων καὶ κατακληρουχησάντων αὐτὰς οὐκ ἀξιούντων
ἀποδιδόναι· ὑβρίζεσθαι φήσας ὑπὸ Ῥωμαίων καὶ δεινὰ 2
πάσχειν, ὅτι τῶν ἀξιουμένων οὐδετέρου παρ' αὐτῶν
ἔτυχεν, ἀνὴρ αὐθάδης καὶ διεφθαρμένος τὴν γνώμην
ὑπό τε πλούτου καὶ χρημάτων καὶ ἀρχῆς μεγέθους,
ἀφορμὰς ὑπέλαβεν ἔχειν καλὰς καταλῦσαι τὴν Ῥωμαίων
ἀρχὴν παλαίτερον ἔτι τοῦτο βουλόμενος καὶ προεῖπεν
αὐτοῖς τὸν πόλεμον. συνήρετο δ' αὐτῷ τοῦ πολέμου 3
πᾶσαν προθυμίαν ἀποδεῖξαι βουλόμενος ὁ Ταρκυνίου
γαμβρὸς Ὀκταούιος Μαμίλιος, ἐκ πόλεως ὁρμώμενος
Τύσκλου, Καμερίνους μὲν καὶ Ἀντεμνάτας, οἳ τοῦ Λα-
τίνων μετεῖχον γένους, ἅπαντας ἐπαγόμενος ἀφεστη-
894 κότας ἤδη Ῥωμαίων ἐκ τοῦ φανεροῦ· παρὰ δὲ τῶν
ἄλλων ὁμοεθνῶν, οἷς οὐκ ἦν βουλομένοις πολεμεῖν
ἀναφανδὸν ἐνσπόνδῳ τε καὶ μεγάλην ἰσχὺν ἐχούσῃ
πόλει διὰ προφάσεις οὐκ ἀναγκαίας, ἐθελοντὰς συχνοὺς
ἰδίᾳ πεπεικὼς χάριτι.

XXII. Ταῦτα μαθόντες οἱ τῶν Ῥωμαίων ὕπατοι πρῶτον μὲν τὰ ἐκ τῶν ἀγρῶν χρήματά τε καὶ βοσκήματα καὶ ἀνδράποδα μετάγειν τοῖς γεωργοῖς ἐκέλευσαν εἰς τὰ πλησίον ὄρη φρούρια κατασκευάσαντες ἐπὶ τοῖς ἐρυμνοῖς ἱκανὰ σώζειν τοὺς εἰς αὐτὰ καταφυγόντας· ἔπειτα τὸν καλούμενον Ἰανίκολον ὄχθον· ἔστι δὲ τοῦτ'

2 ἀρ.ὰς B 8 μεγίστης O praeter B 12 ἀποδείξασθαι c. Garrer Obs. p. 22 13 Ὀκταύιος B 14 Τούσκλον B | κ ἀμερίμνους Ba καμερηνοὺς Bb 20 διαπεπεικὼς O ἰδίᾳ πεπεικὼς Reiske 22 τε add. B

ὄρος ὑψηλὸν ἀγχοῦ τῆς Ῥώμης πέραν τοῦ Τεβέριος ποταμοῦ κείμενον· ὀχυρωτέραις ἐκρατύναντο κατασκευαῖς τε καὶ φυλακαῖς, περὶ παντὸς ποιούμενοι μὴ γενέσθαι τοῖς πολεμίοις ⟨τὸ⟩ ἐπίκαιρον χωρίον ἐπιτείχισμα κατὰ τῆς πόλεως, καὶ τὰς εἰς τὸν πόλεμον παρασκευὰς ἐνταῦθ' ἀπέθεντο· τά τ' ἐντὸς τείχους ἐπὶ τὸ δημοτικώτερον καθίσταντο πολλὰ πολιτευόμενοι
φιλάνθρωπα πρὸς τοὺς πένητας, ἵνα μὴ μεταβάλοιντο 891
πρὸς τοὺς τυράννους ἐπὶ τοῖς ἰδίοις κέρδεσι πεισθέν-
2 τες προδοῦναι τὸ κοινόν· καὶ γὰρ ἀτελεῖς αὐτοὺς ἁπάντων ἐψηφίσαντο εἶναι τῶν κοινῶν τελῶν, ὅσα βασιλευομένης τῆς πόλεως ἐτέλουν, καὶ ἀνεισφόρους τῶν εἰς τὰ στρατιωτικὰ καὶ τοὺς πολέμους ἀναλισκομένων ἐποίησαν, μέγα κέρδος ἡγούμενοι τοῖς κοινοῖς, εἰ τὰ σώματα μόνον αὐτῶν ἕξουσι προκινδυνεύοντα τῆς πατρίδος· τήν τε δύναμιν ἠσκημένην ἐκ πολλοῦ καὶ παρεσκευασμένην ἔχοντες ἐν τῷ προκειμένῳ τῆς πόλεως
3 ἐστρατοπεδεύοντο πεδίῳ. βασιλεὺς δὲ Πορσίνας ἄγων τὴν στρατιὰν τὸ μὲν Ἰανίκολον ἐξ ἐφόδου καταλαμβάνεται καταπληξάμενος τοὺς φυλάττοντας αὐτὸ καὶ φρουρὰν Τυρρηνῶν ἐν αὐτῷ καθίστησιν· ἐπὶ δὲ τὴν πόλιν ἐλαύνων ὡς καὶ ταύτην δίχα πόνου παραστησόμενος, ἐπειδὴ πλησίον τῆς γεφύρας ἐγένετο καὶ τοὺς Ῥωμαίους ἐθεάσατο προκαθημένους τοῦ ποταμοῦ, παρε-

4 χωρίον del. Reiske | ἐπιτειχίσαι c. Bücheler et Kiessling, χωρίον ἐπίκαιρον uncis seclusit Kayser Ann. phil. 1866 p. 45 ἐπίκαιρον τὸ χωρίον ἐπιτείχισμα c. Grasberger Tess. Herbip. p. 23 τὸ ante ἐπίκαιρον addidi 14 ἐποίησαν del. Reudler Tiroc. p. 40 20 καὶ καταπληξάμενος A | καὶ om. A 22 καὶ ταύτην B καὶ αὐτὴν R | παραλειψόμενος Ba παραληψόμενος Bb

896σκευάζετό τε πρὸς μάχην ὡς ἀναρπασόμενος αὐτοὺς
πλήθει καὶ ἐπῆγε σὺν πολλῇ καταφρονήσει τὴν δύνα-
μιν. εἶχον δὲ τὴν ἡγεμονίαν τοῦ μὲν ἀριστεροῦ κέρως 4
οἱ Ταρκυνίου παῖδες, Σέξτος καὶ Τῖτος, Ῥωμαίων τ'
αὐτῶν τοὺς φυγάδας ἄγοντες καὶ ἐκ τῆς Γαβίων πό-
λεως τὸ ἀκμαιότατον ξένων τε καὶ μισθοφόρων χεῖρα
οὐκ ὀλίγην· τοῦ δὲ δεξιοῦ Μαμίλιος ὁ Ταρκυνίου
κηδεστής, ἐφ' οὗ Λατίνων οἱ ἀποστάντες Ῥωμαίων
ἐτάξαντο· βασιλεὺς δὲ Πορσίνας κατὰ μέσην τὴν φά-
λαγγα ἐτέτακτο. Ῥωμαίων δὲ τὸ μὲν δεξιὸν κέρας 5
Σπόριος Λάρκιος καὶ Τῖτος Ἑρμίνιος κατεῖχον ἐναν-
τίοι Ταρκυνίοις· τὸ δ' ἀριστερὸν Μάρκος Οὐαλέριος
ἀδελφὸς θατέρου τῶν ὑπάτων Ποπλικόλα καὶ Τῖτος
Λουκρήτιος ὁ τῷ πρόσθεν ὑπατεύσας ἔτει Μαμιλίῳ καὶ
Λατίνοις συνοισόμενοι· τὰ δὲ μέσα τῶν κεράτων οἱ
ὕπατοι κατεῖχον ἀμφότεροι.

897 XXIII. Ὡς δὲ συνῆλθον εἰς χεῖρας, ἐμάχοντο γεν-
ναίως καὶ πολὺν ἀντεῖχον ἀμφότεροι χρόνον· ἐμπειρίᾳ
μὲν καὶ καρτερίᾳ κρείττους ὄντες οἱ Ῥωμαῖοι τῶν
ἐναντίων, πλήθει δὲ κρατοῦντες τῶν Ῥωμαίων οἱ Τυρ-
ρηνοί τε καὶ Λατῖνοι μακρῷ. πολλῶν δὲ πεσόντων
ἀφ' ἑκατέρων δέος εἰσέρχεται Ῥωμαίους, πρῶτον μὲν
τοὺς κατέχοντας τὸ ἀριστερὸν κέρας, ἐπειδὴ τοὺς ἡγε-
μόνας ἐθεάσαντο Οὐαλέριόν τε καὶ Λουκρήτιον τραυ-
ματίας ἀποκομισθέντας ἐκ τῆς μάχης· ἔπειτα καὶ τοὺς
ἐπὶ τοῦ δεξιοῦ κέρατος τεταγμένους νικῶντας ἤδη τὴν
σὺν Ταρκυνίοις δύναμιν τὸ αὐτὸ καταλαμβάνει πάθος,
ὁρῶντας τὴν τροπὴν τῶν ἑτέρων. φευγόντων δ' εἰς 2

5 Γαβίνων Bb 8 ἀφ' οὗ A ἐξ. οὗ B ὑφ' ᾧ c. Sylburg | ἀπὸ Ῥωμαίων B 24 Ὁράτιον O praeter D 28 ἑταίρων Bb

τὴν πόλιν ἁπάντων καὶ διὰ μιᾶς γεφύρας βιαζομένων ἀθρόων ὁρμὴ γίνεται τῶν πολεμίων ἐπ' αὐτοὺς μεγάλη, ὀλίγου τε πάνυ ἡ πόλις ἐδέησεν ἁλῶναι κατὰ κράτος ἀτείχιστος οὖσα ἐκ τῶν παρὰ τὸν ποταμὸν μερῶν, εἰ συνεισέπεσον εἰς αὐτὴν ἅμα τοῖς φεύγουσιν οἱ διώ- 89b
κοντες. οἱ δὲ τὴν ὁρμὴν τῶν πολεμίων ἐπισχόντες καὶ διασώσαντες ὅλην τὴν στρατιὰν τρεῖς ἄνδρες ἐγένοντο, Σπόριος μὲν Λάρκιος καὶ Τῖτος Ἑρμίνιος οἱ τὸ δεξιὸν ἔχοντες κέρας ἐκ τῶν πρεσβυτέρων, Πόπλιος δ' Ὁράτιος ὁ καλούμενος Κόκλης ἐκ τοῦ κατὰ τὴν ὄψιν ἐλαττώματος ἐκκοπεὶς ἐν μάχῃ τὸν ἕτερον ὀφθαλμὸν ἐκ τῶν νεωτέρων, μορφήν τε κάλλιστος ἀνθρώπων καὶ
3 ψυχὴν ἄριστος. οὗτος ἀδελφιδοῦς μὲν ἦν Ὁρατίου Μάρκου θατέρου τῶν ὑπάτων, τὸ δὲ γένος κατῆγεν ἀφ' ἑνὸς τῶν τριδύμων Ὁρατίου Μάρκου τοῦ νικήσαντος τοὺς Ἀλβανοὺς τριδύμους, ὅτε περὶ τῆς ἡγεμονίας αἱ πόλεις εἰς πόλεμον καταστᾶσαι συνέβησαν μὴ πάσαις ἀποκινδυνεῦσαι ταῖς δυνάμεσιν, ἀλλὰ τρισὶν ἀνδράσιν ἀφ' ἑκατέρας, ὡς ἐν τοῖς προτέροις δεδήλωκα
4 λόγοις. οὗτοι δὴ μόνοι κατὰ νώτου λαβόντες τὴν γέφυραν εἶργον τῆς διαβάσεως τοὺς πολεμίους μέχρι πολλοῦ καὶ διέμενον ἐπὶ τῆς αὐτῆς στάσεως βαλλόμενοί θ' ὑπὸ πολλῶν παντοδαποῖς βέλεσι καὶ ἐκ χειρὸς παιόμενοι τοῖς ξίφεσιν, ἕως ἅπασα ἡ στρατιὰ διῆλθε τὸν ποταμόν.

XXIIII. Ὡς δ' ἐν ἀσφαλεῖ τοὺς σφετέρους ἔδοξαν 89

3 πάλιν AB πάνυ c. Sylburg 4 τὸν add. B 10 ὅκλης A ὀκλῆς B 12 *μορφῇ O μορφὴν ego | ἀνθρώπων] ἁπάντων c. Kiessling 14 τὸ δ' εὐγενὲς O τὸ δὲ γένος Reiske 21 ἀνεῖργον c. Kiessling 22 βάσεως O στάσεως Sintenis Em. Dion. II 18 23 ὑπὸ πολεμίων c. Kiessling

γεγονέναι, δύο μὲν ἐξ αὐτῶν Ἑρμίνιός τε καὶ Λάρκιος διεφθαρμένων αὐτοῖς ἤδη τῶν σκεπαστηρίων διὰ τὰς συνεχεῖς πληγὰς ἀνεχώρουν ἐπὶ πόδα. Ὁράτιος δὲ μόνος ἀνακαλουμένων αὐτὸν ἀπὸ τῆς πόλεως τῶν θ' ὑπάτων καὶ τῶν ἄλλων πολιτῶν καὶ περὶ παντὸς ποιουμένων σωθῆναι τοιοῦτον ἄνδρα τῇ πατρίδι καὶ τοῖς γειναμένοις οὐκ ἐπείσθη, ἀλλ' ἔμενεν, ἔνθα τὸ πρῶτον ἔστη, κελεύσας τοῖς περὶ τὸν Ἑρμίνιον λέγειν πρὸς τοὺς ὑπάτους, ὡς αὐτοῦ φράσαντος, ἀποκόπτειν τὴν γέφυραν ἀπὸ τῆς πόλεως ἐν τάχει· ἦν δὲ μία κατ' ἐκείνους τοὺς χρόνους ξυλόφρακτος ἄνευ σιδήρου δεδεμένη ταῖς σανίσιν αὐταῖς, ἣν καὶ μέχρις ἐμοῦ τοιαύτην φυλάττουσι Ῥωμαῖοι· ἐπιστεῖλαι δὲ τοῖς ἀνδράσιν, ὅταν τὰ πλείω τῆς γεφύρας λυθῇ καὶ βραχὺ τὸ λειπόμενον ᾖ μέρος, φράσαι πρὸς αὐτὸν σημείοις τισὶν ἢ φωνῇ γεγωνοτέρᾳ· τὰ λοιπὰ λέγων ἑαυτῷ μελήσειν. ταῦτ' ἐπικελευσάμενος τοῖς δυσὶν ἐπ' αὐτῆς ἵσταται 2 τῆς γεφύρας καὶ τῶν ὁμόσε χωρούντων οὓς μὲν τῷ
900 ξίφει παίων, οὓς δὲ τῷ θυρεῷ περιτρέπων πάντας ἀνέστειλε τοὺς ὁρμήσαντας ἐπὶ τὴν γέφυραν· οὐκέτι γὰρ εἰς χεῖρας αὐτῷ χωρεῖν ἐτόλμων οἱ διώκοντες ὡς μεμηνότι καὶ θανατῶντι· καὶ ἅμα οὐδὲ ῥᾴδιον αὐτῷ προσελθεῖν ὑπάρχον ἐξ εὐωνύμων μὲν καὶ δεξιῶν ἔχοντι πρόβλημα τὸν ποταμόν, ἐκ δὲ τοῦ κατὰ πρόσωπον ὅπλων τε καὶ νεκρῶν σωρόν· ἀλλ' ἄπωθεν ἑστῶτες ἀθρόοι λόγχαις τε καὶ σαυνίοις καὶ λίθοις χειροπλη-

3 ἐχώρουν O ἀνεχώρουν Cobet Obs. p. 99 | ὑπὸ B ὑπὸ R 13 ἐπιστεῖλαι O ἐπιστείλας c. Reiske ἐπέστειλε c. Bücheler 15 αὐτὸν ABb ἑαυτὸν Ba 20 ἀνέστελλε c. Grasberger Tess. Herbip. p. 24 21 γὰρ] ἄρ' c. Kiessling Pr. Bas. p. 14 22 οὔτε O οὐδὲ Reiske

θέσιν ἔβαλλον, οἷς δὲ μὴ παρῆν ταῦτα τοῖς ξίφεσι καὶ
3 ταῖς ἀσπίσι τῶν νεκρῶν. ὁ δ' ἠμύνετο τοῖς ἐκείνων
χρώμενος ὅπλοις κατ' αὐτῶν καὶ ἔμελλεν ὥσπερ εἰκὸς
εἰς ἀθρόους βάλλων ἀεί τινος τεύξεσθαι σκοποῦ. ἤδη
δὲ καταβελὴς ὢν καὶ τραυμάτων πλῆθος ἐν πολλοῖς
μέρεσι τοῦ σώματος ἔχων, μίαν δὲ πληγὴν λόγχης ἣ
διὰ θατέρου τῶν γλουτῶν ὑπὲρ τῆς κεφαλῆς τοῦ μη-
ροῦ ἀντία ἐνεχθεῖσα ἐκάκωσεν αὐτὸν ὀδύναις καὶ τὴν
βάσιν ἔβλαπτεν, ἐπειδὴ τῶν κατόπιν ἤκουσεν ἐμβοη- 901
σάντων λελύσθαι τῆς γεφύρας τὸ πλέον μέρος, καθάλ-
λεται σὺν τοῖς ὅπλοις εἰς τὸν ποταμὸν καὶ διανηξά-
μενος τὸ ῥεῦμα χαλεπῶς πάνυ· περὶ γὰρ τοῖς ὑπε-
ρείσμασι τῶν σανίδων σχιζόμενος ὁ ῥοῦς ὀξὺς ἦν καὶ
δίνας ἐποίει μεγάλας· ἐξεκολύμβησεν εἰς τὴν γῆν οὐδὲν
τῶν ὅπλων ἐν τῷ νεῖν ἀποβαλών.

XXV. Τοῦτο τὸ ἔργον ἀθάνατον αὐτῷ δόξαν εἰργά-
σατο. παραχρῆμά τε γὰρ οἱ Ῥωμαῖοι στεφανώσαντες
αὐτὸν ἀπέφερον εἰς τὴν πόλιν ὑμνοῦντες ὡς τῶν ἡρώων
ἕνα, καὶ πᾶς ὁ κατοικίδιος ὄχλος ἐξεχεῖτο ποθῶν αὐ-
τόν, ἕως ἔτι περιῆν, θεάσασθαι τὴν τελευταίαν πρόσ-
οψιν· ἐδόκει γὰρ ὑπὸ τῶν τραυμάτων οὐκ εἰς μακρὰν
2 διαφθαρήσεσθαι· καὶ ἐπειδὴ διέφυγε τὸν θάνατον, εἰ-
κόνα χαλκῆν ἔνοπλον ὁ δῆμος ἔστησεν αὐτοῦ τῆς ἀγο- 9[illegible]
ρᾶς ἐν τῷ κρατίστῳ καὶ χώραν ἐκ τῆς δημοσίας ἔδω-
κεν, ὅσην αὐτὸς ἐν ἡμέρᾳ μιᾷ ζεύγει βοῶν περιαρόσει·
χωρὶς δὲ τῶν δημοσίᾳ δοθέντων κατὰ κεφαλὴν ἑκα-

1 παρῆν Bb παρ..η Ba παρείη R 9 ἐπεὶ δὲ AB ἐπειδὴ Portus 10 καθάλλεται B καθέλκεται R detrahitur Lapus 14 δεινὰς Ba δινὰς R 16 ἀπειργάσατο c. Kiessling 25 ὅσην ἂν — περιαρόσῃ c. Kiessling

τος ἀνδρῶν τε καὶ γυναικῶν, ὅτε μάλιστα δεινὴ σπά-
ις τῶν ἀναγκαίων [ἐπιτηδείων] ἅπαντας κατεῖχε, μιᾶς
μέρας τροφὴν ἐχαρίσαντο μυριάδες ἀνθρώπων αἱ
ύμπασαι πλείους ἢ τριάκοντα. Ὁράτιος μὲν δὴ τοι- 3
ύτην ἀποδειξάμενος ἀρετὴν ἐν τῷ τότε χρόνῳ ζηλω-
ὸς μὲν εἴ καί τις ἄλλος Ῥωμαίων ἐγένετο, ἄχρηστος
' εἰς τὰ λοιπὰ πράγματα τῆς πόλεως διὰ τὴν πήρω-
ν τῆς βάσεως· καὶ διὰ τὴν συμφορὰν ταύτην οὔθ'
τατείας οὔτ' ἄλλης ἡγεμονίας στρατιωτικῆς οὐδεμιᾶς
υχεν. οὗτός τε δὴ θαυμαστὸν ἔργον ἀποδειξάμενος 4
τῷ τότε ἀγῶνι Ῥωμαίοις ἄξιος εἴπερ τις καὶ ἄλλος
ν ἐπ' ἀνδρείᾳ διονομασθέντων ἐπαινεῖσθαι, καὶ ἔτι
ὸς τούτῳ Γάιος Μούκιος, ᾧ Κόρδος ἐπωνύμιον ἦν,
ὴρ ἐξ ἐπιφανῶν πατέρων καὶ αὐτὸς ἐγχειρήματι ἐπι-
λόμενος μεγάλῳ, περὶ οὗ μικρὸν ὕστερον ἐρῶ διη-
σάμενος πρῶτον, ἐν οἵαις ἡ πόλις ἦν τότε συμφοραῖς.

XXVI. Μετὰ γὰρ τὴν μάχην ἐκείνην ὁ μὲν Τυρ-
νῶν βασιλεὺς ἐν τῷ πλησίον ὄρει καταστρατοπεδευ-
μενος, ὅθεν τὴν Ῥωμαίων φρουρὰν ἐξέβαλε, τῆς
ἐκεινα τοῦ Τεβέριος ποταμοῦ χώρας ἁπάσης ἐκράτει.
δὲ Ταρκυνίου παῖδες καὶ ὁ κηδεστὴς αὐτοῦ Μαμί-
ος σχεδίαις τε καὶ σκάφαις διαβιβάσαντες τὰς ἑαυ-
ν δυνάμεις ἐπὶ θάτερα μέρη τοῦ ποταμοῦ τὰ πρὸς
ν Ῥώμην φέροντα ἐν ἐχυρῷ τίθενται χωρίῳ τὸν
ρακα· ὅθεν ὁρμώμενοι τῶν τε Ῥωμαίων ἐδῄουν τὴν
ν καὶ ⟨τὰς⟩ αὐλὰς κατέσκαπτον καὶ τοῖς ἐπὶ νομὰς

2 ἐπιτηδείων del. Kiessling 7 πόρωσιν A πήρωσιν R βλέψεως B βάσεως R 11 ὥσπέρ τις AB εἴπερ τις D 13 ὀδρος ABb κ.δρος Ba Κόρδος Lapus et Gelenius | ἐπώνυ-ν O corr. Kiessling 14 ἐξ B ἐν A om. R 16 ἐν οἷς ἡ πόλις τότε δεινοῖς O praeter B 26 τὰς add. Reiske

ἐξιοῦσιν ἐκ τῶν ἐρυμάτων βοσκήμασιν ἐπετίθεντο. 2 κρατουμένης δὲ τῆς ὑπαίθρου πάσης ὑπὸ τῶν πολεμίων, καὶ οὔτ' ἐκ γῆς εἰσκομιζομένων εἰς τὴν πόλιν τῶν ἀγορῶν οὔτε μὴν διὰ τοῦ ποταμοῦ καταγομένων ὅτι μὴ σπανίων, ταχεῖα τῶν ἀναγκαίων σπάνις ἐγένετο οἷα 904 μυριάσι πολλαῖς τὰ παρασκευασθέντα οὐ πολλὰ ὄντα δαπανώσαις. 3 καὶ μετὰ τοῦθ' οἱ θεράποντες πολλοὶ καταλιπόντες τοὺς δεσπότας ηὐτομόλουν ὁσημέραι, καὶ ἐκ τοῦ δημοτικοῦ πλήθους οἱ πονηρότατοι πρὸς τοὺς Τυρρηνοὺς ἀφίσταντο· ταῦθ' ὁρῶσι τοῖς ὑπάτοις ἔδοξε Λατίνων μὲν δεῖσθαι τῶν ἔτι αἰδουμένων τὸ συγγενὲς καὶ μένειν δοκούντων ἐν τῇ φιλίᾳ συμμαχίας σφίσι πέμψαι διὰ ταχέων, εἰς δὲ τὴν Καμπανίδα Κύμην καὶ τὰς ἐν τῷ Πωμεντίνῳ πεδίῳ πόλεις ἀποστεῖλαι πρέσβεις ἀξιώσοντας αὐτὰς σίτου σφίσιν ἐξαγωγὴν ἐπιτρέψαι. 4 Λατῖνοι μὲν οὖν διεκρούσαντο τὴν ἐπικουρίαν, ὡς οὐχ ὅσιον αὐτοῖς ὂν οὔτε Ταρκυνίοις πολεμεῖν οὔτε Ῥωμαίοις, ἐπειδὴ κοινῇ συνέθεντο πρὸς ἀμφοτέρους τὰ περὶ τῆς φιλίας ὅρκια· ἐκ δὲ τοῦ Πωμεντίνου πεδίου Λάρκιός τε καὶ Ἑρμίνιος οἱ πεμφθέντες ἐπὶ τὴν παρακομιδὴν τοῦ σίτου πρέσβεις πολλὰς γεμίσαντες σκάφας παντοίας τροφῆς ἀπὸ θαλάττης ἀνὰ τὸν ποταμὸν ἐν νυκτὶ ἀσελήνῳ λαθόντες τοὺς πολεμίους διε- 905 κόμισαν. 5 ταχὺ δὲ καὶ ταύτης ἐξαναλωθείσης τῆς ἀγορᾶς καὶ τῆς αὐτῆς κατασχούσης τοὺς ἀνθρώπους ἀπορίας μαθὼν παρὰ τῶν αὐτομόλων ὁ Τυρρηνός, ὅτι κάμνου-

2 ὑπαιθρίου O corr. Kiessling 5 ταχεῖα] βαρεῖα c. Kiessling 11 ⟨αἰ⟩δουμένων Bb 12 συμμαχικὰ c. Bücheler 15 ἀξιώσαντας A 19 περὶ add. B 20 παραπεμφθέντες A πεμφθέντες B 21 παρακομιδὴν AB κομιδὴν R 26 τύραννος B

ὁ τοῦ λιμοῦ οἱ ἔνδον, ἐπεκηρυκεύσατο πρὸς ἐπιτάττων δέχεσθαι Ταρκύνιον, εἰ βούλονται ͵ τε καὶ λιμοῦ ἀπηλλάχθαι.

VII. Οὐκ ἀνασχομένων δὲ τῶν Ῥωμαίων τὰς ς, ἀλλὰ πάντα τὰ δεινὰ ὑπομένειν βουλομένων, θὼν ὁ Μούκιος, ὅτι δυεῖν αὐτοῖς συμβήσεται ͵ ἢ μὴ διαμεῖναι πολὺν ἐν τοῖς λελογισμένοις ὑπὸ τῆς ἀπορίας τῶν ἀναγκαίων ἐκβιασθεῖσιν, ττουσι βεβαίας τὰς κρίσεις τὸν οἴκιστον ἀπομόρον, δεηθεὶς τῶν ὑπάτων τὴν βουλὴν αὐτῷ γεῖν, ὡς μέγα τι καὶ ἀναγκαῖον ἐξοίσων πρὸς ἐπειδὴ συνήχθη, λέγει τοιάδε· Ἄνδρες πατέρες, ια τολμᾶν διανοούμενος, ὑφ' οὗ τῶν παρόντων γήσεται κακῶν ἡ πόλις, τῷ μὲν ἔργῳ πάνυ καὶ ῥαδίως αὐτοῦ κρατήσειν οἴομαι· περὶ δὲ ιυτοῦ ψυχῆς, εἰ περιέσται μοι μετὰ τὸ ἔργον, λὰς ἐλπίδας ἔχω, μᾶλλον δ' εἰ χρὴ τἀληθὲς λέ- ὐδεμίαν. εἰς τοσοῦτον δὴ κίνδυνον ἐμαυτὸν 2 ιι μέλλων οὐκ ἀξιῶ λαθεῖν ἅπαντας αἰωρηθεὶς ͵εγάλων, ἐὰν ἄρα συμβῇ μοι διαμαρτεῖν τῆς ἀλλ' ἐπὶ καλοῖς ἔργοις μεγάλων ἐπαίνων τυγχάων ἀντὶ τοῦ θνητοῦ σώματος ἀθάνατον ὑπάρξει ος. δήμῳ μὲν φράζειν ἃ διανοοῦμαι πράττειν 3 ραλές, μή τις ἴδια κέρδη περιβαλλόμενος πρὸς ολεμίους αὐτὰ ἐξενέγκῃ, δέον αὐτοῖς ὥσπερ ίου ἀπορρήτου φυλακῆς· ὑμῖν δ' οὓς καθέξειν

add. B 4 τῶν add. B 9 οἴκ⟨τι⟩στον B 10 τῶν 14 τὸ μὲν ἔργον c. Hertlein Hermes X 414 17 Ba τἀληθὲς Bb 21 μεγάλων] καλῶν B 22 ὑπάρχει μὲν οὖν c. Reiske

*αὐτὰ πεπίστευκα ἐγκρατῶς πρώτοις τε καὶ μόνοις ἐκ-
φέρω· παρ' ὑμῶν δ' οἱ ἄλλοι πολῖται ἐν τῷ προσή-
4 κοντι καιρῷ μαθήσονται. τὸ δ' ἐγχείρημά μου τοιόνδε* 907
*ἐστίν. αὐτομόλου σχῆμα μέλλω λαβὼν ἐπὶ τὸν χάρακα
τῶν Τυρρηνῶν πορεύεσθαι. ἐὰν μὲν οὖν ἀπιστηθεὶς
πρὸς αὐτῶν ἀποθάνω, ἑνὶ πολίτῃ μόνον ἐλάττους οἱ
λοιποὶ γενήσεσθε· ἐὰν δὲ παρελθεῖν εἴσω τοῦ χάρα-
κος ἐκγένηταί μοι, τὸν βασιλέα τῶν πολεμίων ἀποκτε-
νεῖν ὑμῖν ὑποδέχομαι· ἀποθανόντος δὲ Πορσίνου κατα-
λυθήσεται μὲν ὁ πόλεμος, ἐγὼ δ' εἰ ὅ τι ἂν τῷ
δαιμονίῳ δόξῃ πείσομαι, τούτων συνίστορας ὑμᾶς ἕξων
καὶ μάρτυρας πρὸς τὸν δῆμον ἄπειμι τὴν κρείττονα
τύχην τῆς πατρίδος ἡγεμόνα τῆς ὁδοῦ ποιησάμενος.*

XXVIII. *Ἐπαινεθεὶς δ' ὑπὸ τῶν ἐν τῷ συνεδρίῳ
καὶ λαβὼν οἰωνοὺς αἰσίους τῆς πράξεως διαβαίνει τὸν
ποταμόν. καὶ παραγενόμενος ἐπὶ τὸν χάρακα τῶν Τυρ-
ρηνῶν εἰσέρχεται, παρακρουσάμενος τοὺς φυλάττοντας
τὰς πύλας ὡς τῶν ὁμοεθνῶν τις, ὅπλον τ' οὐθὲν φα-
νερὸν ἔχων καὶ γλώττῃ Τυρρηνικῇ διαλεγόμενος, ἣν* 908
*ἐξέμαθεν ἔτι παῖς ὢν ὑπὸ τροφοῦ Τυρρηνίδος τὸ
2 γένος ἐκδιδαχθείς. ὡς δ' ἐπὶ τὴν ἀγορὰν καὶ τὸ στρα-
τήγιον ἀφίκετο, ἄνδρα ὁρᾷ μεγέθει τε καὶ ῥώμῃ σώ-
ματος διαφέροντα, ἐσθῆτα πορφυρᾶν ἐνδεδυκότα, καθή-
μενον ἐπὶ τοῦ στρατηγικοῦ βήματος, καὶ περὶ αὐτὸν
ἑστῶτας ἐνόπλους συχνούς. διαμαρτὼν δὲ τῆς δόξης,*

9 *ὑποδέχομαι* B *ὑπισχνοῦμαι* R | *ἀποκτίνειν* Ba *ἀποκτεί-
νειν* Bb *ἀποκτενεῖν* R 10 *μὲν ἡμῖν ὁ* A *μὲν ὁ* B *μὲν ὑμῖν
ὁ* R | *εἴ τι* O corr. Stephanus 11 *τοῦτο πείσομαι* O praeter
B 12 *πρὸς τὸν δαίμονα* c. Hertlein Hermes X 414 16 *παρα-
γενηθεὶς* A *παραγεν ....σ* Ba *παραγενόμενος* BbC 23 *πορ-
φυρῆν* Ba *πορφυρᾶν* R

οἷα δὴ μηδέποτε τὸν βασιλέα τῶν Τυρρηνῶν θεασάμενος, τοῦτον τὸν ἄνδρα ὑπέλαβε Πορσίναν εἶναι· ὁ δ' ἦν ἄρα γραμματεὺς τοῦ βασιλέως, ἐκάθητο δ' ἐπὶ τοῦ βήματος διαριθμῶν τοὺς στρατιώτας καὶ διαγράφων αὐτοῖς τοὺς ὀψωνιασμούς. ἐπὶ τοῦτον δὴ τὸν 3
γραμματέα χωρήσας διὰ τοῦ περιεστηκότος ὄχλου καὶ ἀναβὰς ὡς ἄνοπλος ὑπ' οὐθενὸς κωλυόμενος ἐπὶ τὸ βῆμα, σπᾶται τὸ ξιφίδιον, ὃ τῆς περιβολῆς ἐντὸς ἔκρυπτε, καὶ παίει τὸν ἄνδρα κατὰ τῆς κεφαλῆς. ἀποθανόντος δὲ τοῦ γραμματέως πληγῇ μιᾷ, συλληφθεὶς εὐθὺς ὑπὸ τῶν περὶ τὸ βῆμα πρὸς τὸν βασιλέα πεπυσμένον ἤδη τὴν τοῦ γραμματέως ἀναίρεσιν ἀπάγεται. ὁ δ' ὡς εἶδεν αὐτόν, Ὦ μιαρώτατε πάντων, εἶπεν, ἀν- 4
θρώπων, καὶ δίκας ὑφέξων οὐκ εἰς μακρὰν ὧν ἄξιος εἶ, λέγε, τίς εἶ καὶ πόθεν ἀφιγμένος καὶ τίνι βοηθείᾳ πεποιθὼς ἐπεχείρησας ἔργῳ τηλικῷδε· καὶ πότερον τὸν γραμματέα τὸν ἐμὸν ἀποκτεῖναί σοι προὔκειτο μόνον ἢ κἀμέ· καὶ τίνας ἔχεις κοινωνοὺς τῆς ἐπιβουλῆς ἢ συνίστορας; ἀποκρύψῃ δὲ μηδὲν τῶν ἀληθῶν, ἵνα μὴ βασανιζόμενος ἀναγκασθῇς λέγειν.

XXVIIII. Καὶ ὁ Μούκιος οὔτε μεταβολῇ χρώματος οὔτε συννοίᾳ προσώπου τὸν ὀρρωδοῦντα διασημήνας οὔτ' ἄλλο παθὼν οὐδέν, ὧν φιλοῦσι πάσχειν οἱ μέλλοντες ἀποθνήσκειν, λέγει πρὸς αὐτόν· Ἐγὼ Ῥωμαῖος μέν εἰμι, καὶ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους, ἐλευ-

2 ὑπολαβὼν B  8 τῆς περιβολῆς ἐντός A  ὁ ἐντὸς τῆς π. R  9 κεφαλῆς A  σφαγῆς Ba  κεφαλῆς superscript. Bb  12 ἤδη παρ' ἑτέρων τὴν B  15 ἀφῖξαι Ba  19 συνίστορας add. B | ἀποκρύψῃ B  ἀπόκρυψαι R  25 ἕνεκα γένους] εἰς τὸ γένος c. Garrer Obs. p. 51 | ὄνομα Μούκιος c. Smit Obs. p. 17 cf. Fr. Krebs, Praepositionsadverb. II p. 25

θεραπῶσαι δὲ τὴν πατρίδα τοῦ πολέμου βουληθεὶς ἦλθον ἐπὶ τὸ στρατόπεδον ὑμῶν ὡς τῶν αὐτομόλων τις, ἀποκτεῖναί σε βουλόμενος· οὐκ ἀγνοῶν μέν, ὅτι καὶ κατορθώσαντι καὶ διαμαρτόντι τῆς ἐλπίδος ἀποθανεῖν ὑπάρχει μοι, χαρίσασθαι δὲ τῇ γειναμένῃ τὴν ἐμαυτοῦ ψυχὴν προαιρούμενος καὶ ἀντὶ τοῦ θνητοῦ σώματος ἀθάνατον δόξαν καταλιπεῖν· ψευσθεὶς δὲ τῆς ἐλπίδος ἀντὶ σοῦ τὸν γραμματέα, ὃν οὐθὲν ἐδεόμην, ἀνῄρηκα τῇ τε πορφύρᾳ καὶ τῷ δίφρῳ καὶ τοῖς ἄλλοις τῆς
2 ἐξουσίας συμβόλοις πλανηθείς. τὸν μὲν οὖν θάνατον, ὃν αὐτὸς ἐμαυτοῦ κατεψηφισάμην, ὅτ' ἐπὶ τὴν πρᾶξιν ἔμελλον ὁρμᾶν, οὐ παραιτοῦμαι· βασάνους δὲ καὶ τὰς ἄλλας ὕβρεις εἴ μοι παρείης, πίστεις δοὺς ἐπὶ θεῶν ὑπισχνοῦμαί σοι μέγα πρᾶγμα δηλώσειν καὶ πρὸς τὴν
3 σωτηρίαν ἀνῆκόν σοι. Ὁ μὲν δὴ ταῦτ' ἔλεγε καταστρατηγῆσαι τὸν ἄνδρα διανοούμενος· ὁ δ' ἔξω τοῦ 91
φρονεῖν γεγονὼς καὶ ἅμα κινδύνους ἐκ πολλῶν μαντευόμενος ἀνθρώπων οὐκ ἀληθεῖς δίδωσιν αὐτῷ δι' ὅρκων τὸ πιστόν. μετὰ δὲ τοῦθ' ὁ Μούκιος καινότατον ἐνθυμηθεὶς ἀπάτης τρόπον, ὃς ἐν ἀφανεῖ τὸν ἔλεγχον εἶχε, λέγει πρὸς αὐτόν· Ὦ βασιλεῦ, Ῥωμαίων ἄνδρες τριακόσιοι τὴν αὐτὴν ἔχοντες ἡλικίαν ἐκ τοῦ γένους τοῦ τῶν πατρικίων ἅπαντες ἐβουλευσάμεθα συνελθόντες ἀποκτεῖναί σε καὶ τὸ πιστὸν ὅρκοις παρ'
4 ἀλλήλων ἐλάβομεν. ἔδοξε δ' ἡμῖν βουλευομένοις ὅστις ὁ τῆς ἐπιβουλῆς ἦν τρόπος, μήθ' ἅπαντας ἅμα χωρεῖν

5 χαρίσασθ⟨αι⟩ B 13 παρίησ A παρ.ισ Ba 16 στρατηγῆσαι O καταστρατηγῆσαι Stephanus 21 εἶχε ABb οἶχ. Ba 23 *γένους τῶν A γένους τοῦ B γένους τοῦ τῶν ego 25 ὅστις ὁ κράτιστος c. Kiessling 26 ἦν] ἔσται vel εἴη c. Grasberger Philologus XXVIII (1869) p. 349

ἐπὶ τὸ ἔργον, ἀλλὰ καθ' ἕνα, μήτε φράζειν ἕτερον ἑτέρῳ πότε καὶ πῶς καὶ ποῦ καὶ τίσιν ἀφορμαῖς χρησάμενος ἐπιθήσεταί σοι, ἵνα ῥᾷον ἡμῖν ὑπάρχῃ τὸ λαθεῖν. ταῦτα διανοηθέντες ἐκληρωσάμεθα, καὶ πρῶτος ἄρξαι τῆς πείρας ἔλαχον ἐγώ. προειδὼς οὖν, ὅτι πολλοὶ καὶ ἀγαθοὶ τὴν αὐτήν μοι διάνοιαν ἕξουσιν
12 ἐπιθυμίᾳ δόξης, ὧν ὡς εἰκάσαι τις ἀμείνονι τύχῃ χρήσεται τῆς ἐμῆς, σκόπει, τίς ἔσται σοι πρὸς ἅπαντας ἀρκοῦσα φυλακή.

XXX. Ὡς δὲ ταῦτ' ἤκουσεν ὁ βασιλεύς, ἐκεῖνον μὲν ἀπαγαγόντας τοὺς δορυφόρους ἐκέλευσε δῆσαι καὶ φυλάττειν ἐπιμελῶς· αὐτὸς δὲ τοὺς πιστοτάτους τῶν φίλων παραλαβὼν καὶ τὸν υἱὸν Ἄρροντα παρακαθισάμενος, μετ' ἐκείνων ἐσκόπει, τί ποιῶν τὰς ἐπιβουλὰς αὐτῶν διακρούσεται. τῶν μὲν οὖν ἄλλων ἕκαστος συνήθεις ἀσφαλείας λέγων ἐδόκει τῶν δεόντων φρονεῖν οὐδέν· ὁ δ' υἱὸς αὐτοῦ τελευταίαν ἀπεφήνατο γνώμην πρεσβυτέραν τῆς ἡλικίας, ἀξιῶν αὐτὸν μὴ σκοπεῖν, τίσι φυλακαῖς χρώμενος οὐδὲν πείσεται δεινόν, ἀλλὰ τί ποιῶν οὐ δεήσεται φυλακῆς· θαυμασάντων δὲ τὴν διάνοιαν αὐτοῦ πάντων καὶ πῶς ἂν τοῦτο γένοιτο

5 ἄρξας AB 6 *τὴν αὐτήν μοι δόξαν ἕξουσιν ἐπιθυμίᾳ δόξης AB τὴν αὐτήν μοι τόλμαν eqs Sintenis Em. Dion. I 21 verbis μοι δόξαν deletis τὴν αὐτὴν ἕξουσιν ἐπιθυμίαν δόξης c. Meutzner Ann. phil. 115 (1877) p. 815 7 *ὧν εἰ καί τις ABa ὧν εἰ $\overset{\text{θέ}}{\text{και}}$ τις Bb ὧν εἰκῇ τις c. Sylburg ὧν ἴσως καὶ εἷς τις c. Reiske ὧν εἷς γέ τις c. Sintenis l. l. ὧν εἷς τις καὶ c. Bücheler ὧν εἰ καί τις μὴ c. Schnelle Ann. phil. 75 (1857) p. 378 ὧν εἷς τις Schenkl Bursiani librorum ann. breviar. p. 35 ὧν εἰκότως καί τις c. Schaller ὧν ὡς εἰκάσαι τις ego | ἀμείνονι ABb ἄμεινον Ba 8 σοι om. B | ἀρκοῦσα add. B 13 Ἄρροντα B Ἀρροῦντα R 16 συνήθεις c. Kiessling

μαθεῖν βουλομένων, Εἰ φίλους ἀντὶ πολεμίων, ἔφη[illegible]ς
ποιήσαιο τοὺς ἄνδρας, τιμιωτέραν ἡγησάμενος τὴ[illegible]
σεαυτοῦ ψυχὴν τῆς καθόδου τῶν σὺν Ταρκυνίῳ φυ[illegible]
3 γάδων. Καὶ ὁ βασιλεὺς τὰ κράτιστα μὲν ἔφησεν αὐ[illegible]
τὸν λέγειν, βουλῆς δ' εἶναι ἄξιον τὸ πρᾶγμα, πῶ[illegible]ς
εὐπρεπεῖς γενήσονται πρὸς αὐτοὺς αἱ διαλλαγαί· μεγά[illegible]
λην αἰσχύνην φάσκων εἶναι, εἰ κρατήσας αὐτῶν μάχ[illegible]
καὶ τειχήρεις ἔχων ἀπελεύσεται, μηθὲν ὧν Ταρκυνίο[illegible]ς
ὑπέσχετο διαπραξάμενος, ὥσπερ ἡττημένος ὑπὸ τῶ[illegible]
νενικημένων καὶ πεφευγὼς τοὺς μηδ' ἐκ τῶν πυλῶ[illegible]
ὑπομένοντας ἔτι προελθεῖν· μίαν δὲ μόνην ἔσεσθ[illegible]ι
ἀποφαίνων καλὴν τῆς ἔχθρας λύσιν, εἰ παρὰ τῶν π[illegible]-
λεμίων παραγένοιντό τινες πρὸς αὐτὸν περὶ φιλί[illegible]ς
διαλεγόμενοι.

XXXI. Ταῦτα μὲν τότε πρὸς τὸν υἱὸν καὶ το[illegible]ς
παρόντας εἶπεν· ὀλίγαις δ' ὕστερον ἡμέραις αὐτὸς ἠνα[illegible]-
κάσθη πρότερος ἄρχειν λόγων διαλλακτηρίων διὰ το[illegible]-
αὐτην αἰτίαν· ἐσκεδασμένων ἀνὰ τὴν χώραν τῶ[illegible]
στρατιωτῶν καὶ τὰς ἀγομένας εἰς τὴν πόλιν ἀγορ[illegible]ς
ἀφαιρουμένων καὶ τοῦτο ποιούντων συνεχῶς, οἱ τῶ[illegible]ν
Ῥωμαίων ὕπατοι λοχήσαντες αὐτοὺς ἐν καλῷ χωρ[illegible]
διαφθείρουσί τε συχνοὺς καὶ ἔτι πλείους τῶν ἀναιρ[illegible]-
θέντων αἰχμαλώτους λαμβάνουσιν. ἐφ' ᾧ χαλεπαίνο[illegible]-
τες οἱ Τυρρηνοὶ διελέγοντο πρὸς ἀλλήλους κατὰ σ[illegible]-
στροφάς, δι' αἰτίας τόν τε βασιλέα καὶ τοὺς ἄλλο[illegible]ς
ἡγεμόνας ἔχοντες ἐπὶ τῇ τριβῇ τοῦ πολέμου καὶ ἀπα[illegible]-
2 λάττεσθαι ποθοῦντες ἐπὶ τὰ οἰκεῖα. δόξας μὲν ο[illegible]ν

5 δεῖν ἠξίου c. Kiessling 6 αἱ διαλλαγαὶ γενήσονται B αἱ πρὸς αὐτοὺς διαλλαγαὶ c. Cobet Obs. p. 99 7 ⟨εἰ⟩ B 8 μηθὲν B μηδὲν R

πᾶσι κεχαρισμένας φανήσεσθαι τὰς διαλλαγάς, ἀποστέλλει πρεσβευτὰς ἐκ τῶν ἰδίων φίλων τοὺς ἀναγκαιοτάτους. τινὲς μὲν οὖν φασι καὶ τὸν Μούκιον ἅμα τούτοις ἀποσταλῆναι δόντα τὴν πίστιν τῷ βασιλεῖ δι' ὅρκων ὑπὲρ τοῦ πάλιν ἐλεύσεσθαι· ἕτεροι δὲ λέγουσιν ὅμηρον, ἕως αἱ διαλλαγαὶ γένωνται, τὸν ἄνδρα τοῦτον ἐν τῷ στρατοπέδῳ φυλάττεσθαι· καὶ τάχ' ἂν εἴη τοῦτ' ἀληθέστερον. ἐντολαὶ δ' ἦσαν, ἃς ἔδωκε τοῖς πρεσβευ- 3 ταῖς ὁ βασιλεύς, τοιαίδε· Περὶ μὲν καθόδου Ταρκυνίων μηδένα ποιεῖσθαι λόγον, τὰ δὲ χρήματα αὐτοῖς ἀξιοῦν ἀποδοθῆναι, μάλιστα μὲν ἅπαντα ὅσα Ταρκύνιός θ' ὁ πρεσβύτατος κατέλιπε καὶ αὐτοὶ σὺν τῷ δικαίῳ κτησάμενοι κατέσχον· εἰ δὲ μή γ' ὅσα δυνατὰ ἀγρῶν τε καὶ οἰκιῶν καὶ βοσκημάτων καὶ ὧν ἐκ γῆς ἀνήρηνται καρπῶν τὰς ἀξίας, ὁποτέρως ἂν αὐτοῖς δόξῃ συμφέρειν, ἐάν τε τοὺς κατέχοντας αὐτὰ καὶ καρπουμένους εἰσφέρειν, ἐάν τ' ἐκ τοῦ δημοσίου διαλύειν. ταῦτα 4 μὲν ὑπὲρ ἐκείνων, ἑαυτῷ δ' αἰτεῖσθαι διαλυομένῳ τὴν χώραν τοὺς καλουμένους Ἑπτὰ πάγους· αὕτη Τυρρηνῶν ἡ χώρα τὸ ἀρχαῖον ἦν, Ῥωμαῖοι δ' αὐτὴν κατέσχον πολέμῳ τοὺς ἔχοντας ἀφελόμενοι· καὶ ἵνα μένωσι Ῥωμαῖοι Τυρρηνοῖς βέβαιοι φίλοι, παῖδας ἐκ τῶν ἐπιφανεστάτων οἰκιῶν τοὺς ὁμηρεύσοντας ὑπὲρ τῆς πόλεως αἰτεῖν παρ' αὐτῶν.

XXXII. Ἀφικομένης δὲ τῆς πρεσβείας εἰς Ῥώμην ἡ βουλὴ μὲν ἐψηφίσατο Ποπλικόλᾳ θατέρῳ τῶν ὑπά-

5 ὅρκου B 6 αἱ διαλλαγαὶ A αἱ om. B ἂν διαλλαγαὶ R 9 καθόδου c. Reiske εἰσόδου O 12 πρεσβύτερος c. Hertlein Hermes X 414 18 δὲ αἰτεῖσθαι ABb διαιτίσθαι Ba 22 Ῥωμαίοις Τυρρηνοὶ ABC | βεβαίως c. Sintenis Em. Dion. I 11 26 μὲ⟨ν⟩ 2—3 litt. eras. Bb | ἐψηφίσατο Ba

των πεισθεῖσα πάντα συγχωρεῖν, ὅσα ὁ Τυρρηνὸς ἠξίου, 9
κάμνειν τὸν δημότην καὶ ἄπορον ὄχλον οἰομένη τῇ σπάνει τῶν ἐπιτηδείων, καὶ ἀγαπητῶς δέξεσθαι τὴν
2 τοῦ πολέμου λύσιν, ἐφ' οἷς ἂν γένηται δικαίοις. ὁ δὲ δῆμος τὰ μὲν ἄλλα τοῦ προβουλεύματος ἐψηφίσατο κύρια εἶναι, τὴν δ' ἀπόδοσιν τῶν χρημάτων οὐκ ἠνέσχετο, ἀλλὰ τἀναντία ἔγνω, μήτ' ἐκ τῶν ἰδίων μήτ' ἐκ τῶν κοινῶν τοῖς τυράννοις μηδὲν ἀποδιδόναι, πρεσβευτὰς δὲ περὶ τούτων πρὸς βασιλέα Πορσίναν ἀποστεῖλαι, οἵτινες ἀξιώσουσιν αὐτὸν τὰ μὲν ὅμηρα καὶ τὴν χώραν παραλαβεῖν, περὶ δὲ τῶν χρημάτων αὐτὸν δικαστὴν γενόμενον Ταρκυνίοις τε καὶ Ῥωμαίοις, ὅταν ἀμφοτέρων ἀκούσῃ κρῖναι τὰ δίκαια μήτε χάριτι μήτ'
3 ἔχθρᾳ παραχθέντα. ἀπῄεσαν οἱ Τυρρηνοὶ τὰς ἀποκρίσεις ταύτας πρὸς βασιλέα κομίζοντες καὶ σὺν αὐτοῖς οἱ κατασταθέντες ὑπὸ τοῦ δήμου πρέσβεις ἄγοντες ἐκ τῶν πρώτων οἰκιῶν εἴκοσι παῖδας, οὓς ἔδει περὶ τῆς πατρίδος ὁμηρεῦσαι, τῶν ὑπάτων πρώτων τὰ τέκνα ἐπιδόντων, Μάρκου μὲν Ὁρατίου τὸν υἱόν, Ποπλίου δὲ Οὐαλερίου τὴν θυγατέρα γάμων ἔχουσαν ὥραν.
4 ἀφικομένων δὲ τούτων ἐπὶ τὸ στρατόπεδον ἥσθη τε ὁ βασιλεὺς καὶ πολλὰ τοὺς Ῥωμαίους ἐπαινέσας ἀνοχὰς σπένδεται πρὸς αὐτοὺς εἰς ὡρισμένον τινὰ ἡμερῶν ἀριθμὸν καὶ τὴν δίκην αὐτὸς ἀναδέχεται δικάζειν. Ταρκύνιοι δ' ἤχθοντο μὲν ἀπὸ μειζόνων ἐκπεσόντες ἐλπίδων, ἃς εἶχον ἐπὶ τῷ βασιλεῖ, καταχθῆναι δόξαντες

1 πισθεὶς ἅπαντα Ba 2 καὶ τὸν Reiske 3 ἀγαπητὸν A | δέξασθαι O corr. Sylburg 8 τοῖς τυρρηνοῖς AB corr. Sintenis Em. Dion. II 19 13 δίκαια δοκοῦντα O praeter B 17 πρώτων B πρῶτον R 25 πεσόντες Ba

ἐπὶ τὴν ἀρχὴν ὑπ' ἐκείνου, στέργειν δὲ τὰ παρόντα ἠναγκάζοντο καὶ τὰ δεδομένα δέχεσθαι. ἀφικομένων δ' εἰς τὸν ὁρισθέντα χρόνον ἐκ τῆς πόλεως τῶν ἀπολογησομένων τὴν δίκην καὶ ἀπὸ τῆς βουλῆς τῶν πρεσβυτάτων, καθίσας ἐπὶ τοῦ βήματος ὁ βασιλεὺς μετὰ τῶν φίλων καὶ τὸν υἱὸν συνδικάζειν κελεύσας ἀπέδωκεν αὐτοῖς λόγον.

18 XXXIII. Ἔτι δὲ τῆς δικαιολογίας γινομένης ἧκέ τις ἀπαγγέλλων τὴν φυγὴν τῶν ὁμηρευουσῶν παρθένων. δεηθεῖσαι γὰρ τῶν φυλαττόντων, ἵνα συγχωρήσωσιν αὐταῖς λούσασθαι παραγενομέναις εἰς τὸν ποταμόν, ἐπειδὴ τὸ συγχώρημα ἔλαβον ἀποστῆναι μικρὸν ἀπὸ τοῦ ποταμοῦ τοῖς ἀνδράσιν εἰποῦσαι, τέως ἂν ἀπολούσωνταί τε καὶ τὰς ἐσθῆτας ἀπολάβωσιν, ἵνα μὴ γυμνὰς ὁρῶσιν αὐτάς· ποιησάντων καὶ τοῦτο τῶν ἀνδρῶν, παρακελευσαμένης αὐταῖς τῆς Κλοιλίας καὶ πρώτης καταρχούσης, διανηξάμεναι τὸν ποταμὸν εἰς τὴν πόλιν ἀπῆλθον. ἔνθα δὴ πολὺς ὁ Ταρκύνιος ἦν 2 ἐπιορκίαν τε καὶ ἀπιστίαν τοῖς Ῥωμαίοις ἐγκαλῶν, καὶ τὸν βασιλέα παροξύνων ὡς ἐξαπατώμενον ὑπ' ἀνθρώπων δολίων μηθὲν προσέχειν αὐτοῖς. ἀπολογουμένου δὲ τοῦ ὑπάτου καὶ τὸ ἔργον ἐξ αὐτῶν λέγοντος εἶναι τῶν παρθένων δίχα τῆς ἐπιταγῆς τῶν πατέρων, καὶ τὸ πιστὸν οὐκ εἰς μακρὰν παρέξεσθαι λέγοντος ὑπὲρ τοῦ μηδὲν ἐξ ἐπιβουλῆς ὑφ' ἑαυτῶν πεπρᾶχθαι, πει-

2 διδόμενα Ba δεδογμένα A δεδομένα c. Reiske | στέργειν τε A   4 καὶ del. Kiessling | Οὐαλερίου θατέρου τῶν ὑπάτων post καὶ addendum esse censet Schnelle Exerc. crit. p. 28   6 ἐπέδωκεν O corr. Sylburg   11 παραγενόμεναι B | εἰς O ὡς aut πρὸς c. Reiske   13 *ἕως O   14 τε add. B   19 ἀπιστ⟨ί⟩αν B | τε AB   22 εἶναι] γεγονέναι c. Kiessling

σθεὶς ὁ βασιλεὺς συνεχώρησεν αὐτῷ πορευθέντι τὰς
3 παρθένους ἀγαγεῖν, ὡς ὑπισχνεῖτο. Οὐαλέριος μὲν
δὴ τὰς παρθένους ἄξων ᾤχετο· Ταρκύνιος δὲ καὶ ὁ
κηδεστὴς αὐτοῦ τῶν δικαίων ὑπεριδόντες πράγματι
ἐπεβούλευσαν ἀνοσίῳ, λόχον ὑποπέμψαντες εἰς τὴν
ὁδὸν ἱππέων, τάς τε παρθένους ἁρπάσαι τὰς ἀγομένας
καὶ τὸν ὕπατον καὶ τοὺς ἄλλους τοὺς ἐπὶ τὸ στρατό-
πεδον ἐρχομένους συλλαβεῖν, ὡς ῥύσια καθέξοντες
ἀνθ' ὧν Ταρκύνιον ἀφείλοντο Ῥωμαῖοι χρημάτων τὰ
σώματα ταῦτα, καὶ τῆς δίκης τὸ τέλος οὐκέτι περιμε-
4 νοῦντες. οὐκ εἴασε δ' αὐτοῖς κατὰ νοῦν χωρῆσαι τὴν
ἐπιβουλὴν τὸ δαιμόνιον. ἐν ὅσῳ γὰρ ἐκ τοῦ Λατίνων
χάρακος ἐξῄεσαν οἱ μέλλοντες τοῖς παραγενομένοις ἐπι-
θέσθαι, φθάσας ὁ τῶν Ῥωμαίων ὕπατος ἦγε τὰς κό- 92(
ρας· καὶ πρὸς αὐταῖς ἤδη ταῖς πύλαις τοῦ Τυρρηνικοῦ
χάρακος ὢν ὑπὸ τῶν ἐπιδιωξάντων ἐκ τῆς ἑτέρας στρα-
τοπεδείας καταλαμβάνεται. ἔνθα τῆς συμπλοκῆς αὐτῶν
γενομένης ταχεῖα τοῖς Τυρρηνοῖς αἴσθησις ἐγένετο,
καὶ κατὰ σπουδὴν ὁ τοῦ βασιλέως υἱὸς ἴλην ἱππέων
ἐπαγόμενος ἐβοήθει, καὶ ἐκ τῶν πεζῶν οἱ προκαθήμενοι
τοῦ χάρακος συνέδραμον.

XXXIIII. Ἐφ' οἷς ἀγανακτῶν ὁ Πορσίνας εἰς ἐκκλησίαν τοὺς Τυρρηνοὺς συνεκάλει καὶ διεξελθών, ὡς ἐπιτρεψάντων αὐτῷ [δίκας] Ῥωμαίων δικάσαι περὶ ὧν ἐνεκαλοῦντο ὑπὸ Ταρκυνίου, πρὶν ἐπιτελεσθῆναι τὴν

4 δικῶν B 8 ὡς add. B | καθέξοντας A 10 περιμενοῦντας A 13 παραγενομένοις c. Sylburg παραγομένοις c. Kiessling | ἐπιτίθεσθαι c. Reudler Tiroc. crit. p. 42 18 γενομένης ἰσχυρᾶς c. Reiske 23 διεξελθὼν O διεξῆλθον c. Sintenis Em. Dion. II 20 sed cf. Meutzner Ann. phil. 125 (1882) p. 268 sqq. 24 δίκας del. Reiske

δίκην εἰς ἱερὰ σώματα πρέσβεών τε καὶ ὁμήρων παρανομεῖν ἐν σπονδαῖς ἐπεχείρησαν οἱ δικαίως ὑπ' αὐτῶν ἐξελασθέντες· ὅθεν Τυρρηνοὶ Ῥωμαίους μὲν ἀπολύουσι ῶν ἐγκλημάτων, Ταρκυνίῳ δὲ καὶ Μαμιλίῳ διαλύονται τὴν ξενίαν· [καὶ] προεῖπεν αὐθημερὸν ἐκ τοῦ χάακος ἀπιέναι. Ταρκύνιοι μὲν οὖν ἐν ἐλπίσι χρησταῖς 2
ενόμενοι κατ' ἀρχάς, ὡς ἢ τυραννήσοντες αὖθις τῆς όλεως Τυρρηνῶν σφίσι βοηθούντων ἢ τὰ χρήματα μιούμενοι, διὰ τὴν εἰς τοὺς πρέσβεις καὶ τὰ ὅμηρα ρανομίαν ἀμφοτέρων διαμαρτόντες ἀπῆλθον ἐκ τοῦ ρατοπέδου σὺν αἰσχύνῃ τε καὶ μίσει. ὁ δὲ τῶν Τυρ- 3
ηνῶν βασιλεὺς τὰ ὅμηρα τῶν Ῥωμαίων ἐπὶ τὸ βῆμα οαχθῆναι κελεύσας ἀποδίδωσι τῷ ὑπάτῳ εἰπών, ὅτι ίσης ὁμηρείας κρείττονα ἡγεῖται τὴν πίστιν τῆς πόως. μίαν δὲ παρθένον ἐκ τῶν ὁμήρων, ὑφ' ἧς εἰσθησαν αἱ λοιπαὶ διανήξασθαι τὸν ποταμόν, ἐπαισας ὡς κρεῖττον ἔχουσαν φρόνημα τῆς τε φύσεως ὶ τῆς ἡλικίας, καὶ τὴν πόλιν μακαρίσας ἐπὶ τῷ μὴ όνον ἄνδρας ἀγαθοὺς ἐκτρέφειν, ἀλλὰ καὶ παρθένους νδράσιν ὁμοίας, δωρεῖται τὴν κόρην ἵππῳ πολεμιστῇ 4
αλάροις κεκοσμημένῳ διαπρεπέσι. μετὰ δὲ τὴν ἐκλησίαν τὰ περὶ τῆς εἰρήνης καὶ φιλίας ὅρκια πρὸς οὺς πρέσβεις τῶν Ῥωμαίων ποιησάμενος καὶ ξενίσας ὐτοὺς δῶρα τῇ πόλει φέρεσθαι δίδωσι τοὺς αἰχμαλώους ἅπαντας ἄνευ λύτρων συχνοὺς πάνυ ὄντας, καὶ χωρίον, ἐν ᾧ κατεστρατοπεδευκὼς ἦν, κατεσκευασμέον οὐχ ὡς στρατόπεδον ἐν ξένῃ γῇ πρὸς ὀλίγον

3 ἐξελασθέντες Ba ἐξελαθέντες R quod def. Cobet Obs. 100 5 καὶ del. Meutzner l. l. | προεῖπον O προεῖπεν Sinnis Em. Dion. II 20 11 μύσει c. Reiske 16 . . επαινέσας 18 τῷ] τὸ B 25 κατεσκευασμένον add. B

καιρόν, ἀλλ' ὡς πόλιν ἰδίαις τε καὶ δημοσίαις οἰκοδ μαῖς ἀποχρώντως, οὐκ ὄντος τοῖς Τυρρηνοῖς ἔθοι ὁπότε ἀναστρατοπεδεύοιεν ἐκ πολεμίας, ὀρθὰς κατ λείπειν τὰς κατασκευάς, ἀλλὰ καίειν, οὐ μικρὰν πόλει χαρισάμενος εἰς χρημάτων λόγον δωρεάν. ἐδ λωσε δ' ἡ πρᾶσις, ἣν ἐποιήσαντο μετὰ τὴν ἀπαλλαγ
5 τοῦ βασιλέως οἱ ταμίαι. ὁ μὲν δὴ πόλεμος ὁ συστ Ῥωμαίοις πρὸς Ταρκυνίους τε καὶ βασιλέα Κλουσίνι Λάρον Πορσίναν, εἰς κινδύνους μεγάλους ἀγαγὼν τ πόλιν τοιούτου τέλους ἔτυχεν.

XXXV. Ἡ δὲ τῶν Ῥωμαίων βουλὴ μετὰ τὴν ἀπα λαγὴν τῶν Τυρρηνῶν συνελθοῦσα ἐψηφίσατο Πορσί μὲν πέμψαι θρόνον ἐλεφάντινον καὶ σκῆπτρον καὶ στ φανον χρυσοῦν καὶ θριαμβικὴν ἐσθῆτα, ᾗ οἱ βασιλ ἐκοσμοῦντο· Μουκίῳ δὲ τῷ προελομένῳ περὶ τῆς π τρίδος ἀποθανεῖν αἰτιωτάτῳ δόξαντι γεγονέναι τ καταλύσεως τοῦ πολέμου χώραν ἐκ τῆς δημοσίας δ θῆναι πέραν τοῦ Τεβέριος ποταμοῦ, τὸν αὐτὸν τρόπι ὅνπερ Ὁρατίῳ τῷ πρὸ τῆς γεφύρας ἀγωνισαμένῳ πρ τερον, ὅσην ἂν ἀρότρῳ περιλαβεῖν ἐν ἡμέρᾳ μιᾷ δ

1 ἀλλὰ B 2 ἀποχρώντως κοσμήσας Cmg D 3 κατ λείπειν ABb καταλιπεῖν Ba 4 κατακαίειν B post καίειν C mg D exstant οὐκ ἔκαυσεν, ἀλλ' ἀφῆκεν οὕτω μένειν qu om. AB 5 δωρ⟨ε⟩ὰν Bb | ὡς ἐδήλωσε c. Kiessling | πρασ// Ba πρᾶξις ABb 8 πρὸς τυρρηνοὺς B πρὸς τυρρηνὸν πρὸς τοὺς τυράννους vel πρὸς Ταρκυνίους c. Sintenis Em. Dio II 19 | καλουσινῶν Bb 12 συνελθοῦσα om. B | ἐψηφίσαντο B θρόνον δῶρα B δῶρα θρόνον Sintenis Em. Dion. II 21 δῶ om. R 14 ἐσθῆτα ὑφ' ἧς O ἐσθῆτα [πορφυρᾶν φοινικοπά υφον ᾗ c. Kiessling ᾗ ego cf. p. 74, 14 15 τῷ om. B χαρίσασθαι A ⟨χαρίσα⟩σθαι Bb γε . . . σθαι Ba ut videt πέραν δοθῆναι Bb voce χαρίσασθαι deleta δοθῆναι ego ex inserui cf. V 39 fin. 20 δύνηται μιᾷ B

νηται. οὗτος ὁ χῶρος ἕως τῶν καθ' ἡμᾶς χρόνων, Μούκιοι λειμῶνες καλοῦνται. ταῦτα μὲν τοῖς ἀνδράσι· 2
Κλοιλίᾳ δὲ τῇ παρθένῳ στάσιν εἰκόνος χαλκῆς ἔδοσαν, ἣν ἀνέθεσαν ἐπὶ τῆς ἱερᾶς ὁδοῦ τῆς εἰς τὴν ἀγορὰν φερούσης οἱ τῶν παρθένων πατέρες. ταύτην ἡμεῖς μὲν οὐκέτι κειμένην εὕρομεν, ἐλέγετο δ' ἐμπρήσεως περὶ τὰς πλησίον οἰκίας γενομένης ἠφανίσθαι. Κατὰ τοῦ- 3
τον τὸν ἐνιαυτὸν ὁ νεὼς τοῦ Καπιτωλίου Διὸς εἰς συντέλειαν ἐξειργάσθη, περὶ οὗ τὰ κατὰ μέρος ἐν τῷ πρὸ τούτου δεδήλωκα λόγῳ. τὴν δ' ἀνιέρωσιν αὐτοῦ καὶ τὴν ἐπιγραφὴν ἔλαβε Μάρκος Ὁράτιος ὁ ἕτερος τῶν ὑπάτων φθάσας τὴν παρουσίαν τοῦ συνάρχοντος. ἐτύγχανε δὲ κατὰ τὸν καιρὸν τοῦτον Οὐαλέριος προεξεληλυθὼς μετὰ δυνάμεως ἐπὶ τὴν βοήθειαν τῆς χώρας. ἄρτι γὰρ τῶν ἀνθρώπων καταλιπόντων τὰ ἐρύματα καὶ συνιόντων εἰς τοὺς ἀγροὺς ληστήρια πέμπων Μαμίλιος μεγάλα τοὺς γεωργοὺς ἔβλαπτεν. ταῦτ' ἐπὶ τῆς τρίτης ὑπατείας ἐπράχθη.

25 XXXVI. Οἱ δὲ τὸν τέταρτον ἐνιαυτὸν ἄρξαντες ὕπατοι Σπόριος Λάρκιος καὶ Τῖτος Ἑρμίνιος ἄνευ πολέμου τὴν ἀρχὴν διετέλεσαν. ἐπὶ τούτων Ἄρρος ὁ Πορσίνου τοῦ Τυρρηνῶν βασιλέως υἱὸς τὴν Ἀρικηνῶν πόλιν δεύτερον ἔτος ἤδη πολιορκῶν ἐτελεύτησεν. εὐθὺς 2
γὰρ ἅμα τῷ γενέσθαι τὰς Ῥωμαίων σπονδὰς τὴν ἡμίσειαν τῆς στρατιᾶς μοῖραν παρὰ τοῦ πατρὸς λαβὼν ἐστράτευσεν ἐπὶ τοὺς Ἀρικηνοὺς ἰδίαν κατασκευαζό-

13 τῆς πόλεως προεξεληλυθὼς O praeter B 16 καὶ συνιόντων del. Hertlein Hermes X 414 20 Ἑρμήνιος O 21 Ἄρριος B 23 πολιορκῶν Hertlein l. l. duce Porto πολεμῶν O 26 ἐστρατοπέδευσεν O praeter B κατασκευασόμενος c. Hertlein l. l. dubitanter

μενος ἀρχὴν καὶ μικροῦ δεήσας τὴν πόλιν ἑλεῖν, ἀ
θούσης τοῖς Ἀρικηνοῖς ἐπικουρίας ἔκ τ' Ἀντίου κα
Τύσκλου καὶ τῆς Καμπανίδος Κύμης, παραταξάμεν
ἐλάττονι δυνάμει πρὸς μείζονα τοὺς μὲν ἄλλους ἐτρ
ψατο καὶ μέχρι τῆς πόλεως ἤλασεν, ὑπὸ δὲ Κυμαίω
οὓς ἦγεν Ἀριστόδημος ὁ Μαλακὸς ἐπικαλούμενος, ν
κηθεὶς ἀποθνήσκει, καὶ ἡ στρατιὰ τῶν Τυρρηνῶν με
3 τὴν ἐκείνου τελευτὴν οὐκέτι ὑπομείνασα τρέπεται πρ
φυγήν. πολλοὶ μὲν δὴ αὐτῶν διωκόμενοι ὑπὸ τῶ
Κυμαίων διεφθάρησαν, ἄλλοι δὲ πλείους σκεδασθέντ
ἀνὰ τὴν χώραν εἰς τοὺς ἀγροὺς τῶν Ῥωμαίων οὐ πο
ἀπέχοντας κατέφυγον ὅπλα τ' ἀπολωλεκότες καὶ ὑπ
τραυμάτων ἀδύνατοι ὄντες [ἐπὶ τὰ] προσωτέρω χ
ρεῖν. οὓς ἐκ τῶν ἀγρῶν οἱ Ῥωμαῖοι κατακομίζοντ
εἰς τὴν πόλιν ἁμάξαις τε καὶ ἀπήναις καὶ τοῖς ἄλλο
ὑποζυγίοις ἡμιθνῆτας ἐνίους, καὶ φέροντες εἰς τ
ἑαυτῶν οἰκίας τροφαῖς τε καὶ θεραπείαις καὶ ταῖς ἄ
λαις φιλανθρωπίαις πολὺ τὸ συμπαθὲς ἐχούσαις ἀν
λάμβανον· ὥστε πολλοὺς αὐτῶν ταῖς χάρισι ταύτα
ὑπαχθέντας μηκέτι τῆς οἴκαδε ἀφίξεως πόθον ἔχει
4 ἀλλὰ παρὰ τοῖς εὐεργέταις σφῶν βούλεσθαι καταμένει
οἷς ἔδωκεν ἡ βουλὴ χῶρον τῆς πόλεως, ἔνθα οἰκήσεις ἔμε
λον κατασκευάσασθαι, τὸν μεταξὺ τοῦ τε Παλατίου κ
τοῦ Καπιτωλίου τέτταρσι μάλιστα μηκυνόμενον στ
δίοις αὐλῶνα, ὃς καὶ μέχρις ἐμοῦ Τυρρηνῶν οἴκησ

11 ἀνὰ τὴν χώραν add. B 13 *ἐπὶ τὰ προςωτέρω O articulo τὰ deleto c. Kiessling ἐπὶ τὰ uncis seclusi 16 ἡμ θνῆτας ὄντας c. Kiessling ἡμιθνῆτας δ' ἐνίους καὶ φέροντ c. Bücheler 17 τὴν οἰκίαν O corr. Portus 20 πόθεν Al πόθον ex δ///σποτον Bb 22 *χώραν O μοῖραν c. Büchel 23 κατασκευάσεσθαι c. Garrer Obs. p. 26 25 αὐλῶνα ὅς

ὑπὸ Ῥωμαίων καλεῖται κατὰ τὴν ἐπιχώριον διάλεκτον [ἡ φέρουσα δίοδος ἀπὸ τῆς ἀγορᾶς ἐπὶ τὸν μέγαν ἱππόδρομον.] ἀνθ' ὧν εὕροντο παρὰ τοῦ βασιλέως αὐτῶν δωρεὰν οὐ τὴν ἐλαχίστου ἀξίαν, ἀλλ' ἐφ' ᾗ μάλιστα ἥσθησαν, τὴν πέραν τοῦ ποταμοῦ χώραν, ἧς ἀπέστησαν ὅτε διελύοντο τὸν πόλεμον· καὶ θυσίας ἀπέδοσαν τοῖς θεοῖς ἀπὸ χρημάτων πολλῶν, ἃς εὔξαντο γενόμενοι πάλιν τῶν Ἑπτὰ πάγων κύριοι συντελέσειν.

XXXVII. Ἐνιαυτῷ δὲ πέμπτῳ μετὰ τὴν ἐκβολὴν τοῦ βασιλέως, ὀλυμπιὰς μὲν ἦν ἐνάτη καὶ ἑξηκοστή, ἣν ἐνίκα στάδιον Ἰσχόμαχος Κροτωνιάτης τὸ δεύτερον, ἄρχων δ' Ἀθήνησιν Ἀκεστορίδης, ὕπατοι δὲ Ῥωμαίων 928 Μάρκος Οὐαλέριος ἀδελφὸς Οὐαλερίου Ποπλικόλα καὶ Πόπλιος Ποστόμιος Τούβερτος ἐπικαλούμενος. ἐπὶ τούτων 2 ἕτερος ἐξεδέξατο Ῥωμαίους πόλεμος ἐκ τῶν ἔγγιστα οἰκούντων, ὃς ἤρξατο μὲν ἀπὸ λῃστηρίων, προὔβη δ' εἰς πολλοὺς καὶ μεγάλους ἀγῶνας, ἐχώρησε μέντοι τελευτῶν εἰς διαλλαγὰς εὐπρεπεῖς ἐπὶ τῆς τετάρτης μετὰ τούσδε τοὺς ἄνδρας ὑπατείας πάντα τὸν μεταξὺ χρόνον πολεμηθείς. Σαβίνων γάρ τινες καταγνόντες ἀσθένειαν τῆς πόλεως ἐκ τοῦ Τυρρηνικοῦ πταίσματος, ὡς οὐκέτι τὴν ἀρχαίαν ἀξίωσιν ἀναληψομένης, ἐπετίθεντο τοῖς εἰς τὴν χώραν κατιοῦσιν ἐκ τῶν ἐρυμάτων λῃστήρια καταστησάμενοι, καὶ πολλὰ τοὺς γεωργοὺς

ἐξ οὗ Kiessling. editio ὅθεν Kiessling Pr. Bas. p. 15 ὡς καὶ Schnelle Exerc. crit. p. 7 s. ὃς del. Kayser Ann. Heidelb. 1868 p. 678 | τέτταρας — σταδίους c. Casaubonus

2 verba ἡ φέρουσα — ἱππόδρομον uncis seclusi 11 Κροτωνιάτης τὸ δεύτερον ἄρχων δὲ Ἀκεστορίδης B Κ. Ἀθήνησιν τὸ δ. ἄ. δὲ Ἀ. R cf. Meursium Lect. Attic. IV 26 14 καλούμενος 16 ὃς om. B 21 ὡς ἐκ c. Kiessling | πτ⟨αίσ⟩ματος Bb in ras. una litt.

3 ἔβλαπτον. ὑπὲρ ὧν ἀποστείλαντες οἱ Ῥωμαῖοι πρεσβείαν πρὶν ἐπὶ τὰ ὅπλα χωρῆσαι δίκας ᾔτουν καὶ τὸ λοιπὸν ἠξίουν μηδὲν εἰς τοὺς ἐργαζομένους τὴν γῆν παρανομεῖν. αὐθάδεις δὲ λαβόντες ἀποκρίσεις προεῖπον αὐτοῖς τὸν πόλεμον. καὶ γίνεται ⟨ἡ⟩ μὲν πρώτη ἔξοδος ἑνὸς τῶν ὑπάτων Οὐαλερίου σὺν ἱππεῦσι καὶ ψιλῶν τοῖς ἀκμαιοτάτοις αἰφνίδιος ἐπὶ τοὺς ληιζομένους τὴν χώραν καὶ φόνος τῶν καταληφθέντων ἐν ταῖς προνο- 92
μαῖς συχνῶν ὄντων πολύς, οἷα εἰκὸς ἀνθρώπων ἀσυν-
4 τάκτων τε καὶ οὐ προῃσθημένων τὴν ἔφοδον. ἔπειτα τῶν Σαβίνων πολλὴν ἀποστειλάντων ἐπ' αὐτοὺς στρατιὰν ὑφ' ἡγεμόνι τεταγμένην ἐμπείρῳ πολέμου Ῥωμαίων ἑτέρα γίνεται ἐπ' αὐτοὺς ἔξοδος ἁπάσαις ταῖς δυνάμεσιν ἀγόντων ἀμφοτέρων τῶν ὑπάτων. Ποστόμιος μὲν οὖν πλησίον τῆς Ῥώμης ἐν ὀρεινοῖς τόποις κατεστρατοπέδευσε δεδιώς, μή τις ἔφοδος ἐκ τῶν φυγάδων ἐπ' αὐτὴν γένηται αἰφνίδιος· Οὐαλέριος δ' ἐγγὺς τῶν πολεμίων παρὰ ποταμὸν Ἀνίητα, ὃς ἐκ πόλεως μὲν Τιβύρων καθ' ὑψηλοῦ πολὺς ἐκχεῖται σκοπέλου, φέρεται δὲ διὰ τῆς Σαβίνων τε καὶ Ῥωμαίων πεδιάδος ὁρίζων τὴν ἑκατέρων χώραν· συνάπτει δὲ τὸ ῥεῦμα τῷ Τεβέρει ποταμῷ καλὸς μὲν ὀφθῆναι, γλυκὺς δὲ πίνεσθαι.

XXXVIII. Ἐκ δὲ τῶν ἑτέρων τοῦ ποταμοῦ μερῶν ἡ τῶν Σαβίνων ἔκειτο παρεμβολὴ τοῦ ῥεύματος οὐδ' αὐτὴ πολὺν ἀπέχουσα τόπον ἐπὶ γεωλόφου τινὸς ἠρέμ

2 καὶ διδόναι λόγον ἠξίουν AD καὶ τὸ λοιπὸν ἠξίουν B καὶ τὸν λοιπὸν λόγον διδόναι ἠξίουν C 4 τε O δὲ Kiesslin g 5 ἡ add. Reiske 7 τὰ χωρία O τὴν χώραν c. Sintenis E . Dion. II 21 8 προνομ. αἷς Bb 17 ἐπ' αὐτὸν AD ἐπ' α-τοὺς BC ἐπ' αὐτὴν c. Sylburg | δ' ABa δὲ Bb

κατακλινοῦς οὐ σφόδρα ἐχυροῦ. κατ' ἀρχὰς μὲν οὖν
δι' εὐλαβείας εἶχον ἀλλήλους ἑκάτεροι καὶ μάχης ἄρχειν
διαβάντες τὸν ποταμὸν ὤκνουν, χρόνῳ δ' ὕστερον οὐ
κατὰ λογισμὸν καὶ πρόνοιαν τοῦ συμφέροντος, ἀλλ'
ὑπ' ὀργῆς τε καὶ φιλονεικίας ἐξαφθέντες συνάπτουσι
μάχην. ὑδρευόμενοι γὰρ καὶ τοὺς ἵππους ἄγοντες ἐπὶ 2
τὸν πότον ἐνέβαινον ἐπὶ πολὺ τοῦ ποταμοῦ· βραχὺς
δ' ἔρρει τηνικαῦτα οὔπω τοῖς χειμερινοῖς ὕδασι πλη-
θύων, ὥστ' ὀλίγον ὑπὲρ τοῦ γόνατος ἔχοντες αὐτὸν
ἐπεραιοῦντο. συμπλοκῆς δή τινος πρῶτον ὀλίγοις πρὸς
οὐ πολλοὺς γινομένης ἐξέδραμόν τινες ἐπικουροῦντες
τοῖς σφετέροις ἐξ ἑκατέρου χάρακος· ἔπειθ' ἕτεροι
πάλιν ἀμυνοῦντες τοῖς κατισχυομένοις ἐκ θατέρου· καὶ
τοτὲ μὲν οἱ Ῥωμαῖοι τοὺς Σαβίνους ἀνέστελλον ἀπὸ τοῦ
31 ὕδατος, τοτὲ δ' οἱ Σαβῖνοι τοὺς Ῥωμαίους ἐξεῖργον
τοῦ ποταμοῦ. πολλῶν δὲ φόνων καὶ τραυμάτων γε- 3
νομένων καὶ φιλονεικίας ἅπασιν ἐμπεσούσης, οἷα περὶ
τὰς ἀψιμαχίας τὰς ἐκ καιροῦ συμπεσούσας γίνεσθαι
φιλεῖ, προθυμία τοῖς ἡγεμόσι τῶν στρατοπέδων ὁμοία
παρέστη διαβαίνειν τὸν ποταμόν. ἔφθασε δὲ πρῶτος 4
ὁ τῶν Ῥωμαίων ὕπατος καὶ διαβιβάσας τὸν στρατὸν
ἔτι τῶν Σαβίνων ὁπλιζομένων τε καὶ εἰς τάξιν καθιστα-
μένων ἐν χερσὶν ἦν. οὐ μὴν ἐμέλλησάν γ' οὐδ' ἐκεῖνοι
θέσθαι μάχην, καταφρονήσει πολλῇ ἐπαρθέντες, ὅτι
οὔτε πρὸς ἀμφοτέρους τοὺς ὑπάτους οὔτε πρὸς ἅπασαν
τὴν Ῥωμαίων δύναμιν ἔμελλον ἀγωνιεῖσθαι, καὶ συρ-

3 ὤκνουν, ὕστερον δ' οὐ B 5 ἐξαχθέντες Reiske ἐξαρθέντες Bücheler et Kiessling, del. Cobet Obs. p. 100 ἐπαρθέντες c. Sintenis Em. Dion. III 20 6 τε γὰρ O praeter B 18 ἐκ καίρους συμπεσούσα B ἀκαίρους ἐμπεσούσας Sylburg ἐκ καιροῦ συμπεσούσας Reiske 20 πρῶτον O corr. Reiske

ῥάξαντες ἐμάχοντο πᾶσαν εὐτολμίαν καὶ προθυμίαν ἀποδεικνύμενοι.

XXXVIIII. Ἀγῶνος δὲ καρτεροῦ γενομένου καὶ τοῦ δεξιοῦ τῶν Ῥωμαίων κέρατος, ἔνθα ἦν ὁ ὕπατος, ἐπιβαίνοντος τοῖς ἐναντίοις καὶ προσωτέρω χωροῦντος, 9 τοῦ δ' εὐωνύμου κάμνοντος ἤδη καὶ πρὸς τῶν πολεμίων ἐπὶ τὸν ποταμὸν ἐξωθουμένου, μαθὼν τὸ γινόμενον ὁ τὴν ἑτέραν τῶν Ῥωμαίων παρεμβολὴν κατέχων
2 ὕπατος ἐξῆγε τὴν στρατιάν. αὐτὸς μὲν οὖν τὴν φάλαγγα τῶν πεζῶν ἐπαγόμενος βάδην ἠκολούθει· τῶν δὲ πρεσβυτέρων Σπόριον Λάρκιον τὸν ὑπατεύσαντα τῷ παρελθόντι ἐνιαυτῷ τοὺς ἱππεῖς ἄγοντα πέμπει κατὰ σπουδήν· ὃς ἀπὸ ῥυτῆρος τοὺς ἵππους ἐλαύνων τόν τε ποταμὸν διαπεραιοῦται κωλύοντος οὐδενὸς εὐπετῶς καὶ κατὰ τὸ δεξιὸν τῶν πολεμίων κέρας παριππεύσας, ἐνσείει πλαγίοις τοῖς ἱππεῦσι τῶν Σαβίνων· καὶ γίνεται μέγας αὐτόθι τῶν ἱππέων ἀμφοτέρων
3 συστάδην μαχομένων ἐπὶ χρόνον πολὺν ἀγών. ἐν δὲ τούτῳ καὶ ὁ Ποστόμιος τοὺς πεζοὺς ἄγων πλησίον αὐτῶν ἐγίνετο· καὶ συρράξας τοῖς πεζοῖς ἀποκτείνει τε πολλοὺς μαχομένους καὶ τοὺς λοιποὺς ἐξωθεῖ τῆς τάξεως. εἰ δὲ μὴ νὺξ ἐπέλαβεν, ἅπαντες ἂν οἱ Σαβῖνοι 9 κυκλωθέντες ὑπὸ τῶν Ῥωμαίων ἱπποκρατούντων ἤδη πανσυδὶ διεφθάρησαν. νῦν δὲ τὸ σκότος τοὺς διαφυγόντας ἐκ τῆς μάχης ὄντας ἀνόπλους καὶ οὐ πολ-

4 post ὕπατος praebet Ποστούμιος ABb, om. Ba 10 τὸν πρεσβύτερον O πρεσβευτὴν Portus τῶν — πρεσβυτέρων Sintenis Em. Dion. III 21 11 Λεύκιον O Λάρκιον Hudson 21 μαχομένους B μαχόμενος R 25 τῆς μάχης οὐ πολλοὺς ὄντας ἐρύσατο καὶ διέσωσεν ἀνόπλους ὄντας ἐπὶ τὰ οἰκεῖα Ba, in mge Bb adscripsit quae textus praebet atque eadem exstant in A

λοὺς ἐρρύσατο καὶ διέσωσεν ἐπὶ τὰ οἰκεῖα. τῆς δὲ παρεμβολῆς αὐτῶν οἱ ὕπατοι χωρὶς ἀγῶνος ἐκράτησαν ἐκλειφθείσης ὑπὸ τῶν ἔνδον ἅμα τῷ θεάσασθαι τὴν τροπὴν τῶν σφετέρων· ἐξ ἧς πολλὰς ὠφελείας λαβόντες, ἃς τοῖς στρατιώταις ἄγειν τε καὶ φέρειν ἐπέτρεψαν, ἀπῆγον ἐπ' οἴκου τὰς δυνάμεις. τότε πρῶτον ἡ πόλις 4 ἀναλαβοῦσα ἑαυτὴν ἐκ τοῦ Τυρρηνικοῦ πταίσματος εἰς τὸ ἐξ ἀρχῆς ἀποκατέστη φρόνημα, καὶ τῆς ἡγεμονίας τῶν περιοίκων ὡς πρότερον ἐθάρρησεν ἀντιποιεῖσθαι, καὶ ψηφίζεται κοινῇ μὲν ἀμφοτέροις τοῖς ὑπάτοις θριάμβου καταγωγήν, ἰδίᾳ δὲ θατέρῳ τῶν ἀνδρῶν Οὐαλερίῳ δωρεὰν τόπον εἰς οἴκησιν ἐν τῷ κρατίστῳ τοῦ 4 Παλλαντίου [τόπῳ] δοθῆναι, καὶ τὰς εἰς τὴν κατασκευὴν δαπάνας ἐκ τοῦ δημοσίου χορηγεῖσθαι. ταύτης τῆς οἰκίας, παρ' ἣν ὁ χαλκοῦς ἕστηκε ταῦρος, αἱ κλισιάδες θύραι μόναι τῶν ἐν τῇ Ῥώμῃ δημοσίων τε καὶ ἰδιωτικῶν οἴκων εἰς τὸ ἔξω μέρος ἀνοίγονται.

XXXX. Παρὰ δὲ τούτων ἐκδέχονται τῶν ἀνδρῶν τὴν ὕπατον ἀρχὴν Πόπλιος Οὐαλέριος ὁ κληθεὶς Ποπλικόλας τὸ τέταρτον ἄρχειν αἱρεθεὶς καὶ Τῖτος Λουκρήτιος τὸ δεύτερον τῷ Οὐαλερίῳ συνάρχων. ἐφ' ὧν ἅπαντες οἱ Σαβῖνοι κοινὴν ποιησάμενοι τῶν πόλεων ἀγορὰν ἐψηφίσαντο Ῥωμαίοις πολεμεῖν, ὡς λελυμένων σφίσι τῶν σπονδῶν, ἐπειδὴ βασιλεὺς Ταρκύνιος ἐξέπεσε τῆς ἀρχῆς, πρὸς ὃν ἐποιήσαντο τοὺς ὅρκους· 935 πεισθέντες ὑπὸ Σέξτου θατέρου τῶν Ταρκυνίου παί- 2

7 πταίσματος A πτ⟨αίσ⟩ματος Bb πτ.ω̤.ματος Ba 13 Παλλαντίου B Παλαντίου R Π. τόπῳ O del. Reiske λόφου c. Sintenis Em. Dion. III 20 20 Λουκρί///τιος Ba Λουκρήτιος Bb 24 ἐπεὶ δὲ Bb

δων, ὃς αὐτοὺς ἰδίᾳ θεραπεύων καὶ λιπαρῶν τοὺς δυνατοὺς ἐξ ἑκάστης πόλεως ἐξεπολέμωσε κοινῇ πρὸς πάντας καὶ προσηγάγετο δύο πόλεις, Φιδήνην καὶ Καμερίαν, Ῥωμαίων μὲν ἀποστήσας, ἐκείνοις δὲ συμμαχεῖν πείσας· ἀνθ' ὧν αὐτὸν αἱροῦνται στρατηγὸν αὐτοκράτορα καὶ δυνάμεις ἐπιτρέπουσιν ἐξ ἁπάσης πόλεως καταγράφειν, ὡς ἐν τῇ προτέρᾳ μάχῃ δι' ἀσθένειαν δυνάμεως καὶ στρατηγοῦ μωρίαν σφαλέντες.

3 οἱ μὲν δὴ περὶ ταῦτ' ἦσαν· τύχη δέ τις ἐξισῶσαι βουλομένη ταῖς βλάβαις τῶν Ῥωμαίων τὰς ὠφελείας ἀντὶ τῶν καταλιπόντων αὐτοὺς συμμάχων ἑτέραν οὐκ ἠλπισμένην ἐκ τῶν πολεμίων βοήθειαν προσέθηκε τοιάνδε· ε. 93 ἀνήρ τις ἐκ τοῦ Σαβίνων ἔθνους πόλιν οἰκῶν Ῥήγιλλον εὐγενὴς καὶ χρήμασι δυνατὸς Τῖτος Κλαύδιος, αὐτομολεῖ πρὸς αὐτοὺς συγγένειάν τε μεγάλην ἐπαγόμενος καὶ φίλους καὶ πελάτας συχνοὺς αὐτοῖς μεταναστάντας ἐφεστίοις, οὐκ ἐλάττους πεντακισχιλίων τοὺς ὅπλα φέρειν δυναμένους. ἡ δὲ καταλαβοῦσα αὐτὸν ἀνάγκη μετενέγκασθαι τὴν οἴκησιν εἰς Ῥώμην τοιαύτη

4 λέγεται γενέσθαι. οἱ δυναστεύοντες ἐν ταῖς ἐπιφανεστάταις πόλεσιν ἀλλοτρίως ἔχοντες πρὸς τὸν ἄνδρα τῆς εἰς τὰ κοινὰ φιλοτιμίας, εἰς δίκην αὐτὸν ὑπῆγον αἰτιασάμενοι προδοσίαν, ὅτι τὸν κατὰ Ῥωμαίων πόλεμον ἐκφέρειν οὐκ ἦν πρόθυμος, ἀλλὰ καὶ ἐν τῷ κοινῷ μόνος ἀντέλεγε τοῖς ἀξιοῦσι τὰς σπονδὰς λελύσθαι,

2 ἐξεπολέμησε A(?)B ἐξεπολέμωσε Sylburg | πρὸς delendum vel κοινῇ πάντας πρὸς Ῥωμαίους scribenda esse censet Sylburg 3 Φιδηνῆς [ει] atque sic semper B 22 ἀφιλοτιμίας c. Reiske φιλοτιμίας ἕνεκα c. Sylburg | ἀπῆγον O corr. Cobet Obs. p. 100 24 συνεκφέρειν c. Reiske cf. p. 80, 13

αὶ τοὺς ἑαυτοῦ πολίτας οὐκ εἴα κύρια εἶναι τὰ δόαντα τοῖς ἄλλοις ἡγεῖσθαι. ταύτην ὀρρωδῶν τὴν δίην· ἔδει γὰρ αὐτὴν ὑπὸ τῶν ἄλλων δικασθῆναι πόεων· ἀναλαβὼν τὰ χρήματα καὶ τοὺς φίλους τοῖς ῾ωμαίοις προστίθεται ῥοπήν τ' οὐ μικρὰν εἰς τὰ πράγατα παρέσχε καὶ τοῦ κατορθωθῆναι τόνδε τὸν πόλεον ἁπάντων ἔδοξεν αἰτιώτατος γενέσθαι· ἀνθ' ὧν βουλὴ καὶ ὁ δῆμος εἴς τε τοὺς πατρικίους αὐτὸν ἐγραψε καὶ τῆς πόλεως μοῖραν εἴασεν ὅσην ἐβούτο λαβεῖν εἰς κατασκευὴν οἰκιῶν χώραν τ' αὐτῷ ροσέθηκεν ἐκ τῆς δημοσίας τὴν μεταξὺ Φιδήνης καὶ ἱκετίας, ὡς ἔχοι διανεῖμαι κλήρους ἅπασι τοῖς περὶ ὐτόν, ἀφ' ὧν καὶ φυλή τις ἐγένετο σὺν χρόνῳ Κλαυία καλουμένη καὶ μέχρις ἐμοῦ διέμεινε τὸ αὐτὸ φυάττουσα ὄνομα.

XXXXI. Ἐπεὶ δὲ παρεσκεύαστο ἅπαντα ἀμφοτέοις, πρῶτον μὲν ἐξῆγον οἱ Σαβῖνοι τὰς δυνάμεις καὶ οιοῦνται δύο παρεμβολὰς μίαν μὲν ὕπαιθρον οὐ πρόσω ιδήνης, ἑτέραν δ' ἐν αὐτῇ Φιδήνῃ φυλακῆς τε τῶν νδον ἕνεκα καὶ καταφυγῆς τῶν ἔξω στρατοπεδευόνων, ἄν τι γένηται πταῖσμα περὶ αὐτούς. ἔπειτα οἱ ῶν ῾Ρωμαίων ὕπατοι μαθόντες τὴν τῶν Σαβίνων ἐπὶ φᾶς ἔλασιν καὶ αὐτοὶ πάντας ἄγοντες τοὺς ἐν ἀκμῇ τρατοπεδεύονται χωρὶς ἀλλήλων, Οὐαλέριος μὲν ἀγχοῦ ῆς ὑπαίθρου τῶν Σαβίνων παρεμβολῆς, Λουκρήτιος ' ὀλίγον ἄπωθεν ἐπ' ὄχθου τινός, ὅθεν ἦν ὁ ἕτερος 2 άραξ καταφανής. ἡ μὲν οὖν τῶν ῾Ρωμαίων ὑπόληψις

4 τοῖς ῾Ρωμαίων προςτίθεται πολίταις A τοῖς ῾Ρωμαίοις ροςτίθεται B πολίταις superscript. 19 δὲ B 20 καὶ n. B 27 ὑποληψ⟨ις⟩ Bb

ἦν [συμβαλεῖν τοῖς πολεμίοις αὐτίκα], ὡς ἐν ἀγῶνι φανερῷ τοῦ πολέμου ταχεῖαν ἕξοντος τὴν κρίσιν, ὁ δὲ τῶν Σαβίνων στρατηγὸς ὀρρωδῶν ἐκ τοῦ φανεροῦ συμφέρεσθαι πρὸς εὐτολμίαν τε καὶ καρτερίαν ἀνθρώπων ἅπαντα τὰ δεινὰ ὑπομένειν ἑτοίμων νύκτωρ

3 ἐπιχειρεῖν αὐτοῖς ἔγνω· καὶ παρασκευασάμενος τάφρου τε χώσει καὶ χάρακος ἐπιβάσει ἃ πρόσφορα εἶναι ἔμελλεν, ἐπειδὴ πάντα ἐγένετο τὰ πρὸς τὸν ἀγῶνα εὐτρεπῆ, μετὰ τὸν πρῶτον ὕπνον ἀναστήσας τὸ κράτιστον τοῦ στρατοῦ μέρος ἄξειν ἐπὶ τὸ τῶν Ῥωμαίων ἔμελλεν ἔρυμα, τοῖς τ' ἐν Φιδήνῃ κατεστρατοπεδευκόσι παρήγγειλεν, ἐπειδὰν ἐξεληλυθότας αἴσθωνται τοὺς σφετέρους ἐξιέναι καὶ αὐτοὺς ἐκ τῆς πόλεως κούφῃ ἐσταλμένους ὁπλίσει· ἔπειτα λοχήσαντας ἐν χωρίοις ἐπιτηδείοις ἐκέλευσεν, εἴ τινες ἐπίκουροι τοῖς περὶ τὸν Οὐαλέριον ἐκ τῆς ἑτέρας στρατιᾶς ἐπίοιεν, ἀναστάντας καὶ κατὰ νώτου γενομένους σὺν βοῇ τε καὶ πατάγῳ πολλῷ χω-

4 ρεῖν ἐπ' αὐτούς. ὁ μὲν δὴ Σέξτος ταῦτα βουλευσάμενος καὶ τοῖς λοχαγοῖς φράσας, ἐπειδὴ κἀκείνοις ἦν βουλομένοις, περιέμεινε τὸν καιρόν· αὐτόμολος δέ τις ἐλθὼν εἰς τὸν χάρακα τῶν Ῥωμαίων μηνύει τὴν διάνοιαν αὐτοῦ πρὸς τὸν ὕπατον, καὶ μετ' οὐ πολὺ τῶν ἱππέων τινὲς ἧκον ἄγοντες αἰχμαλώτους τῶν Σαβίνων, οὓς ἐπὶ ξυλισμὸν ἐξεληλυθότας συνέλαβον. οὗτοι χωρὶς ἀλλήλων ἀνακρινόμενοι, τί παρασκευάζεται πράττειν

1 ἐνὶ ἀγῶνι c. Cobet Obs. p. 100 | verba συμβαλεῖν τοῖς πολεμίοις αὐτίκα, quae om. ABCa, add. CmgD post κρίσιν v. 2, ante ὡς ἐν ἀγῶνι posuit Sintenis Em. Dion. II 8 2 τὴν add. B 5 ἅπαντα δεινὰ A 6 παρ.κενασάμε Ba 7 ἃ om. Ba 8 γένοιτο Ba 10 ἔμελλεν om. B 18 βουλευόμενος O praeter B

σφῶν [αὐτῶν] ὁ στρατηγός, λέγουσιν, ὅτι κλίμακας τεκταίνεται καὶ διαβάθρας· ὅπου δ' αὐταῖς καὶ ὁπότε μέλλοι χρῆσθαι, οὐκ ἔφασαν εἰδέναι. ταῦτα μαθὼν ὁ 5 Οὐαλέριος ἀποστέλλει τὸν πρεσβευτὴν Λάρκιον εἰς τὸν ἕτερον χάρακα τήν τε διάνοιαν τῶν πολεμίων ἀπαγγελοῦντα τῷ κατέχοντι τὴν παρεμβολὴν ἐκείνην Λουκρητίῳ, καὶ τίνα χρὴ τρόπον ἐπιχειρεῖν τοῖς πολεμίοις ὑποθησόμενον· αὐτὸς δὲ τοὺς ταξιάρχους καὶ λοχαγοὺς καλέσας καὶ φράσας ὅσα τοῦ τ' αὐτομόλου καὶ τῶν αἰχμαλώτων ἤκουσε καὶ παρακαλέσας ἄνδρας ἀγαθοὺς εἶναι καιρὸν εἰληφέναι νομίσαντας εὐχῆς ἄξιον, ἐν ᾧ δίκας λήψονται παρὰ τῶν ἐχθρῶν καλάς, ἅ τε δέοι πράττειν ἑκάστοις ὑποθέμενος καὶ τὸ σύνθημα δοὺς ἀπέλυσεν ἐπὶ τὰς τάξεις.

141 XXXXII. Οὔπω μέσαι νύκτες ἦσαν, καὶ ὁ τῶν Σαβίνων ἡγεμὼν ἀναστήσας τοῦ στρατοῦ τὸ κράτιστον μέρος ἦγεν ἐπὶ τὸν χάρακα σιωπᾶν ἅπασι παραγγείλας καὶ μὴ ποιεῖν ψόφον τῶν ὅπλων, ἵνα μὴ γνοῖεν ἥκοντας αὐτοὺς οἱ πολέμιοι, πρὶν ἐπὶ τῷ ἐρύματι γένωνται. ὡς δὲ πλησίον ἐγένοντο τοῦ χάρακος οἱ πρῶτοι πορευόμενοι καὶ οὔτε φέγγη λαμπτήρων ἑώρων οὔτε φωνὰς φυλάκων κατήκουον, πολλὴν μωρίαν τῶν Ῥωμαίων καταγνόντες ὡς ἀφεικότων ἐρήμους τὰς φυλακὰς καὶ ἐντὸς [τοῦ] χάρακος καθευδόντων, ἐνεπίμπλασαν ὕλης

1 σφῶν αὐτῶν et A et B  2 τεκταίνεται ABb τετακταίνεται Ba  3 ἔφησαν B  4 πρεσβύτην O corr. Portus μάρκον A μάρκιον B λάρκιον Cmg et Portus  6 λοκρι//τίω Ba λοκρητίω Bb  16 ἀναστήσας τοὺς στρατιώτας ἦγεν ἐξ αὐτῶν τὸ κράτιστον μέρος ACD  18 ἀπὸ τῶν ὅπλων c. Reiske  19 πρὶν ἂν c. Baumann Observ. gram. de modorum usu p. 47  24 ἐντὸς B ἐκτὸς R | τοῦ del. Kiessling | ἐνεπίπλασαν A

τὰς τάφρους κατὰ πολλὰ μέρη καὶ διέβαινον οὐδενὸ
2 σφίσιν ἐμποδὼν γινομένου. παρεκάθηντο δὲ μεταξ
τῶν τάφρων καὶ τῶν περισταυρωμάτων οἱ Ῥωμαῖο
κατὰ σπείρας ἀφανεῖς διὰ τὸ σκότος, καὶ τοὺς δια
βαίνοντας αὐτῶν, ὅτε γένοιντο ἐν χερσίν, ἐφόνευοι
μέχρι μὲν οὖν τινος ἐλάνθανε τοὺς ὑστέρους προσιόν
τας ὁ τῶν προηγουμένων ὄλεθρος· ἐπεὶ δὲ φῶς ἐγι
νετο. σελήνης ἀνισχούσης οἱ πλησιάζοντες τῇ τάφρ
σωρούς θ᾽ ὁρῶντες οἰκείων νεκρῶν παρ᾽ αὐτῇ κα
στίφη πολεμίων καρτερὰ ὁμόσε χωροῦντα, ῥίψαντες τ
3 ὅπλα τρέπονται πρὸς φυγήν. οἱ δὲ Ῥωμαῖοι μέγ
ἀναβοήσαντες· ἦν δὲ τοῦτο σύνθημα τοῖς ἐπὶ τῆς ἑτέρα
παρεμβολῆς· ἐκτρέχουσιν ἐπ᾽ αὐτοὺς ἅπαντες ἀθρόο
καὶ ὁ Λουκρήτιος ὡς ἤκουσε τῆς κραυγῆς τοὺς ἱππεῖ
προαποστείλας διερευνησομένους, μή τις ἐγκάθητι
πολεμίων λόχος, ὀλίγον ὕστερον ἠκολούθει τοὺς ἀκμα
4 οτάτους τῶν πεζῶν ἐπαγόμενος. καὶ κατὰ τὸν αὐτὸ
χρόνον οἵ θ᾽ ἱππεῖς τοῖς ἐκ τῆς Φιδήνης λοχῶσι περ
τυχόντες τρέπουσιν εἰς φυγὴν καὶ οἱ πεζοὶ τοὺς ἐ
τὴν παρεμβολὴν σφῶν ἀφικομένους κτείνοντες ἐδίωκο
οὔτε ὅπλα οὔτε κόσμον σώζοντας. ἐν ταύταις τα
μάχαις Σαβίνων τε καὶ τῶν συμμάχων ἀπέθανον μὲ
ἀμφὶ τοὺς μυρίους καὶ τρισχιλίους καὶ πεντακοσίου
αἰχμάλωτοι δ᾽ ἐλήφθησαν τετρακισχίλιοι καὶ διακόσιο
καὶ ὁ μὲν χάραξ αὐθημερὸν ἑάλω.

2 περιεκάθηντο O corr. Sintenis Em. Dion. II 15 5 α τῶν] αὐτὰς A αὐτοῦ vel αὐτῇ c. Sylburg | χερσὶν αὐτῶν praeter BC 8 ἀν///οχούσης Ba ἀνιοχούσης Bb ἀνισχούσ R 9 οἰκείων νεκρῶν B τῶν νεκρῶν R 12 τοῦτο σύ θημα A τὸ σύνθημα B τοῦτο τὸ σ. R | τοῖς] τῶν BC ἀμφὶ μὲν AB ἀμφὶ add. Ab

XXXXIII. Ἡ δὲ Φιδήνη πολιορκηθεῖσα οὐ πολλαῖς ἡμέραις, καθ' ὃ μάλιστα δυσάλωτος εἶναι μέρος ἐδόκει καὶ ὑπ' ὀλίγων ἐφυλάσσετο, κατὰ τοῦτ' ἐλήφθη. οὐ μὴν ἀνδραποδισμοῦ γ' ἢ κατασκαφῆς ἐπειράθη φόνος τ' ἀνθρώπων οὐ πολὺς ἐγένετο μετὰ τὴν ἅλωσιν· ἀποχρῶσα γὰρ ἐφάνη ζημία τοῖς ὑπάτοις πόλεως ὁμοεθνοῦς ἁμαρτούσης ἁρπαγὴ χρημάτων τε καὶ ἀνδραπόδων καὶ ὁ τῶν κατὰ τὴν μάχην ἀπολομένων ὄλεθρος· τοῦ δὲ μὴ προχείρως ἔτι τοὺς ἑαλωκότας ἐπὶ τὰ ὅπλα χωρῆσαι φυλακὴ γενήσεσθαι μετρία καὶ συνήθης Ῥωμαίοις, ἡ τῶν αἰτίων τῆς ἀποστάσεως κόλασις. 2 συγκαλέσαντες δὴ Φιδηναίων τοὺς ἁλόντας εἰς τὴν ἀγορὰν καὶ πολλὰ τῆς ἀνοίας αὐτῶν κατηγορήσαντες ἀξίους τ' εἶναι φήσαντες ἅπαντας ἡβηδὸν ἀπολωλέναι μήτε ταῖς εὐεργεσίαις χάριν εἰδότας μήτε τοῖς κακοῖς σωφρονιζομένους, ῥάβδοις αἰκισάμενοι τοὺς ἐπιφανεστάτους ἁπάντων δρώντων ἀπέκτειναν· τοὺς δὲ λοιποὺς εἴασαν οἰκεῖν ὡς πρότερον ᾤκουν φρουροὺς συγκατοικίσαντες αὐτοῖς, ὅσους ἔκρινεν ἡ βουλή, καὶ τῆς χώρας ἀφελόμενοί τινα μοῖραν τοῖς φρουροῖς ἔδωκαν. ταῦτα διαπραξάμενοι τὴν δύναμιν ἀπῆγον ἐκ ⟨τῆς⟩ τῶν πολεμίων καὶ τὸν ὑπὸ τῆς βουλῆς ψηφισθέντα θρίαμβον κατήγαγον. ταῦτα μὲν ἐπὶ τῆς τούτων ὑπατείας ἐπράχθη.

XXXXIIII. Ποπλίου δὲ Ποστομίου τοῦ καλουμένου Τουβέρτου τὸ δεύτερον ἄρχειν αἱρεθέντος καὶ

12 δὲ O δὴ Kiessling 17 πάντων O corr. Kiessling 20 τινα om. B 21 ἀπήγαγον c. Reudler Tiroc. crit. p. 43 | τῆς add. Portus | ἐκ τῆς πολεμίας c. Sylburg, verba ἐκ τῶν πολεμίων post θρίαμβον transponenda esse c. Kiessling

Ἀγρίππα Μενηνίου τοῦ λεγομένου Λανάτου τρίτη γίνεται Σαβίνων εἰσβολὴ μείζονι στρατιᾷ, πρὶν αἰσθέσθαι Ῥωμαίους αὐτῶν τὴν ἔξοδον, καὶ μέχρι τοῦ τείχους τῆς Ῥώμης ἔλασις· ἐν ᾗ πολὺς ἐγένετο Ῥωμαίων φόνος οὐ μόνον τῶν γεωργῶν, οἷς οὐδὲν προσδεχομένοις αἰφνιδίως ἐπέστη τὸ δεινόν, πρὶν εἰς τὰ φρούρια τὰ πλησίον ἑκάστους καταφυγεῖν, ἀλλὰ καὶ
2 τῶν κατὰ πόλιν τηνικαῦτα διατριβόντων. ὁ γὰρ ἕτερος τῶν ὑπάτων Ποστόμιος οὐκ ἀνεκτὴν εἶναι τὴν ὕβριν τῶν πολεμίων ἡγησάμενος ἐξεβοήθει κατὰ σπουδὴν τοὺς ἐπιτυγχάνοντας ἄγων προχειρότερον μᾶλλον ἢ φρονιμώτερον. οὓς ἰδόντες οἱ Σαβῖνοι σὺν πολλῇ καταφρονήσει χωροῦντας ἐπὶ σφᾶς ἀσυντάκτους τε καὶ διεσπασμένους ἀπ' ἀλλήλων, ἔτι μᾶλλον αὐξῆσαι τὸ καταφρονοῦν αὐτῶν βουλόμενοι θᾶττον ἢ βάδην ἀνεχώρουν ὡς δὴ φεύγοντες ὀπίσω, τέως εἰς δρυμοὺς ἀφίκοντο βαθεῖς, ἔνθα ὁ λοιπὸς αὐτῶν στρατὸς ὑπεκάθητο· ἔπειθ' ὑποστρέψαντες ἐχώρουν τοῖς διώκουσιν ὁμόσε, καὶ οἱ ἐκ τοῦ δρυμοῦ μέγα ἀλαλάξαντες ἵενται
3 ἐπ' αὐτούς. ἀσυντάκτοις δ' ἀνθρώποις καὶ τεταραγμένοις καὶ ὑπὸ τοῦ δρόμου συγκεκομμένοις τὰ πνεύματα πολλοὶ καὶ σὺν κόσμῳ ἐπελθόντες, καταβάλλουσί τε τοὺς ὁμόσε χωροῦντας καὶ τοὺς λοιποὺς εἰς φυγὴν ὁρμήσαντας ὑποτεμόμενοι τὰς εἰς τὴν πόλιν φερούσας ὁδοὺς εἰς ὀρεινήν τινα κατακλείουσι ῥάχιν ἔρημον. θέμενοι δὲ πλησίον αὐτῶν τὰ ὅπλα· νὺξ γὰρ ἤδη

1 τοῦ λεγομένου A τοῦ καλουμένου R 3 ἔφοδον c. Grasberger Tess. Herbip. p. 26 8 κατὰ τὴν πόλιν c. Sylburg 14 ἀπ' om. O praeter B 15 ἐχώρουν Ba 16 τὲ ὡς Ba ἕως ABb corr. Kiessling 17 ⟨ὁ⟩ in ras. Bb 19 εἰεντ Ba ἵενται Bb ἵεντο R 22 πολλῷ σὺν κόσμῳ O praeter B

κατελάμβανε· φυλακὰς ἐποιοῦντο δι' ὅλης νυκτός, ἵνα
μὴ λάθοιεν σφᾶς ἀποδράντες. ὡς δ' εἰς τὴν Ῥώμην 4
τὸ πάθος ἀπηγγέλθη ταραχή τ' ἦν πολλὴ καὶ δρόμος
ἐπὶ τὰ τείχη καὶ δέος ἁπάντων, μὴ διὰ νυκτὸς εἰς τὴν
πόλιν ἔλθοιεν οἱ πολέμιοι τῷ κατορθώματι ἐπαρθέντες,
τῶν τ' ἀπολωλότων οἶκτος καὶ τῶν περιλειπομένων
ἔλεος, ὡς ἀναρπασθησομένων αὐτίκα μάλα δι' ἀπορίαν
τῶν ἀναγκαίων, εἰ μή τις αὐτοῖς ἐπικουρία ἔλθοι ταχεῖα.
ἐκείνην μὲν οὖν τὴν νύκτα πονηρὰς ἔχοντας τὰς ψυχὰς 5
ἄγρυπνοι διῆγον· τῇ δ' ἑξῆς ἡμέρᾳ πάντας τοὺς ἐν
947 ἀκμῇ καθοπλίσας ὁ ἕτερος τῶν ὑπάτων Μενήνιος ἦγεν
ἐπικούρους τοῖς ἐν τῷ ὄρει κόσμον καὶ τάξιν φυλάττοντας. ἰδόντες δ' αὐτοὺς οἱ Σαβῖνοι προσιόντας οὐκέτι παρέμειναν, ἀλλ' ἀναστήσαντες τὸν αὐτῶν στρατὸν ἦγον ἀπὸ τοῦ ὄρους ἀποχρῆν οἰόμενοι σφίσι τὴν παροῦσαν εὐτυχίαν· καὶ οὐ πολὺν ἔτι διατρίψαντες χρόνον ἀπῆεσαν ἐπὶ τὰ σφέτερα σὺν αὐχήματι μεγάλῳ βοσκημάτων τε καὶ ἀνδραπόδων καὶ χρημάτων ἀφθόνους ἄγοντες ὠφελείας.

XXXXV. Ῥωμαῖοι δ' ἀγανακτοῦντες ἐπὶ τῇ συμφορᾷ καὶ τὸν ἕτερον τῶν ὑπάτων Ποστόμιον ἐν αἰτίαις ἔχοντες ἔγνωσαν ἁπάσαις δυνάμεσι στρατεύειν κατὰ τάχος ἐπὶ τὴν Σαβίνων γῆν, τήν τε ἧτταν αἰσχρὰν καὶ ἀνέλπιστον γενομένην ἐπανορθῶσαι προθυμούμενοι, καὶ ἐπὶ τῇ νεωστὶ ἀφικομένῃ παρὰ τῶν πολεμίων πρεσβείᾳ πολλὴν ὕβρις ἐχούσῃ καὶ αὐθάδειαν ἀχθό-

7 ἀπορ⟨ι⟩αν Bb 8 ταχεῖα ἔλθοι B | πονήρας c. Stephanus 14 τὸν αὐτῶν στρατηγὸν ἀπὸ τοῦ ὄρους ἀπῆγον O στρατὸν Portus et Sylburg; τὸν αὐτῶν στρατὸν ἦγον deleto quod sequitur ἀπῆγον Sintenis Em. Dion. II 4 21 Ποστόμιον om. B

2 μενοι. ὡς γὰρ δὴ κρατοῦντες ἤδη καὶ δίχα πόνου
τὴν Ῥώμην αἱρήσοντες ⟨αὐτῶν⟩ μὴ βουλομένων τὰ κε-
λευόμενα ποιεῖν, Ταρκυνίοις τε διδόναι τὴν κάθοδον
ἐκέλευον καὶ τῆς ἡγεμονίας σφίσι παραχωρεῖν πολι-
τείαν τε καταστήσασθαι καὶ νόμους, οὓς ἂν οἱ κεκρα-
τηκότες τάξωσιν. ἀποκρινάμενοι δὲ τοῖς πρεσβευταῖς
ἀπαγγέλλειν πρὸς τὸ κοινόν, ὅτι Ῥωμαῖοι κελεύουσι
Σαβίνους ὅπλα τ' ἀποθέσθαι καὶ παραδοῦναι σφίσι
τὰς πόλεις ὑπηκόους τ' εἶναι πάλιν, ὥσπερ πρότερον
ἦσαν, ταῦτα δὲ ποιήσαντας [αὐτοὺς] ἥκειν τότε περὶ
ὧν ἠδίκησαν ἢ κατέβλαψαν αὐτοὺς ἐν ταῖς πρότερον
εἰσβολαῖς δεησομένους, εἰ βούλονται τυχεῖν εἰρήνης
καὶ φιλίας· ἐὰν δὲ μὴ ποιῶσι τὰ κελευόμενα προσ-
δέχεσθαι τὸν πόλεμον ἥξοντα ἐπὶ τὰς πόλεις αὐτῶν
3 οὐκ εἰς μακράν. τοιαῦτα ἐπιταχθέντες τε καὶ ἐπιτά-
ξαντες ἀλλήλοις, ἐπειδὴ πᾶσιν ἐξηρτύσαντο τοῖς εἰς
τὸν ἀγῶνα ἐπιτηδείοις, ἐξῆγον τὰς δυνάμεις, Σαβῖνοι
τε τὴν κρατίστην ἐξ ἁπάσης πόλεως νεότητα ὅπλοις
ἐκπρεπέσι κεκοσμημένην ἐπαγόμενοι, Ῥωμαῖοί τε πᾶσαν
τὴν δύναμιν τήν τε κατὰ πόλιν καὶ τὴν ἐν τοῖς φρου-
ρίοις ἀναλαβόντες, ἱκανοὺς οἰόμενοι τοὺς ὑπὲρ τὴν
στρατεύσιμον ἡλικίαν γεγονότας καὶ τὸν οἰκετικὸν
ὄχλον τήν τε πόλιν καὶ τὰ ἐπὶ τῆς χώρας ἐρύματα
4 φυλάττειν. καὶ συνελθόντες ὁμόσε τίθενται τοὺς χά-

1 *κρατοῦντες αὐτῶν O praeter B, ego αὐτῶν ante μὴ inserui 6 ἀπεκρίναντο c. Kiessling 7 ὅτι] οἱ c. Reiske 10 αὐτοὺς del. Kiessling | τότε ἥκειν c. Cobet Obs. p. 101 12 δεησομένους] δικασομένους c. Bücheler, συγγνώμην vel ἄδειαν αἰτησομένους c. Kiessling, συγγνώμης δεησομένους c. Kayser Ann. phil. 1866 p. 45; cf. Grasberger Tess. Herbip. p. 27 17 ἅπασιν O corr. Kiessling 19 ἐκπρεπέσι om. B 20 κατὰ τὴν πόλιν c. Ambrosch

ρακας ἀμφότεροι μικρὸν ἀπέχοντας ἀλλήλων Ἠρήτου πόλεως, ἣ τοῦ Σαβίνων ἐστὶν ἔθνους, οὐ πρόσω.

XXXXVI. Ὡς δὲ συνεῖδον ἀμφότεροι τὰ τῶν πολεμίων πράγματα, τῷ τε μεγέθει τῶν στρατοπέδων εἰκάσαντες καὶ παρ' αἰχμαλώτων ἀκούσαντες, τοῖς μὲν Σαβίνοις θάρσος παρέστη καὶ καταφρόνησις τῆς τῶν πολεμίων ὀλιγότητος, τοῖς δὲ Ῥωμαίοις δέος πρὸς τὸ τῶν ἀντιπολεμούντων πλῆθος· ἐθάρρησαν δὲ καὶ ⟨οὐ⟩ μικρὰς ἐλπίδας ὑπὲρ τῆς νίκης ἔλαβον ἄλλων τε σημείων γενομένων σφίσι θεοπέμπτων καὶ δὴ καὶ τελευταίου φάσματος, ὅτε παρατάττεσθαι ἔμελλον, τοιοῦδε.
'60 ἐκ τῶν καταπεπηγμένων παρὰ ταῖς σκηναῖς ὑσσῶν· 2
ἔστι δὲ ταῦτα βέλη Ῥωμαίων, ἃ συνιόντες εἰς χεῖρας ἐξακοντίζουσι, ξύλα προμήκη τε καὶ χειροπλήθη τριῶν οὐχ ἧττον ποδῶν σιδηροῦς ὀβελίσκους ἔχοντα προύχοντας κατ' εὐθεῖαν ἐκ θατέρου τῶν ἄκρων, μετρίοις ἀκοντίοις ἴσα σὺν τῷ σιδήρῳ· ἐκ τούτων δὴ τῶν ὑσσῶν περὶ τοῖς ἄκροις τῶν ὀβελίσκων φλόγες ἀνήπτοντο, καὶ δι' ὅλου τοῦ στρατοπέδου τὸ σέλας ἦν, ὥσπερ ἀπὸ λαμπάδων, καὶ κατέσχε τῆς νυκτὸς ἐπὶ πολύ. ἐκ τού- 3
του κατέλαβον τοῦ φάσματος, ὥσπερ οἱ τερατοσκόποι ἀπέφαινον καὶ πᾶσιν ἀνθρώποις συμβαλεῖν οὐ χαλεπὸν ἦν, ὅτι νίκην αὐτοῖς ταχεῖαν καὶ λαμπρὰν σημαίνει τὸ δαιμόνιον, ἐπειδήπερ ἅπαν εἴκει ⟨τῷ⟩ πυρὶ καὶ οὐδὲν ὅ τι οὐχ ὑπὸ τοῦ πυρὸς διαφθείρεται. τοῦτο δ' ὅτι ἐκ τῶν ἀμυντηρίων αὐτοῖς ὅπλων ἀνήφθη, μετὰ

1 ἠρήτου ABa ἱρίτου Bb 8 οὐ ante μικρὰς add. Pflugk, Schnelle Exerc. p. 10 16 ἐκ θατέρου B ἑκατέρου R 22 συμβάλλειν B 23 σημ⟨αί⟩νει Bb 24 τῷ add. Reiske | πυρὶ καὶ add. Ba 26 ὅτι C cf. Sintenis Em. Dion. II 15 ὅτε AB

πολλοῦ θάρσους προῆεσαν ἐκ τοῦ χάρακος καὶ συρράξαντες τοῖς Σαβίνοις ἐμάχοντο πολλαπλασίοις ἐλάττους 951 ἐν τῷ θαρρεῖν τὸ πιστὸν ἔχοντες· καὶ ἡ ἐμπειρία δὲ σὺν τῷ φιλοπόνῳ πολλὴ αὐτοῖς παροῦσα παντὸς ἐπή-
4 γετο δεινοῦ καταφρονεῖν. πρῶτος μὲν οὖν ὁ Ποστόμιος τὸ εὐώνυμον ἔχων κέρας ἀναλύσασθαι τὴν προτέραν ἧτταν προθυμούμενος τὸ δεξιὸν τῶν πολεμίων ἐξωθεῖ κέρας πρόνοιαν οὐδεμίαν τῆς ἑαυτοῦ ψυχῆς παρὰ τὸ νικᾶν ποιούμενος, ἀλλ' ὥσπερ οἱ μεμηνότες καὶ θανατῶντες εἰς μέσους τοὺς πολεμίους ῥιπτῶν ἑαυτόν· ἔπειτα καὶ οἱ σὺν τῷ Μενηνίῳ θάτερον ἔχοντες κέρας κάμνοντες ἤδη καὶ ἐξωθούμενοι τῆς στάσεως, ὡς ἔμαθον, ὅτι νικῶσι τοὺς κατὰ σφᾶς οἱ τοῦ Ποστομίου, θαρρήσαντες εἰς ἀντίπαλα χωροῦσι· καὶ γίνεται τῶν κεράτων ἀμφοτέρων τοῖς Σαβίνοις ἐκκλινάντων
5 τροπὴ παντελής. οὐδὲ γὰρ οἱ ἐν μέσῃ τῇ φάλαγγι ταχθέντες ἐψιλωμένων τῶν ἄκρων ἔτι παρέμειναν, ἀλλ' ὑπὸ τῆς ἵππου τῆς Ῥωμαϊκῆς ἐξελαυνούσης κατὰ τέλη βιασθέντες ἀνεστάλησαν. φυγῆς δὲ πάντων γενομένης ἐπὶ τοὺς χάρακας ἀκολουθήσαντες οἱ Ῥωμαῖοι κ[αὶ] συνεισπεσόντες ἀμφότερα λαμβάνουσιν αὐτῶν τὰ ἐρ[ύ]ματα. τοῦ δὲ μὴ πανσυδὶ τὸν τῶν πολεμίων διαφθ[α]ρῆναι στρατὸν ἥ τε νὺξ αἰτία ἐγένετο καὶ τὸ [ἐν] οἰκείᾳ γῇ τὸ πάθος αὐτοῖς συμβῆναι· ῥᾷον γὰρ

2 πολλαπλασίοις AB πολλῷ πλείοσιν Schnelle Exerc. p. 4 παροῦσα O περιοῦσα c. Sintenis Em. Dion. II 15 | ἐπήγετο δε νοῦ] ἐπῆρε τοῦ δεινοῦ c. Reiske ὑπήγετο c. Cobet Obs. p. 1 6 ἀναρύσασθαι Ba ἀναλύσασθαι Cobet Obs. l. l. 10 ῥίπτω O corr. Kiessling 14 θαρσήσαντες AB 15 ἐκκλινάντω AB ἐγκλινάντων R quod def. Hertlein 17 ἔτι τῶν O transposuit Sintenis Em. Dion. II 15

φεύγοντες ἐπὶ τὰ σφέτερα ἐσώζοντο δι' ἐμπειρίαν τῶν τόπων.

XXXXVII. Τῇ δ' ἑξῆς ἡμέρᾳ καύσαντες τοὺς
ἑαυτῶν νεκροὺς οἱ ὕπατοι καὶ τὰ σκῦλα συλλέξαντες·
ἑάλω δέ τινα καὶ ἀπὸ τῶν ζώντων ῥιπτούντων ἐν τῇ
φυγῇ τὰ ὅπλα· ἄνδρας τ' αἰχμαλώτους ἄγοντες, οὓς
ἔλαβον οὐκ ὀλίγους καὶ χρήματα, χωρὶς ὧν οἱ στρα-
τιῶται διήρπασαν· τούτων δὲ διαπραθέντων δημοσίᾳ
τὰς κατ' ἄνδρα γενομένας εἰσφοράς, αἷς ἔστειλαν τοὺς
ϛρατιώτας, ἅπαντες ἐκομίσαντο· [καὶ] ἀπῄεσαν ἐπ'
)ἶκον λαμπροτάτην ἀνῃρημένοι νίκην. καὶ θριάμβοις 2
ὑπὸ τῆς βουλῆς ἐκοσμοῦντο ἀμφότεροι, Μενήνιος μὲν
τῷ μείζονι καὶ τιμιωτέρῳ, παρεμβεβηκὼς ἐφ' ἁρματίου
δίφρου βασιλικοῦ, Ποστόμιος δὲ τῷ ἐλάσσονι καὶ ὑπο-
δεεστέρῳ, ὃν καλοῦσιν οὐαστήν, παρεγκλίναντες τοὔ-
νομα Ἑλληνικὸν ὑπάρχον εἰς *τἀσαφές. τὸ γὰρ πρῶτον
εὐαστὴς [οὕτως] ἀπὸ τοῦ συμβεβηκότος ἐλέγετο, ὡς
αὐτός τ' εἰκάζω καὶ ἐν πολλαῖς εὑρίσκω γραφαῖς ἐπι-
χωρίοις φερόμενον. τότε δὲ πρῶτον, ὡς Λικίννιος 3
ἱστορεῖ, τοῦτον ἐξευρούσης τὸν θρίαμβον τῆς βουλῆς.
διαφέρει δὲ θατέρου πρῶτον μέν, ὅτι πεζὸς εἰσέρχεται
μετὰ τῆς στρατιᾶς προηγούμενος ὁ τὸν οὐαστὴν κατά-

2 ἢ οἱ διώκοντες κατελάμβανον δι' ἀπειρίαν τῶν διεξόδων post τόπων vulgo exstant 4 καὶ om. A τὰ om. B 6 ἄγον-τες ἔλαβον οὐκ ὀλίγους καὶ χρήματα A ἄγοντες καὶ χρήματα mediis verbis omissis B ἄγοντες οὓς ἔλαβον οὐκ ὀλίγους καὶ χρήματα Kiessling auctore Reiskio 8 διαπραχθέντων AB ραθέντων R διαπραθέντων Kiessling 10 καὶ seclusit Reiske 12 ἐκοσμοῦντ⟨ο⟩ B 14 δὲ ἐν A δ' ἐν B ἐν del. Sylburg 15 εὐάστην AB οὐαστὴν Casaubonus 16 πρῶτον εὐαστὴς οὕτως ACmgD, πρῶτον οὗτος Ba πρῶτον οὕτως Bb οὕτως uncis seclusit Sintenis Em. Dion. II 15 | *τὸ ἀσαφὲς O 19 δὲ AB τότε δὲ CD 22 εὐάστην AB | κατάγων om. B

πολλοῦ θάρσους προήεσαν ἐκ τοῦ χάρακος καὶ συρ
ξαντες τοῖς Σαβίνοις ἐμάχοντο πολλαπλασίοις ἐλάττο
ἐν τῷ θαρρεῖν τὸ πιστὸν ἔχοντες· καὶ ἡ ἐμπειρία
σὺν τῷ φιλοπόνῳ πολλὴ αὐτοῖς παροῦσα παντὸς ἐπ
4 γετο δεινοῦ καταφρονεῖν. πρῶτος μὲν οὖν ὁ Ποσι
μιος τὸ εὐώνυμον ἔχων κέρας ἀναλύσασθαι τὴν πρ
τέραν ἧτταν προθυμούμενος τὸ δεξιὸν τῶν πολεμί
ἐξωθεῖ κέρας πρόνοιαν οὐδεμίαν τῆς ἑαυτοῦ ψυχ
παρὰ τὸ νικᾶν ποιούμενος, ἀλλ' ὥσπερ οἱ μεμηνό
καὶ θανατῶντες εἰς μέσους τοὺς πολεμίους ῥιπτε
ἑαυτόν· ἔπειτα καὶ οἱ σὺν τῷ Μενηνίῳ θάτερον ἔχο
τες κέρας κάμνοντες ἤδη καὶ ἐξωθούμενοι τῆς στάσεω
ὡς ἔμαθον, ὅτι νικῶσι τοὺς κατὰ σφᾶς οἱ τοῦ Ποστ
μίου, θαρρήσαντες εἰς ἀντίπαλα χωροῦσι· καὶ γίνετ
τῶν κεράτων ἀμφοτέρων τοῖς Σαβίνοις ἐκκλινάντ
5 τροπὴ παντελής. οὐδὲ γὰρ οἱ ἐν μέσῃ τῇ φάλαγ
ταχθέντες ἐψιλωμένων τῶν ἄκρων ἔτι παρέμειναν, ἀλ
ὑπὸ τῆς ἵππου τῆς Ῥωμαϊκῆς ἐξελαυνούσης κατὰ τέ
βιασθέντες ἀνεστάλησαν. φυγῆς δὲ πάντων γενομέν
ἐπὶ τοὺς χάρακας ἀκολουθήσαντες οἱ Ῥωμαῖοι κ
συνεισπεσόντες ἀμφότερα λαμβάνουσιν αὐτῶν τὰ ἐρ
ματα. τοῦ δὲ μὴ πανσυδὶ τὸν τῶν πολεμίων διαφθ
ρῆναι στρατὸν ἥ τε νὺξ αἰτία ἐγένετο καὶ τὸ
οἰκείᾳ γῇ τὸ πάθος αὐτοῖς συμβῆναι· ῥᾷον γὰρ

2 πολλαπλασίοις AB πολλῷ πλείοσιν Schnelle Exerc. p.
4 παροῦσα O περιοῦσα c. Sintenis Em. Dion. II 15 | ἐπήγετο δ
νοῦ] ἐπῆρε τοῦ δεινοῦ c. Reiske ὑπήγετο c. Cobet Obs. p. 1
6 ἀναρύσασθαι Ba ἀναλύσασθαι Cobet Obs. l. l. 10 ῥίπτε
O corr. Kiessling 14 θαρσήσαντες AB 15 ἐκκλινάντε
AB ἐγκλινάντων R quod def. Hertlein 17 ἔτι τῶν O tra
posuit Sintenis Em. Dion. II 15

φεύγοντες ἐπὶ τὰ σφέτερα ἐσῴζοντο δι' ἐμπειρίαν τῶν τόπων.

XXXVII. Τῇ δ' ἑξῆς ἡμέρᾳ καύσαντες τοὺς ἑαυτῶν νεκροὺς οἱ ὕπατοι καὶ τὰ σκῦλα συλλέξαντες· ἑάλω δέ τινα καὶ ἀπὸ τῶν ζώντων ῥιπτούντων ἐν τῇ φυγῇ τὰ ὅπλα· ἄνδρας τ' αἰχμαλώτους ἄγοντες, οὓς ἔλαβον οὐκ ὀλίγους καὶ χρήματα, χωρὶς ὧν οἱ στρατιῶται διήρπασαν· τούτων δὲ διαπραθέντων δημοσίᾳ τὰς κατ' ἄνδρα γενομένας εἰσφοράς, αἷς ἔστειλαν τοὺς στρατιώτας, ἅπαντες ἐκομίσαντο· [καὶ] ἀπῄεσαν ἐπ' οἶκον λαμπροτάτην ἀνῃρημένοι νίκην. καὶ θριάμβοις 2 ὑπὸ τῆς βουλῆς ἐκοσμοῦντο ἀμφότεροι, Μενήνιος μὲν τῷ μείζονι καὶ τιμιωτέρῳ, παρεμβεβηκὼς ἐφ' ἁρματίου 953 δίφρου βασιλικοῦ, Ποστόμιος δὲ τῷ ἐλάσσονι καὶ ὑποδεεστέρῳ, ὃν καλοῦσιν οὐαστήν, παρεγκλίναντες τοὔνομα Ἑλληνικὸν ὑπάρχον εἰς *τὸ ἀσαφές. τὸ γὰρ πρῶτον εὐαστὴς [οὕτως] ἀπὸ τοῦ συμβεβηκότος ἐλέγετο, ὡς αὐτός τ' εἰκάζω καὶ ἐν πολλαῖς εὑρίσκω γραφαῖς ἐπιχωρίοις φερόμενον. τότε δὲ πρῶτον, ὡς Λικίννιος 3 ἱστορεῖ, τοῦτον ἐξευρούσης τὸν θρίαμβον τῆς βουλῆς. 954 διαφέρει δὲ θατέρου πρῶτον μέν, ὅτι πεζὸς εἰσέρχεται μετὰ τῆς στρατιᾶς προηγούμενος ὁ τὸν οὐαστὴν κατά-

2 ἢ οἱ διώκοντες κατελάμβανον δι' ἀπειρίαν τῶν διεξόδων post τόπων vulgo exstant 4 καὶ om. A τὰ om. B 6 ἄγοντες ἔλαβον οὐκ ὀλίγους καὶ χρήματα A ἄγοντες καὶ χρήματα mediis verbis omissis B ἄγοντες οὓς ἔλαβον οὐκ ὀλίγους καὶ χρήματα Kiessling auctore Reiskio 8 διαπραχθέντων AB πραθέντων R διαπραθέντων Kiessling 10 καὶ seclusit Reiske 12 ἐκοσμοῦντ⟨ο⟩ B 14 δὲ ἐν A δ' ἐν B ἐν del. Sylburg 15 εὐάστην AB οὐαστὴν Casaubonus 16 πρῶτον εὐαστὴς οὕτως ACmgD, πρῶτον οὗτος Ba πρῶτον οὕτως Bb οὕτως uncis seclusit Sintenis Em. Dion. II 15 | *τὸ ἀσαφὲς O 19 τὸ δὲ AB τότε δὲ CD 22 εὐάστην AB | κατάγων om. B

γων θρίαμβον, ἀλλ' οὐκ ἐφ' ἅρματος ὥσπερ ἐκεῖν ἔπειθ' ὅτι οὐ τὴν ποικίλην καὶ χρυσόσημον ἀμφι νυται στολήν, ᾗ κοσμεῖται ὁ ἕτερος, οὐδὲ τὸν χρυσ ἔχει στέφανον, ἀλλὰ περιπόρφυρον λευκὴν περιβέβ ται τήβενναν, τὸ ἐπιχώριον τῶν ὑπάτων τε καὶ στ τηγῶν φόρημα, στέφανον δ' ἐπίκειται δάφνης, μεμε ται δὲ καὶ τοῦ σκήπτρου τῇ φορήσει παρὰ τὸν ἕτερ 4 τὰ δ' ἄλλα πάντα ταὐτὰ ἔχει. αἴτιον δὲ τῷ ἀν [Ποστομίῳ] τῆς ἐλάττονος τιμῆς ἐγένετο, καίτοι λι προτάτῳ πάντων γενομένῳ κατὰ τὴν μάχην, τὸ π τερον πταῖσμα ἐν τῇ ἐπιδρομῇ μέγα καὶ σὺν αἰσχ γενόμενον, ἐξ οὗ τῆς τε δυνάμεως πολλοὺς ἀπώλ καὶ αὐτὸς ὀλίγου ἐδέησε σὺν τοῖς περιλειφθεῖσιν τῆς τροπῆς αἰχμάλωτος γενέσθαι.

XXXXVIII. Ἐπὶ δὲ τῆς τούτων ἀρχῆς Πόπλ Οὐαλέριος Ποπλικόλας ἐπικαλούμενος νοσήσας ἐ λεύτα, κράτιστος τῶν τότε Ῥωμαίων κατὰ πᾶσαν ἀ τὴν νομισθείς. τὰ μὲν οὖν ἄλλα τοῦ ἀνδρὸς ἔργα, ἃ θαυμάζεσθαί τε καὶ μνήμης τυγχάνειν ἄξιός ἐσ οὐδὲν δέομαι λέγειν· ἐν ἀρχῇ γὰρ τοῦ λόγου το τὰ πολλὰ εἴρηται· ὃ δ' ἁπάντων ἐστὶ τῶν τοῦ ἀνδ ἐγκωμίων θαυμασιώτατον καὶ οὔπω τέτευχε λόγ τοῦτ' οἴομαι δεῖν μὴ παρελθεῖν, παντὸς μάλιστα μίζων τοῦτο προσήκειν τοῖς γράφουσιν ἱστορίας, μόνον τὰς πολεμικὰς πράξεις τῶν ἐπισήμων ἡγεμόν

3 ὁ ἕτερος usque ad περιβέβληται verba add. B | *χρύσ O 5 τήβεννον A 8 ταῦτ' ἔχει ABa ταύτῃ ἔχει Ba 9 . στομίῳ del. Kiessling auctore Porto 12 πολλοὺς] πολλὴ Sylburg 16 Οὐαλέριος ὁ Π. c. Kiessling 22 τέτυχε τετύχηκε Bb 23 πάντως Ba πάντων μάλιστα vel παντὸς μ λον c. Stephanus

διεξιέναι, μηδ' εἴ τι πολίτευμα καλὸν καὶ σωτήριον
ταῖς πόλεσιν ἀπεδείξαντο ἐξευρόντες, ἀλλὰ καὶ τοὺς
βίους αὐτῶν, εἰ μέτριοι καὶ σώφρονες καὶ μένοντες
ἐπὶ τοῖς πατρίοις ἐπιτηδεύμασι διετέλεσαν, ἐπιδείκνυ- 2
σθαι. ἐκεῖνος τοίνυν ὁ ἀνὴρ συγκαταλύσας μὲν τοὺς
βασιλεῖς ἐν τοῖς πρώτοις τέτταρσι πατρικίοις καὶ δη-
μεύσας αὐτῶν τὰς ὑπάρξεις, τετράκις δὲ τῆς ὑπατικῆς
ἐξουσίας γενόμενος κύριος, μεγίστους δὲ δύο νικήσας
πολέμους καὶ θριάμβους καταγαγὼν ἀπ' ἀμφοτέρων,
τὸν μὲν πρῶτον ἀπὸ τοῦ Τυρρηνῶν ἔθνους, τὸν δὲ
δεύτερον ἀπὸ Σαβίνων, τοιαύτας ἀφορμὰς χρηματισμοῦ
λαβών, ἃς οὐδεὶς ἂν ὡς αἰσχρὰς καὶ ἀδίκους διέβαλεν,
οὐχ ἑάλω τῇ πάντας ἀνθρώπους καταδουλουμένῃ καὶ
ἀσχημονεῖν ἀναγκαζούσῃ φιλοχρηματίᾳ· ἀλλ' ἐπὶ τῇ
μικρᾷ καὶ πατροπαραδότῳ διέμεινεν οὐσίᾳ σώφρονα
957 καὶ αὐτάρκη καὶ πάσης ἐπιθυμίας κρείττονα βίον ζῶν,
καὶ παῖδας ἐπὶ τοῖς ὀλίγοις χρήμασιν ἐθρέψατο τοῦ
γένους ἀξίους, καὶ δῆλον ἐποίησεν ἅπασιν, ὅτι πλού-
σιός ἐστιν οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ μικρῶν
δεόμενος. πίστις δ' ἀκριβὴς καὶ ἀναμφίλεκτος τῆς 3
αὐταρκείας τοῦ ἀνδρός, ἣν ἀπεδείξατο παρὰ πάντα
τὸν τοῦ βίου χρόνον, ἡ μετὰ τὸν θάνατον αὐτοῦ φα-
νεῖσα ἀπορία. οὐδὲ γὰρ αὐτὰ τὰ εἰς τὴν ἐκκομιδὴν
τοῦ σώματος καὶ ταφήν, ὧν ἀνδρὶ προσήκει τηλικούτῳ
τυχεῖν, ἀρκοῦντα ἐν τοῖς ὑπάρχουσι κατέλιπεν· ἀλλ'
ἐμέλλησαν αὐτὸν οἱ συγγενεῖς φαύλως πως καὶ ὡς ἕνα

3 ἐπιδεικνύναι c. Kiessling 10 δὲ om. B 11 ἀπὸ τοῦ Σαβίνων c. Reiske | χρηματισμῶν B 15 διέμειν⟨ε⟩ν B 18 ἀξίως c. Stephanus | δη.λον B 20 δεησόμενος O δεόμενος Stephanus 24 ὧν ABC ὢν Ba ὡς editio Kiesslingiana ἧς c. Bücheler

τῶν ἐπιτυχόντων ἐκκομίσαντες ἐκ τῆς πόλεως καύ τε καὶ θάπτειν· ἡ μέντοι βουλὴ μαθοῦσα ὡς εἴη αὐτοῖς τὰ πράγματα [ἀπόρως], ἐκ τῶν δημοσίων ἐψ φίσατο χρημάτων ἐπιχορηγηθῆναι τὰς εἰς τὴν ταφ δαπάνας, καὶ χωρίον, ἔνθα ἐκαύθη καὶ ἐτάφη, μόν τῶν μέχρις ἐμοῦ γενομένων ἐπιφανῶν ἀνδρῶν ἐν τ πόλει σύνεγγυς τῆς ἀγορᾶς ἀπέδειξεν ὑπ' Οὐελίας· κ ἔστιν ὥσπερ ἱερὸν τοῦτο τοῖς ἐξ ἐκείνου τοῦ γένου ἐνθάπτεσθαι ἀνειμένον, παντὸς πλούτου καὶ πάσ βασιλείας κρεῖττον ἀγαθόν, εἴ τις μὴ ταῖς ἐπονει στοις ἡδοναῖς μετρεῖ τὴν εὐδαιμονίαν, ἀλλὰ τῷ καλ

4 Οὐαλέριος μὲν δὴ Ποπλικόλας οὐθὲν ἔξω τῆς ε τἀναγκαῖα δαπάνης κτήσασθαι προελόμενος, ὡς τι πολυχρημάτων τις βασιλέων λαμπραῖς ὑπὸ τῆς πόλε ἐκοσμήθη ταφαῖς· καὶ αὐτὸν Ῥωμαίων αἱ γυναῖκ ἅπασαι συνειπάμεναι τὸν αὐτὸν τρόπον ὥσπερ Ἰο νιον Βροῦτον ἀποθέσει χρυσοῦ τε καὶ πορφύρας ⟨τὸν ἐνιαύσιον ἐπένθησαν χρόνον, ὡς ἔθος αὐταῖς ἐσ πενθεῖν ἐπὶ τοῖς ἀναγκαίοις τῶν συγγενῶν κήδεσι.

XXXXVIIII. Μετὰ δὲ τὸν ἐνιαυτὸν ἐκεῖνον ὕπα τοι καθίστανται Σπόριος Κάσσιος Οὐεκελλῖνος ἐπι καλούμενος καὶ Ὀπίτωρ Οὐεργίνιος Τρικάτος. ἐφ' ὧ ὁ πρὸς Σαβίνους πόλεμος ὑπὸ θατέρου τῶν ὑπάτω Σπορίου κατελύθη μάχης ἰσχυρᾶς γενομένης οὐ μακρὰ τῆς Κυριτῶν πόλεως· ἐξ ἧς ἀπέθανον μὲν ἀμφὶ τοὺ

3 ἀπόρως del. Cobet Obs. p. 101 7 ὑπὸ ἐλέους AC ὑπελεσ/// Ba ὑπ' ἐλέουσ Bb Veliam significari Casaubonus v dit 9 πάσης add. B 10 ἐπονειδίστοις add. B 17 τὸ add. Grasberger Tess. Herbip. p. 27 21 Οὐσκελῖνος A Οὐσκε λῖνος B Οὐεκελλῖνος Mommsen Römische Forschungen p. 10 22 τριακοστος Ba τρικάτος BbC στρικάτος A

μυρίους καὶ τριακοσίους Σαβίνων, αἰχμάλωτοι δ' ἐλήφθησαν ὀλίγον ἀποδέοντες τετρακισχιλίων. ταύτῃ τῇ 2
συμφορᾷ τελευταίᾳ πληγέντες οἱ Σαβῖνοι πρέσβεις ἀπέστειλαν ὡς τὸν ὕπατον διαλεξομένους περὶ φιλίας. ἀναβαλλομένου δ' αὐτοὺς ἐπὶ τὴν βουλὴν τοῦ Κασσίου, παραγενηθέντες εἰς Ῥώμην σὺν πολλῇ δεήσει μόλις εὑρίσκονται διαλλαγὰς καὶ κατάλυσιν τοῦ πολέμου, σῖτόν τε τῇ στρατιᾷ δόντες, ὅσον ἐπέταξε Κάσσιος καὶ ἀργύριόν τι τακτὸν κατ' ἄνδρα καὶ γῆς πεφυτευμένης πλέθρα μύρια. Σπόριος μὲν δὴ Κάσσιος θρίαμβον ἐκ 3
τοῦ πολέμου τοῦδε κατήγαγεν· ὁ δ' ἕτερος τῶν ὑπάτων Οὐεργίνιος ἐπὶ τὴν Καμαριναίων πόλιν ἐστράτευσεν μὲν ἀφεστῶσαν ἀπὸ τῆς Ῥωμαίων συμμαχίας κατὰ τόνδε τὸν πόλεμον, ἄγων τὴν ἡμίσειαν τῆς ἑτέρας στρατιᾶς, φράσας δ' οὐδενί, ποῖ μέλλει πορεύεσθαι καὶ διὰ νυκτὸς ἀνύσας τὴν ὁδόν, ἵνα ἀπαρασκεύοις καὶ μὴ προειδόσι τὴν ἔφοδον τοῖς ἔνδον ἐπιθῆται· ὅπερ καὶ 4
συνέβη. γενόμενος γὰρ πλησίον τοῦ τείχους ἅπαντας ἔλαθεν ἄρτι τῆς ἡμέρας διαυγούσης, καὶ πρὶν ἢ καταστρατοπεδεύεσθαι κριοὺς προσέφερε καὶ κλίμακας καὶ πάσῃ πολιορκίας ἐχρῆτο ἰδέᾳ. τῶν δὲ Καμαριναίων καταπλαγέντων τὸ αἰφνίδιον τῆς παρουσίας αὐτοῦ καὶ τῶν μὲν ἀνοίγειν τὰς πύλας καὶ δέχεσθαι τὸν ὕπατον ἀξιούντων, τῶν δ' ἀμύνεσθαι πάσῃ δυνάμει καὶ μὴ παριέναι τοὺς πολεμίους εἴσω, ἐν ᾧ τὸ ταραττόμενόν

1 ἐλή.φθησαν B  3 τελευτ⟨αι⟩ᾳ B  5 ἀναλαβομένου praeter B  13 *ἀφεστῶσαν μὲν O μὲν del. Reiske verum ordinem mutavi | τῆς τῶν Ῥωμαίων O praeter B  14 ρας add. B  15 οὐδεν⟨ί⟩ B | ποῦ O ποῖ Reiske  16 ἀπαρασκευάστοις O corr. Reiske  19 ἔλαβεν Ba  20 κλίμακας ορῆγε O praeter B  25 παρεῖναι B

τε καὶ στασιάζον αὐτῶν ἐπεκράτει, τὰς πύλας ἐκκόψα
καὶ τὰ βραχύτατα τῶν ἐρυμάτων κλίμαξι καταλαβόμε
5 νος κατὰ κράτος εἰλήφει τὴν πόλιν. ἐκείνην μὲν οὖ
τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα φέρειν τε κα
ἄγειν τὰ χρήματα τοῖς σφετέροις ἐφῆκε· τῇ δ' ἑξῆ
συναχθῆναι τοὺς αἰχμαλώτους εἰς ἓν χωρίον κελεύσα
τοὺς μὲν βουλεύσαντας τὴν ἀπόστασιν ἅπαντας ἀπ
κτεινε, τὸν δ' ἄλλον ὄχλον ἀπέδοτο, τὴν δὲ πόλι
κατέσκαψεν.

L. Ἐπὶ δὲ τῆς ἑβδομηκοστῆς ὀλυμπιάδος, ἣν ἐνίκ
στάδιον Νικέας Λοκρὸς ἐξ Ὀποῦντος, ἄρχοντος Ἀθ
νησι Σμύρου, παραλαμβάνουσι τὴν ὕπατον ἀρχὴν Π
στομος Κομίνιος καὶ Τῖτος Λάρκιος· ἐφ' ὧν ἀπέστ
σαν αἱ Λατίνων πόλεις ἀπὸ τῆς Ῥωμαίων φιλία
Ὀκταουΐου Μαμιλίου τοῦ κηδεύσαντος Ταρκυνίῳ το
ἐπιφανεστάτους ἐξ ἑκάστης πόλεως, τοὺς μὲν ὑποσχ
σεσι δώρων, τοὺς δὲ δεήσεσι πείσαντος συμπρᾶξαι το
2 φυγάσι τὴν κάθοδον. καὶ γίνεται κοινὴ τῶν συναγ
μένων εἰς Φερεντῖνον ἀγορὰ πλὴν μιᾶς τῆς Ῥωμαίω
πόλεως· ταύτῃ γὰρ οὐκ ἐπήγγειλαν μόνῃ παρεῖνα
καθάπερ εἰώθεσαν· ἐν ᾗ ψῆφον ἐνεγκεῖν ἔδει τὰς π
λεις περὶ τοῦ πολέμου καὶ στρατηγοὺς ἀποδεῖξαι κ
3 περὶ τῶν ἄλλων βουλεύσασθαι παρασκευῶν. ἐτύγχα
δὲ κατὰ τὸν χρόνον τοῦτον ἀπεσταλμένος ὑπὸ Ῥ
μαίων πρεσβευτὴς Μάρκος Οὐαλέριος ἀνὴρ ὑπατι
εἰς τὰς ὁμόρους πόλεις δεησόμενος αὐτῶν μηδὲν νε

2 καταβαλόμενος] καταλ..ενος Bb καταλαβόμενος Ba Νικαίας A cf. Rutgers ad Iul. Afric. Ὀλυμπιάδων ἀναγρ p. 29 12 ποστούμιος A ποστόμιος B πόστομος Sigo 15 μαλίου B

περίζειν· ἐλήστευον γὰρ ἐξ αὐτῶν τινες τοὺς ὁμοτέρμονας ἀγροὺς ὑπὸ τῶν δυνατῶν ἀποστελλόμενοι καὶ πολλὰ τοὺς γεωργοὺς τῶν Ῥωμαίων ἔβλαπτον· ὃς ἐπειδὴ τὴν κοινὴν σύνοδον ἔγνω τῶν πόλεων γιγνομένην ἐπὶ τῷ διενεγκεῖν ἁπάσας τὴν περὶ τοῦ πολέμου ψῆφον, ἐλθὼν ἐπὶ τὸν σύλλογον καὶ λόγον αἰτησάμενος παρὰ τῶν προέδρων ἔλεξεν, ὅτι πεμφθείη μὲν ὑπὸ τῆς πόλεως πρεσβευτὴς πρὸς τὰς ἀποστελλούσας τὰ ληστήρια πόλεις δεησόμενος αὐτῶν τοὺς ἐνόχους τοῖς ἀδικήμασιν ἐξευρούσας ἐκδοῦναι σφίσι τιμωρίας ὑφέξοντας κατὰ τὸν νόμον, ὃν ἐν ταῖς συνθήκαις ὥρισαν, ὅτε συνετίθεντο τὴν φιλίαν, καὶ τὸ λοιπὸν ἀξιώσων φυλάττειν, ἵνα μηδὲν ἁμάρτημα γένηται κοινόν, ὃ διαστήσει τήν τε φιλίαν αὐτῶν καὶ τὴν συγγένειαν.

4 ὁρῶν δ' ἁπάσας συνεληλυθυίας τὰς πόλεις ἐπὶ τῷ κατὰ Ῥωμαίων πολέμῳ καὶ τοῦτ' ἐκ πολλῶν μὲν καὶ ἄλλων καταλαμβανόμενος, μάλιστα δ' ὅτι Ῥωμαίοις μόνοις οὐ παρήγγειλαν ἐπὶ τὴν ἀγορὰν παρεῖναι, γεγραμμένον ἐν ταῖς συνθήκαις ἁπάσας παρεῖναι τὰς πόλεις ταῖς κοιναῖς ἀγοραῖς, ὅσαι τοῦ Λατίνων εἰσὶ γένους, παραγγειλάντων αὐταῖς τῶν προέδρων, θαυμάζειν, τί δήποτε παθόντες ἢ τί κατηγορεῖν ἔχοντες τῆς πόλεως οἱ σύνεδροι μόνην οὐ παρέλαβον ἐκείνην ἐπὶ τὸν σύλλογον, ἣν πρώτην τε πασῶν ἔδει παρεῖναι καὶ πρώτην ἐρωτᾶσθαι γνώμην ἡγεμονίαν ἔχουσαν τοῦ ἔθνους, ἧς ἔτυχε παρ' αὐτῶν ἑκόντων ἀντὶ πολλῶν καὶ μεγάλων εὐεργεσιῶν.

1 ἐλήστευον B   9 ληστήρια B   10 τιμωρίας τὲ B   13 καινὸν c. Sylburg   15 δὲ ἁπάσας O   19 συνθηκ⟨εσ⟩ Bb | ἁπάσ⟨αι⟩σ in ras. ι litt. Bb   21 θαυμάζειν ἔφη Portus   23 μόν⟨η⟩ν B

LI. *Μετὰ τοῦτον Ἀρικηνοί τε λόγον αἰτησάμε*
*κατηγόρουν τῶν Ῥωμαίων, ὅτι τὸν Τυρρηνικὸν πό*
*μον ἐπήγαγον σφίσιν ὄντες συγγενεῖς καὶ παρέσ*
*ὅσον ἐφ' ἑαυτοῖς ἁπάσας τὰς Λατίνων πόλεις ἱ*
*Τυρρηνῶν τὴν ἐλευθερίαν ἀφαιρεθῆναι· καὶ Ταρ*
*νιος ὁ βασιλεὺς ἀνανεούμενος τὰς γενομένας αὐ*
*πρὸς τὸ κοινὸν τῶν πόλεων συνθήκας περὶ φιλίας*
*καὶ συμμαχίας, ἠξίου τὰς πόλεις ἐμπεδοῦν τοὺς ὅρκο*
*κατάγειν δ' αὐτὸν ἐπὶ τὴν ἀρχήν· Καμαριναίων*
*καὶ Φιδηναίων φυγάδες, οἱ μὲν τὴν ἅλωσιν καὶ τ*
*φυγὴν τῆς πατρίδος, οἱ δὲ τὸν ἀνδραποδισμὸν*
*τὴν κατασκαφὴν ὀδυρόμενοι, παρεκάλουν αὐτοὺς*
2 *τὸν πόλεμον. τελευταῖος δὲ πάντων ὁ Ταρκυνίου*
*δεστὴς Μαμίλιος μέγιστον ἐν τοῖς τότε χρόνοις πα*
*τοῖς Λατίνοις δυνάμενος ἀναστὰς μακρὰν κατὰ τ*
*πόλεως διεξῆλθε δημηγορίαν. ἀπολογουμένου δὲ π*
*ἅπαντα τοῦ Οὐαλερίου καὶ δοκοῦντος περιεῖναι τ*
*δικαίοις, ἐκείνην μὲν τὴν ἡμέραν εἰς τὰ κατηγορήμ*
*καὶ τὰς ἀπολογίας ἀναλώσαντες οὐδὲν ἐπέθηκαν*
*βουλῇ τέλος· τῇ δὲ κατόπιν οὐκέτι τοὺς πρεσβευ*
*τῶν Ῥωμαίων οἱ πρόεδροι προαγαγόντες ἐπὶ τὸν σ*
*λογον, ἀλλὰ Ταρκυνίῳ τε καὶ Μαμιλίῳ καὶ Ἀρικην*
*καὶ τοῖς ἄλλοις τοῖς βουλομένοις τῆς πόλεως κατη*
*ρεῖν ἀποδόντες λόγον, ἐπειδὴ πάντων διήκουσαν ψ*
*φίζονται λελύσθαι τὰς σπονδὰς ὑπὸ Ῥωμαίων, καὶ τ*
*περὶ Οὐαλέριον πρέσβεσιν ἀπόκρισιν ἔδωκαν, ὅτι*
*συγγενὲς ἐκείνων τοῖς ἀδικήμασι λελυκότων βουλ*

1 *ἀρκεῖνοι* B a   9 *τὴν* om. ABC   16 *ἐξῆλθε* A
*παραγαγόντες* Sintenis Em. Dion. III 22   23 *ἄλλοις τοῖς β*
*λομένοις* BC   *ἄλλοις βουλομένοις* R

σονται κατὰ σχολὴν ὅντινα τρόπον αὐτοὺς ἀμύνεσθαι χρή. Ἐν ᾧ δὲ ταῦτ' ἐπράττετο χρόνῳ, συνωμοσία 3 κατὰ τῆς πόλεως ἐγένετο δούλων συχνῶν συνειπαμένων τάς τ' ἄκρας καταλαβέσθαι καὶ κατὰ πολλοὺς ἐμπρῆσαι τόπους τὴν πόλιν. μηνύσεως δὲ γενομένης ὑπὸ τῶν συνειδότων ⟨αἱ⟩ πύλαι τ' ὑπὸ τῶν ὑπάτων εὐθὺς ἐκλείοντο, καὶ πάντα τὰ ἐρύματα τῆς πόλεως ὑπὸ τῶν ἱππέων κατείληπτο· καὶ αὐτίκα οἱ μὲν ἐκ
966 τῶν οἰκιῶν συλληφθέντες, οἱ δ' ἐκ τῶν ἀγρῶν ἀναχθέντες, ὅσους ἀπέφαινον οἱ μηνυταὶ μετασχεῖν τῆς συνωμοσίας, μάστιξι καὶ βασάνοις αἰκισθέντες ἀνεσκολοπίσθησαν ἅπαντες. ταῦτ' ἐπὶ τούτων ἐπράχθη τῶν ὑπάτων.

LII. Σερουιλίου δὲ Σολπικίου Καμερινοῦ καὶ Μανίου Τυλλίου Λόγγου τὴν ἀρχὴν παραλαβόντων Φιδηναίων τινὲς παρὰ Ταρκυνίων στρατιώτας μεταπεμψάμενοι τὴν ἄκραν καταλαμβάνονται, καὶ τῶν μὴ ταὐτὰ προαιρουμένων οὓς μὲν διαφθείραντες, οὓς δ' ἐξελάσαντες, ἀφιστᾶσιν αὖθις ἀπὸ Ῥωμαίων τὴν πόλιν· πρεσβείας τε Ῥωμαικῆς ἀφικομένης ὥρμησαν μὲν ὡς πολεμίοις χρήσασθαι τοῖς ἀνδράσι, κωλυθέντες δ' ὑπὸ τῶν πρεσβυτέρων ἐξέβαλον αὐτοὺς [ἀπὸ] τῆς πόλεως, οὔτε δοῦναι λόγον ἀξιώσαντες οὔτε λαβεῖν. ταῦθ' ἡ 2
967 βουλὴ τῶν Ῥωμαίων μαθοῦσα πρὸς μὲν τὸ κοινὸν τῶν Λατίνων οὔπω τὸν πόλεμον ἐκφέρειν πρόθυμος ἦν, πυνθανομένη μὴ πᾶσιν εἶναι τὰ ψηφισθέντα ὑπὸ τῶν

6 ὑπὸ] ἐκ c. Kiessling ἀπὸ Grasberger Tess. Herbip. p. 28 | αἱ add. Reiske 7 πόλεως εὐθὺς ὑπὸ B 9 ἀπαχθέντες c. Kiessling 11 ⟨αἱ⟩κισθέντες B 15 τοῦ Τυλλίου B 17 *τὰ αὐτὰ O 18 προ⟨αι⟩ρούμενοι B 22 *αὐτοὺς ἀπὸ O ἀπὸ delevi ἐκ c. Cobet Obs. p. 102

προβούλων κατὰ νοῦν, ἀλλ' ἐν ἑκάστῃ πόλει τοὺς ι
μοτικοὺς ἀναδύεσθαι τὸν πόλεμον, καὶ πλείους εἶ
τοὺς ἀξιοῦντας μένειν τὰς σπονδὰς τῶν διαλελύσ
λεγόντων· ἐπὶ δὲ τοὺς ἐν Φιδήνῃ τὸν ἕτερον ἐψη
σαντο τῶν ὑπάτων Μάνιον Τύλλιον ἀποστεῖλαι στ
τιὰν ἄγοντα πολλήν· ὃς ἐπειδὴ τὴν χώραν αὐτ
ἐδῄωσε κατὰ πολλὴν ἄδειαν οὐδενὸς ὑπὲρ αὐτῆς ἀ
νομένου, πλησίον τοῦ τείχους καταστρατοπεδευσάμε
ἐφύλαττε μήτ' ἀγορὰς εἰσάγεσθαι τοῖς ἔνδον μήτε ὅ
3 μήτε ἄλλην βοήθειαν μηδεμίαν. Φιδηναῖοι μὲν
τειχήρεις ἐγένοντο καὶ πρὸς τὰς Λατίνων ἐπρεσβεύσ
πόλεις δεόμενοι ταχείας συμμαχίας· οἱ δὲ προεσ
κότες τῶν Λατίνων, ἀγορὰν ποιησάμενοι τῶν πόλε
Ταρκυνίοις τε αὖθις ἀποδόντες λόγον καὶ τοῖς π
τῶν πολιορκουμένων ἥκουσιν, ἐκάλουν τοὺς συνέδρ
εἰς ἀπόφασιν γνώμης, τίνα χρὴ πολεμεῖν Ῥωμαίοις τ
πον, ἀπὸ τῶν πρεσβυτάτων τε καὶ ἐπιφανεστάτων
4 ξάμενοι. πολλῶν δὲ ῥηθέντων λόγων καὶ περὶ αὐ
τοῦ πολέμου πρῶτον, εἰ δέοι αὐτὸν ἐπικυρῶσαι, οἱ
ταραχωδέστεροι τῶν συνέδρων τὸν βασιλέα κατάγ
ἐπὶ τὴν ἀρχὴν ἠξίουν καὶ Φιδηναίοις βοηθεῖν πα
νουν· ἐν ἡγεμονίαις μὲν βουλόμενοι γενέσθαι στ
τιωτικαῖς καὶ πραγμάτων ἐφάψασθαι μεγάλων, μάλι
δ' οἱ δυναστείας καὶ τυραννίδος ἐν ταῖς ἑαυτῶν
τρίσιν ἐρῶντες, ἣν συγκατασκευάσειν αὐτοῖς Ταρκυνί
ἐπείθοντο τὴν Ῥωμαίων ἀρχὴν ἀνακτησαμένους. οἱ
εὐπορώτατοί τε καὶ ἐπιεικέστατοι μένειν ἐν ταῖς σπ
δαῖς ἠξίουν τὰς πόλεις καὶ μὴ προχείρως ἐπὶ τὰ ὅ

22 στρατιωτικοῖς κύριοι O praeter B 27 τε om. B

χωρεῖν· καὶ ἦσαν οὗτοι τῷ πλήθει πιθανώτατοι. ἐξω- 5
θούμενοι δὴ πρὸς τῶν παραινούντων τὴν εἰρήνην
ἄγειν οἱ τὸν πόλεμον ἐπισπεύδοντες, τοῦτό γε πεί-
θουσι ποιῆσαι τὴν ἐκκλησίαν τελευτῶντες, πρεσβευτὰς
εἰς Ῥώμην ἀποστεῖλαι τοὺς παρακαλέσοντας ἅμα καὶ
συμβουλεύσοντας τῇ πόλει δέχεσθαι Ταρκυνίους καὶ
τοὺς ἄλλους φυγάδας ἐπ' ἀδείᾳ καὶ ἀμνηστίᾳ, καὶ περὶ
969 τούτων ὅρκια τεμόντας τῇ πατρίῳ κοσμεῖσθαι πολιτείᾳ
καὶ τῆς Φιδηναίων πόλεως ἀπανιστάναι τὸν στρατόν,
ὡς σφῶν γε οὐχ ὑπεροψομένων συγγενεῖς καὶ φίλους
ἀφαιρεθέντας τὴν πατρίδα· ἐὰν δὲ μηδέτερον τούτων
ὑπομείνωσι πράττειν, τότε βουλεύσεσθαι περὶ τοῦ πο-
λέμου· οὐκ ἀγνοοῦντες μέν, ὅτι τούτων οὐδέτερον ὑπο- 6
μενοῦσι Ῥωμαῖοι, προφάσεις δὲ τῆς ἔχθρας βουλόμενοι
λαβεῖν εὐπρεπεῖς, καὶ τοὺς ἐναντιουμένους σφίσι θε-
ραπείαις ἐν τῷ μεταξὺ χρόνῳ καὶ χάρισιν ἐπάξεσθαι
νομίζοντες. ταῦτα ψηφισάμενοι καὶ χρόνον ὁρίσαντες
ἐνιαύσιον Ῥωμαίοις μὲν βουλῆς, ἑαυτοῖς δὲ παρασκευῆς,
καὶ πρεσβευτὰς ἀποδείξαντες, οὓς Ταρκύνιος ἐβούλετο,
διέλυσαν τὸν σύλλογον.

LIII. Διασκεδασθέντων δὲ τῶν Λατίνων κατὰ πόλεις, ὁρῶντες οἱ περὶ Μαμίλιόν τε καὶ Ταρκύνιον, ὅτι ταῖς σπουδαῖς ἀναπεπτώκασιν οἱ πολλοί, τὰς μὲν ὑπερορίους ἐλπίδας ὡς οὐ πάνυ βεβαίας ἀφίεσαν· μεταθέμενοι δὲ τὰς γνώμας τὸν πολιτικὸν καὶ ἀφύλακτον ἐμηχανῶντο πόλεμον ἐξ αὐτῆς ἀναστῆσαι τῆς

6 τε O γε Kiessling 11 οὐχὶ περιοψομένων c. Cobet Obs. p. 102 16 ἐπάξεσθαι A quod def. Ritschelius ὑπάξεσθαι B 17 ψηφιζόμενοι AB 23 ταῖσ σπονδαῖς AB ταῖς σπουδαῖς Cobet Variae Lect. p. 200 24 ὑπερορίας A | ἀφεῖσαν B

Ῥώμης, στάσιν εἰσάγοντες τοῖς πένησι πρὸς τοὺς εὐ-
2 πόρους. ἤδη δ' ὑπεκίνει τὸ πολὺ τοῦ δημοτικοῦ μέ-
ρος καὶ ἐνόσει, μάλιστα δὲ τὸ ἄπορον καὶ ὑπὸ δανείων ἠναγκασμένον μηκέτι τὰ κράτιστα τῷ κοινῷ φρονεῖν· οὐ γὰρ ἐμετρίαζον ἐν ταῖς ἐξουσίαις οἱ δανείζοντες, ἀλλ' εἰς δεσμοὺς τὰ τῶν ὑποχρέων ἀπῆγον σώματα
3 καὶ ὥσπερ ἀργυρωνήτοις αὐτοῖς ἐχρῶντο. ταῦτα δὴ
μαθὼν ἔπεμψεν ὁ Ταρκύνιος εἰς τὴν πόλιν ἅμα τοῖς πρέσβεσι τῶν Λατίνων ἀνυπόπτους τινὰς ἄνδρας φέροντας χρυσίον, οἳ συνιόντες εἰς λόγους τοῖς ἀπόροις καὶ θρασυτάτοις, καὶ τὰ μὲν ἤδη διδόντες αὐτοῖς, τὰ δ', εἰ κατέλθοιεν οἱ βασιλεῖς, ἐπαγγελλόμενοι, πολλοὺς πάνυ τῶν πολιτῶν διέφθειραν· καὶ γίνεται συνωμοσία κατὰ τῆς ἀριστοκρατίας οὐ μόνον ἐλευθέρων ἀπόρων, ἀλλὰ καὶ δούλων πονηρῶν ἐλευθερίας ἐλπίσιν ὑπαχθέντων, οἳ διὰ τοὺς κολασθέντας ὁμοδούλους ἐν τῷ παρελθόντι ἐνιαυτῷ δυσμενῶς καὶ ἐπιβούλως διακείμενοι πρὸς τοὺς δεσπότας, ἀπιστούμενοί τε ὑπ' αὐτῶν καὶ ἐν ὑποψίαις ὄντες ὡς καὶ αὐτοὶ σφίσιν ἐπιθησόμενοι ποτε εἰ καιρὸν λάβοιεν, ἄσμενοι τοῖς παρακαλοῦσι πρὸς
4 τὴν ἐπίθεσιν ὑπήκουσαν. ὁ δὲ τῆς συνωμοσίας αὐτῶν
τοιόσδε ἦν λογισμός. τοὺς μὲν ἡγεμόνας τῆς ἐπιχειρήσεως ἔδει φυλάξαντας νύκτ' ἀσέληνον τὰς ἄκρας καὶ τοὺς ἐρυμνοὺς τῆς πόλεως τόπους καταλαβέσθαι· τοὺς δὲ θεράποντας, ὅταν αἴσθωνται κρατοῦντας ἐκείνους τῶν ἐπικαίρων χωρίων· ἀλαλαγμῷ δὲ τοῦτ' ἔμελ-

2 ὑπεκιν..το πολὺ Ba ὑπεκινεῖτο πολὺ Bb ὑπεκινεῖτο τὸ πολὺ A 6 δεσμὰ c. Cobet Obs. p. 102 7 οὕτως ἐχρῶντο O αὐτοῖς ἐχ. Schnelle Exerc. p. 10 17 ἐπιβούλως] ὑπούλως c. Stephanus

λεν αὐτοῖς γενήσεσθαι φανερόν· ἀποκτεῖναι τοὺς δε-
σπότας καθεύδοντας, ταῦτα ⟨δὲ⟩ διαπραξαμένους τάς
τε οἰκίας διαρπάσαι τῶν εὐπόρων καὶ τὰς πύλας τοῖς
τυράννοις ἀνοῖξαι.

LIIII. Ἡ δ' ἐν παντὶ καιρῷ σῴζουσα τὴν πόλιν
καὶ μέχρι τῶν κατ' ἐμὲ χρόνων παραμένουσα θεία
πρόνοια διεκάλυψεν αὐτῶν τὰ βουλεύματα μηνύσεως
θατέρῳ τῶν ὑπάτων γενομένης Σολπικίῳ, ἣν ἐποίησαν
972 ἀδελφοὶ δύο Ταρκύνιοι, Πόπλιος καὶ Μάρκος, ἐκ Λαυ-
ρέντου πόλεως, κορυφαιότατοι τῶν μετασχόντων τῆς
συνωμοσίας, ὑπὸ θείας ἀνάγκης βιαζόμενοι. ἐφίσταντο 2
γὰρ αὐτοῖς, ὅτε κοιμηθεῖεν, ὄψεις ὀνείρων φοβεραὶ
τιμωρίας ἐπαπειλοῦσαι μεγάλας, εἰ μὴ παύσαιντο καὶ
ἀποσταῖεν τῆς ἐπιθέσεως, διώκεσθαί τε ὑπὸ δαιμόνων
τινῶν καὶ παίεσθαι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι
καὶ ἄλλα πολλὰ καὶ σχέτλια πάσχειν τελευτῶντες ἐδό-
κουν· ὑφ' ὧν περίφοβοι καὶ τρόμῳ παλλόμενοι διηγεί-
ροντο καὶ οὐδὲ καθεύδειν διὰ τὰ δείματα ταῦτ' ἐδύ-
ναντο. κατ' ἀρχὰς μὲν οὖν ἀποτροπαίοις τισὶ καὶ 3
ἐξακεστηρίοις θυσίαις ἐπειρῶντο παραιτεῖσθαι τοὺς
ἐνισταμένους σφίσι δαίμονας· ὡς δ' οὐδὲν ἐπέραινον,
ἐπὶ μαντείας ἐτράποντο τὴν μὲν διάνοιαν τῆς ἐπι-
χειρήσεως ἀπόρρητον φυλάττοντες, τοῦτο δὲ μόνον
ἀξιοῦντες μαθεῖν, εἰ καιρὸς ἤδη πράττειν, ἃ βούλονται.
973 ἀποκριναμένου δὲ τοῦ μάντεως, ὅτι πονηρὰν καὶ ὀλέ-

2 δὲ add. Kiessling 7 διέκοψεν vel διέλυσεν c. Bücheler 8 ἐποιήσαντο c. Kiessling 12 ὁπότε c. Cobet Obs. p. 103 13 ἐναπειλοῦσαι ABb ο///ν απ ειλοῦσαι Ba ἐπαπειλοῦσαι Sylburg 16 καὶ ante σχέτλια add. B 17 τρο⟨μῳ⟩ ex corr. B | βαλλόμενοι B

θριον βαδίζουσιν ὁδὸν καί, εἰ μὴ μεταθήσονται τὰ βουλεύματα, τὸν αἴσχιστον ἀπολοῦνται τρόπον, δείσαντες μὴ φθάσωσιν αὐτοὺς ἕτεροι τὰ κρυπτὰ εἰς φῶς ἐξενέγκαντες, αὐτοὶ μηνυταὶ γίνονται πρὸς τὸν ἐνδη-
4 μοῦντα τῶν ὑπάτων. ὁ δ' [ὕπατος] ἐπαινέσας αὐτοὺς καὶ πολλὰ ὑποσχόμενος εὖ ποιήσειν, ἐὰν καὶ τὰ ἔργα ὅμοια τοῖς λόγοις ἐπιδείξωνται, τούτους μὲν ἔνδον παρ' ἑαυτῷ κατεῖχεν οὐδενὶ φράσας· τοὺς δὲ τῶν Λατίνων πρέσβεις ἀναβαλλόμενος τέως καὶ παρέλκων τὴν ἀπόκρισιν τότε εἰσαγαγὼν εἰς τὸ βουλευτήριον τὰ
5 δόξαντα τοῖς συνέδροις ἀποκρίνεται πρὸς αὐτούς· Ἄνδρες φίλοι τε καὶ συγγενεῖς ἀπαγγέλλετε ἀπιόντες πρὸς τὸ κοινὸν τῶν Λατίνων, ὅτι Ῥωμαίων ὁ δῆμος οὔτε πρότερον Ταρκυνιήταις ἀξιοῦσιν ἐχαρίσατο τὴν τῶν τυράννων κάθοδον, οὔθ' ὕστερον ἅπασι Τυρρηνοῖς, οὓς ἦγε βασιλεὺς Πορσίνας, ὑπὲρ τῶν αὐτῶν δεομένοις καὶ πόλεμον ἐπάγουσιν ἁπάντων [πολέμων] βαρύτατον ἐνέκλινεν, ἀλλ' ἠνέσχετο γῆν τε κειρομένην ὁρῶν καὶ αὐλὰς ἐμπιπραμένας, τειχήρης γενόμενος ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ μηθὲν ὧν μὴ βούλεται πράττειν κελευσθείς· ὑμῶν τ', ὦ Λατῖνοι, τεθαύμακεν, εἰ ταῦτ' εἰδότες οὐδὲν ἧττον δέχεσθαι τοὺς τυράννους καὶ τὴν Φιδήνης πολιορκίαν λύειν ἐπιτάττοντες ἥκετε

1 *μεταθήσοιντο* O praeter B 4 **ἐξενεγκόντες* R *ἐνεγκόντες* B 5 *ἐπιδημοῦντα* c. Cobet Obs. p. 103 | *ὕπατος* del. Cobet l. l. 6 *καὶ* del. Cobet l. l. 7 *ἀποδείξωνται* c. Garrer Obs. p. 22 9 *ἀναβαλόμενος* c. Kiessling 10 *εἰσαγαγὼν* ABb *εἰς ἀγ////ν* Ba | *καὶ τὰ δόξαντα* A *καὶ* om. B *κατὰ* c. Reiske 13 *ὁ* add. BC 14 *ταρκυνήταις* Bb 17 *πολέμων* uncis inclusit Kiessling 18 *⟨ἠ⟩νέσχετο* Bb 19 *ἐμπιμπραμένας* Bb | *τειχήρης τε γενόμενος* c. Kiessling 21 *ὑμῶν* ABa *ὑμᾶς* Bb 22 *ἰδόντες* B | *δέχεσθαι* ABa *δέχεσθε* Bb

καὶ μὴ πειθομένοις πόλεμον ἀπειλεῖτε. παύσασθε δὴ ψυχρὰς καὶ ἀπιθάνους τῆς ἔχθρας παραβαλλόμενοι προφάσεις καὶ εἰ διὰ ταῦτα μέλλετε διαλύειν τὸ συγγενὲς καὶ τὸν πόλεμον ἐπικυροῦν, μηθὲν ἔτι ἀναβάλλεσθε.

LV. Ταῦτα τοῖς πρέσβεσιν ἀποκρινάμενος καὶ προ-
975πέμψας ἐκ τῆς πόλεως μετὰ τοῦτο φράζει τῇ βουλῇ
περὶ τῆς ἀπορρήτου συνωμοσίας, ἃ παρὰ τῶν μηνυτῶν
ἔμαθε· καὶ λαβὼν ἐξουσίαν παρ' αὐτῶν αὐτοκράτορα
τοῦ διερευνήσασθαι τοὺς μετασχόντας τῶν ἀπορρήτων
βουλευμάτων καὶ τοῦ κολάσαι τοὺς ἐξευρεθέντας, οὐ
τὴν αὐθάδη καὶ τυραννικὴν ἦλθεν ὁδόν, ὡς ἕτερος
ἄν τις ἐποίησεν εἰς τοσαύτην κατακλεισθεὶς ἀνάγκην·
ἀλλ' ἐπὶ τὴν εὐλόγιστόν τε καὶ ἀσφαλῆ καὶ τῷ σχή-
ματι τῆς καθεστώσης τότε πολιτείας ἀκόλουθον ἐτρά-
πετο. οὔτε γὰρ ἐκ τῶν οἰκιῶν συλλαμβανομένους 2
ἄγεσθαι τοὺς πολίτας ἐπὶ τὸν θάνατον ἀποσπωμένους
ἀπὸ γυναικῶν τε καὶ τέκνων καὶ πατέρων ἐβουλήθη,
τόν τ' οἶκτον ἐνθυμούμενος, οἷος ἔσται τῶν προσηκόν-
των ἑκάστοις παρὰ τὸν ἀποσπασμὸν τῶν ἀναγκαιοτά-
976των καὶ δεδοικώς, μή τινες ἀπονοηθέντες ἐπὶ τὰ ὅπλα
τὴν ὁρμὴν λάβωσι, καὶ δι' αἵματος ἐμφυλίου χωρήσῃ
τὸ ἀναγκασθὲν παρανομεῖν· οὔτε δικαστήρια καθίζειν
αὐτοῖς ᾤετο δεῖν, λογιζόμενος, ὅτι πάντες ἀρνήσονται
καὶ οὐθὲν ἔσται βέβαιον τοῖς δικασταῖς τεκμήριον οὐδ'
ἀναμφίλεκτον ἔξω τῆς μηνύσεως, ᾧ πιστεύσαντες θά-
νατον τῶν πολιτῶν καταψηφιοῦνται· καινὸν δέ τινα 3

1 ἀπειλεῖται Ba αι pro ε saepissime Ba 2 προβαλλόμενοι c. Cobet Obs. 103 17 ἀπὸ add. B | τε om. B 19 περὶ τὸν ἀποσπασμὸν Stephanus ex D 20 μή τινες B μή τι R 25 μηνύσεως ᾗ AB μ. ᾧ Bücheler 26 καταψηφίζονται B

τρόπον ἀπάτης ἐξεῦρε τῶν νεωτεριζόντων, δι' οὗ πρῶτον μὲν αὐτοὶ μηδενὸς ἀναγκάζοντες εἰς ἓν χωρίον ἥξουσιν οἱ τῶν ἀπορρήτων βουλευμάτων ἡγεμόνες, ἔπειτ' ἀναμφιλέκτοις ἁλώσονται τεκμηρίοις, ὥστε μηδ' ἀπολογίαν αὐτοῖς καταλείπεσθαι μηδεμίαν, πρὸς δὲ τούτοις οὐκ εἰς ἔρημον συναχθέντες τόπον οὐδ' ἐν ὀλίγοις μάρτυσιν ἐξελεγχθέντες, ἀλλ' ἐν ἀγορᾷ πάντων ὁρώντων γενόμενοι καταφανεῖς ἃ προσήκει πείσονται· ταραχή τ' οὐδεμία γενήσεται κατὰ τὴν πόλιν οὐδ' ἐπαναστάσεις ἑτέρων, οἷα συμβαίνειν φιλεῖ περὶ τὰς κολάσεις τῶν νεωτεριζόντων, καὶ ταῦτ' ἐν ἐπισφαλέσι καιροῖς.

LVI. Ἄλλος μὲν οὖν ἄν τις ἀποχρῆν ὑπέλαβεν αὐτὸ τὸ κεφάλαιον εἰπεῖν, ὅτι συλλαβὼν τοὺς μετασχόντας τῶν ἀπορρήτων βουλευμάτων ἀπέκτεινεν, ὡς ὀλίγης τοῖς πράγμασι δηλώσεως δέον· ἐγὼ δὲ καὶ τὸν τρόπον τῆς συλλήψεως τῶν ἀνδρῶν ἱστορίας ἄξιον εἶναι νομίσας ἔκρινα μὴ παρελθεῖν, ἐνθυμούμενος ὅτι τοῖς ἀναγινώσκουσι τὰς ἱστορίας οὐχ ἱκανόν ἐστιν εἰς ὠφέλειαν τὸ τέλος αὐτὸ τῶν πραχθέντων ἀκοῦσαι, ἀπαιτεῖ δ' ἕκαστος καὶ τὰς αἰτίας ἱστορῆσαι τῶν γινομένων καὶ τοὺς τρόπους τῶν πράξεων καὶ τὰς διανοίας τῶν πραξάντων καὶ τὰ παρὰ τοῦ δαιμονίου συγκυρήσαντα, καὶ μηδενὸς ἀνήκοος γενέσθαι τῶν πεφυκότων τοῖς πράγμασι παρακολουθεῖν· τοῖς δὲ πολιτικοῖς καὶ

4 *ἔπειτα O  8 προςήκεν Ba προςῆκε Bb  9 οὐτεμία AB οὐδεμία CD  10 ἐπαναστάσεις B ἐπαναστασις signo lectionis dubiae adposito A | ἑταίρων c. dubitanter Kiessling  19 ἐστιν add. B  21 γινομένων O γενομένων Kiessling  22 τόπους c. Krüger ad Dionys. Histor. p. 55 coll. XI, 1 | τῶν πράξεων B τῆς πράξεως R

πάνυ ἀναγκαίαν ὑπάρχουσαν ὁρῶν τὴν τούτων μάθη-
979σιν, ἵνα παραδείγμασιν ἔχοιεν πρὸς τὰ συμβαίνοντα
χρῆσθαι. ἦν δ' ὁ τρόπος τῆς συλλήψεως τῶν συνω- 2
μοτῶν, ὃν ἐξεῦρεν ὁ ὕπατος, τοιόσδε. τῶν μετεχόν-
των τοῦ βουλευτικοῦ συνεδρίου τοὺς ἀκμαιοτάτους
ἐπιλεξάμενος ἐκέλευσεν αὐτοῖς, ὅταν λάβωσι τὸ σύν-
θημα μετὰ τῶν πιστοτάτων φίλων τε καὶ συγγενῶν
τοὺς ἐρυμνοὺς τῆς πόλεως καταλαβέσθαι τόπους, ἐν
οἷς ἐτύγχανον ἕκαστοι τὰς οἰκήσεις ἔχοντες· τοῖς θ'
ἱππεῦσι προεῖπεν ἐν ταῖς ἐπιτηδειοτάταις τῶν περὶ τὴν
ἀγορὰν οἰκιῶν περιμένειν ἔχουσι ξίφη καὶ ποιεῖν, ὅ τι
ἂν αὐτοῖς κελεύῃ. ἵνα δὲ μηθὲν ἐν τῇ συλλήψει τῶν 3
πολιτῶν νεωτερίσωσιν οἱ προσήκοντες αὐτοῖς ἢ τῶν
ἄλλων τινὲς πολιτῶν μηδ' ἐμφύλιοι διὰ τὴν ταραχὴν
ταύτην γένωνται φόνοι, γράμματα πέμψας πρὸς τὸν
ἐπὶ τῆς πολιορκίας τῆς Φιδηναίων τεταγμένον ὕπατον
ἐκέλευσεν ἀρχομένης τῆς νυκτὸς ἄγοντα τὸ κράτιστον
τῆς στρατιᾶς ἥκειν ἐπὶ τὴν πόλιν καὶ πλησίον τοῦ
τείχους ἐν ὀρεινῷ τόπῳ θέσθαι τὰ ὅπλα.

LVII. Παρασκευασάμενος δὲ ταῦτα τοῖς μηνύσασι
980τὴν πρᾶξιν εἶπε ....., πρὸς τοὺς ἡγεμόνας τῶν συνω-
μοτῶν ἥκειν εἰς τὴν ἀγορὰν περὶ μέσας νύκτας, ἄγον-
τας οἷς μάλιστα πιστεύουσι τῶν ἑταίρων, ὡς ἐκεῖ τάξιν
τε καὶ χώραν καὶ σύνθημα ληψομένους, καὶ ἃ δεῖ

κύ
1 ὁρῶν B ὁρῶ R 3 συνωμοτων Bb 8 verba ἐν οἷς — ἔχοντες Sintenis Em. Dion. II 9 transponit ante περιμένειν v. 11 παραμένειν c. Sylburg 14 πολιτῶν συνωμοτῶν c. Bücheler 15 ταύτην add. B 21 ante ἥκειν subaudiendum esse ἀνειπεῖν vel ἀναγγεῖλαι vel simile quid c. Sylburg, lacunam significavit Kiessling εἰπεῖν προσέταξε addenda esse censet Cobet Obs. p. 103 23 πιστεύσουσι B | ἑτέρων A ἑτ<αί>ρων B

πράττειν ἑκάστους ἀκούσοντας. ἐγίγνετο ταῦτα·
ἐπειδὴ συνήχθησαν οἱ προεστηκότες τῶν ἑταίρων ἄ
τες εἰς τὴν ἀγοράν, διὰ συνθημάτων ἀδήλων ἐκει
εὐθὺς αἵ τε ἄκραι πλήρεις ἐγίγνοντο τῶν ὑπὲρ
πόλεως ἀνειληφότων τὰ ὅπλα καὶ τὰ περὶ τὴν ἀγ
ὑπὸ τῶν ἱππέων ἐφρουρεῖτο κύκλῳ, μία τε οὐ κ
2 λείπετο τοῖς ἀπιέναι βουλομένοις ἔξοδος. καὶ
τὸν αὐτὸν χρόνον ὁ ἕτερος τῶν ὑπάτων Μάνιος
τῆς Φιδήνης ἀναστὰς παρῆν εἰς τὸ πεδίον ἄγων
δύναμιν. ὡς δ' ἡμέρα τάχιστα διέλαμψεν, ὁπλ
περὶ ἑαυτοὺς ἔχοντες οἱ ὕπατοι προῆλθον ἐπὶ τὸ β
καὶ διὰ πάντων τῶν στενωπῶν τοῖς κήρυξι περιαγ
λαι κελεύσαντες ἥκειν τὸν δῆμον εἰς ἐκκλησίαν,
τὸς τοῦ κατὰ τὴν πόλιν ὄχλου συνδραμόντος, δηλ
τε αὐτοῖς τὴν γενομένην ἐπὶ τῇ καθόδῳ τοῦ τυράν
3 συνωμοσίαν καὶ τοὺς μηνυτὰς ἀναβιβάζονται. καὶ
τοῦτ' ἀπολογεῖσθαι συγχωρήσαντες, ἐάν τινες ἀ
σβητῶσι πρὸς τὴν μήνυσιν, ἐπειδὴ πρὸς ἄρνησιν οὐ
ἐπεχείρησε τραπέσθαι, μεταστάντες ἐκ τῆς ἀγορᾶς
τὸ βουλευτήριον γνώμας ὑπὲρ αὐτῶν διηρώτησαν
συνέδρους, καὶ γραψάμενοι τὰ δόξαντα αὐτοῖς
αὖθις ἐπὶ τὴν ἐκκλησίαν καὶ τὸ προβούλευμα ἀνέ
σαν. ἦν δὲ τοιόνδε· Ταρκυνίοις μὲν τοῖς μηνύ
τὴν ἐπίθεσιν πολιτείαν δεδόσθαι καὶ ἀργυρίου μυ
ἑκατέρῳ δραχμὰς καὶ πλέθρα γῆς δημοσίας εἴκ

1 ἀκούσοντας ABb ἀκούσοιντας Ba ἀκούσαντας Ki Ann. phil. 1866 p. 46 | ἐγίνετο B ἐγένετο R 2 ἑταίρων ἑτέρων Ba ἑταιριῶν Kiessling 6 οὔτεμία τε A οὐδεμί ut videtur μία τε /// οὐ Bb μία τε οὐ def. Schäfer ad Di de comp. verb. p. 247 11 παρῆλθον c. Reudler Tiroc. 23 ταρκυνίων AB 24 δίδοσθαι c. Portus

τοὺς δὲ μετασχόντας τῆς συνωμοσίας συλληφθέντας ἀποθανεῖν, ἐὰν καὶ τῷ δήμῳ ταὐτὰ δοκῇ. τοῦ δὲ 4 συνεληλυθότος ὄχλου κύρια ποιήσαντος τὰ δόξαντα τῇ βουλῇ, μεταστῆναι κελεύσαντες ἐκ τῆς ἀγορᾶς τοὺς εἰς τὴν ἐκκλησίαν συνεληλυθότας, ἔπειτ' ἐκάλεσαν τοὺς ὑπηρέτας ἔχοντας ξίφη, οἳ πάντας τοὺς ἐνόχους ταῖς αἰτίαις ἐν ᾧ συνεκλείσθησαν χωρίῳ περιστάντες ἀπεφόνευσαν. διαχρησάμενοι δὲ τούτους οὐκέτι παρεδέξαντο μήνυσιν οὐδεμίαν κατ' οὐθενὸς τῶν ταὐτὰ βουλευσαμένων, ἀλλὰ πάντας ἀφῆκαν τῶν ἐγκλημάτων τοὺς διαφυγόντας τὴν ἐκ χειρὸς κόλασιν, ἵνα πᾶν ἐξαιρεθῇ τὸ ταραχῶδες ἐκ τῆς πόλεως. οἱ μὲν δὴ 5 συστήσαντες τὴν συνωμοσίαν τοιούτῳ τρόπῳ διεφθάρησαν· ἡ δὲ βουλὴ καθαρθῆναι ψηφισαμένη τοὺς πολίτας ἅπαντας, ὅτι ⟨περὶ⟩ πολιτικοῦ φόνου γνώμας ἠναγκάσθησαν ἀποδείξασθαι, ὡς οὐ θεμιτὸν αὐτοῖς ἐφ' ἱερὰ παρεῖναι καὶ θυσιῶν κατάρχεσθαι, πρὶν ἀφοσιώσασθαι τὸ μίασμα καὶ τὴν συμφορὰν λῦσαι τοῖς εἰωθόσι καθαρμοῖς· ἐπειδὴ πᾶν ὅσον ἦν ὅσιον ὑπὸ τῶν ἐξηγουμένων τὰ θεῖα κατὰ τὸν ἐπιχώριον νόμον ἐπράχθη, θυσίας μετὰ τοῦτο χαριστηρίους καὶ ἀγῶνας ἔκρινεν ἐπιτελεσθῆναι, καὶ τρεῖς ἡμέρας ἔθηκεν εἰς ταῦτα ἱεράς. Μανίου δὲ Τυλλίου θατέρου τῶν ὑπάτων ἐν τοῖς ἱεροῖς καὶ ἐπωνύμοις τῆς πόλεως ἀγῶσι

1 καὶ συλληφθέντας c. Kiessling 2 ταῦτα O ταὐτὰ Sylburg 4 ἐπὶ τῆς ἀγορᾶς B 6 πάντες A 9 τὰ αὐτὰ B 11 ἵνα ἅπαν AB 12 τὸ ἐκ τῆς πόλεως ταραχῶδες O praeter 15 περὶ πολιτικοῦ Stephanus 16 ἀποδεῖξαι O ἀποδείξασθαι Reiske | θεμιτὸν ὂν c. Pflugk 17 παριέναι c. Cobet p. 103 | κατάρχειν O corr. Reiske 22 ἔθηκεν] ἀνῆκεν dubitanter Kiessling

ἀποστάσεως ἄρξαντας ἐδικαίωσαν, οὓς ἂν ὁ ὕπατος ἀποφήνῃ ῥάβδοις μαστιγωθέντας ἀποκοπῆναι τὰς κεφαλάς περὶ δὲ τῶν ἄλλων ἐπ' ἐκείνῳ τὴν ἐξουσίαν ἐποίησαν
4 ἅπαντα πράττειν, ὅσα προῃρεῖτο. γενόμενος δ' ὁ Λάρκιος ἁπάντων κύριος ὀλίγους μέν τινας τῶν Φιδηναίων κατηγορηθέντας ὑπὸ τῶν τἀναντία φρονούντων ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς ἀπέκτεινε καὶ τὰς οὐσίας αὐτῶν ἐδήμευσε, τοῖς δ' ἄλλοις ἅπασιν ἀπέδωκε τήν τε πόλιν ἔχειν καὶ τὰ χρήματα, τῆς δὲ γῆς αὐτῶν ἀπετέμετο τὴν ἡμίσειαν, ἣν ἐκληρούχησαν οἱ καταλειφθέντες ἐν τῇ πόλει Ῥωμαίων φρουροὶ τῆς ἄκρας. ταῦτα διαπραξάμενος ἀπῆγεν ἐπ' οἶκον τὴν στρατιάν.

LXI. Ὡς δ' ἀπηγγέλθη τοῖς Λατίνοις ἡ τῆς Φιδήνης ἅλωσις, ὀρθὴ καὶ περίφοβος πᾶσα πόλις ἦν καὶ τοῖς προεστηκόσι τῶν κοινῶν ἅπαντες ἐχαλέπαινον ὡς προδεδωκόσι τοὺς συμμάχους. συναχθείσης δ' ἀγορᾶς ἐν Φερεντίνῳ πολλὴν ἐποιοῦντο τῶν ἀποσπευδόντων τὸν πόλεμον κατηγορίαν οἱ τὰ ὅπλα πείθοντες αὐτοὺς ἀναλαβεῖν, μάλιστα δὲ Ταρκύνιός τε καὶ ὁ κηδεστὴς αὐτοῦ Μαμίλιος καὶ οἱ προεστηκότες τῆς Ἀρι
2 κηνῶν πόλεως. ὑφ' ὧν ἐκδημαγωγηθέντες, ὅσοι τοῦ Λατίνων μετεῖχον γένους, κοινῇ τὸν κατὰ Ῥωμαίων ἀναιροῦνται πόλεμον· καὶ ἵνα πόλις μηδεμία μήτε προδῷ τὸ κοινὸν μήτε προκαταλύσηται τὴν ἔχθραν

1 ἀποφήναιτο A ἀποφήνῃ B ἀποφήνηται C ἀπεφήναντο οὓς ἂν ὁ ὕπατος ἐδικαίωσεν c. Portus ἐδικαίωσαν ante ῥάβδοις posuit Cobet Obs. p. 104 4 ἅπαντα ὅσα πράττειν O transposuit Kiessling 6 *τὰ ἐναντία O 9 *γῆν τε αὐτῶν ἀπετέμετο τὴν ἡμίσειαν O γῆς δ' αὐτῶν eqs Sintenis Em. Dion. II 11 τῆς δὲ γῆς eqs ego 19 αὐτοὺς] αὖθις c. Bücheler 20 Ἀρεκ⟨ι⟩νων B

αὐτῶν ἐγένετο, τῆς ὑποχωρήσεως εἰς τὴν πόλιν οὐ διὰ
μακροῦ γενομένης καὶ τῶν ἐπὶ τοῖς τείχεσι τοὺς δι-
ώξαντας ἀποκρουσαμένων. μετὰ τοῦτο τὸ ἔργον οἱ
μὲν ἐπίκουροι διασκεδασθέντες ἀπῄεσαν οὐδὲν τοὺς
ἔνδον ὠφελήσαντες· ἡ δὲ πόλις ἐν ταῖς αὐταῖς πάλιν
ἐγεγόνει συμφοραῖς καὶ τῇ σπάνει τῶν ἀναγκαίων
ἐπονεῖτο, κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Σέξτος Ταρ- 4
κύνιος ἄγων στρατιὰν Λατίνων ἐπὶ Σιγνίαν κατεχο-
μένην ὑπὸ Ῥωμαίων ἐστράτευσεν, ὡς ἐξ ἐφόδου τὸ
φρούριον παραληψόμενος. γενναίως δὲ τῶν ἔνδον
ἀπομαχεσαμένων, παρεσκεύαστο μὲν ὡς λιμῷ τοὺς ἀν-
θρώπους τὸ χωρίον ἐκλιπεῖν ἀναγκάσων καὶ πολὺν
αὐτόθι χρόνον οὐδὲν ἀξιόλογον πράττων διετέλει· ἀπο-
τυχὼν δὲ καὶ ταύτης τῆς ἐλπίδος ἀφικομένης τοῖς
φρουροῖς ἀγορᾶς τε καὶ βοηθείας ἀπὸ τῶν ὑπάτων,
λύσας τὴν πολιορκίαν ἀπῆγε τὰς δυνάμεις.

LVIIII. Τῷ δ' ἑξῆς ἐνιαυτῷ Ῥωμαῖοι καθιστᾶσιν
ὑπάτους Τῖτον Λάρκιον Φλάβον καὶ Κόιντον Κλοίλιον
Σικελόν. τούτων ὁ μὲν Κλοίλιος τὰ πολιτικὰ πράτ-
τειν ἐτάχθη ὑπὸ τῆς βουλῆς τὴν ἡμίσειαν τῆς στρα-
τιᾶς ἔχων φυλακῆς ἕνεκα τῶν νεωτεριζόντων, ἐπιεικὴς
τὴν φύσιν εἶναι δοκῶν καὶ δημοτικός. ὁ δὲ Λάρκιος
ἐπὶ τὸν κατὰ Φιδηναίων πόλεμον ἐξηρτυμένην στρα-
τιὰν ἄγων καὶ τὰ εἰς πολιορκίαν ἐπιτήδεια παρασκευα-
σάμενος ᾤχετο. πονουμένοις τε τῷ μήκει τοῦ πολέμου 2
καὶ πάντων σπανίζουσι τῶν ἀναγκαίων χαλεπὸς ἦν

1 *αὐτῶν* om. B | *εἰς τὴν πόλιν* add. B 7 *ἐπονεῖτο* Reiske *πόνει* O 8 *στρατιὰν* ABb *στρατείαν* Ba et sic saepissime 18 *φλάβιον* AB 25 *καταπονουμένοις* c. Cobet Obs. p. 103 | *τοῖς φιδηναίοις* quod ABC omittunt post *πολέμου* CmgD add.

ὑπορύττων τε τοὺς θεμελίους τῶν τειχῶν καὶ χώματα ἐγείρων καὶ μηχανὰς προσφέρων καὶ οὔθ' ἡμέρας οὔτε νυκτὸς τῆς πολιορκίας ἀφιστάμενος ὀλίγου τε χρόνου κατὰ κράτος αἱρήσειν τὴν πόλιν ὑπολαμβάνων. οὐδὲ γὰρ αἱ Λατίνων πόλεις, αἷς οἱ Φιδηναῖοι μόναις πιστεύοντες ἀνείλοντο τὸν πόλεμον, ἱκαναὶ σώζειν αὐτοὺς

3 ἔτι τότ' ἦσαν. μία μὲν γὰρ οὐδεμία πόλις ἀξιόχρεω ἦν ἀπαλλάξαι τῆς πολιορκίας αὐτούς, κοινῇ δ' ἐξ ὅλου τοῦ ἔθνους οὔπω συνειστήκει δύναμις, ἀλλὰ πολλάκι πρεσβευομένοις αὐτοῖς τὰς αὐτὰς ἐδίδοσαν οἱ προεστηκότες τῶν πόλεων ἀποκρίσεις, ὡς ἀφιξομένης σφίσι ἐπικουρίας ἐν τάχει· ἔργον δ' οὐδὲν ἐγίνετο ταῖ ὑποσχέσεσιν ὅμοιον, ἀλλὰ μέχρι λόγων αἱ περὶ τ

4 συμμαχίας ἐλπίδες ἐχώρουν. οὐ μὴν παντάπασί τὰ παρὰ τῶν Λατίνων ἀπεγνώκεσαν οἱ Φιδηναῖο ἀλλὰ διεκαρτέρουν ἐπὶ ταῖς ἐκεῖθεν ἐλπίσι πάντα δεινὰ ὑπομένοντες. ἦν δ' ὑπὲρ πάντα ὁ λιμὸς ἄμαχ πρᾶγμα καὶ πολὺν οὗτος ἐποίησεν ἀνθρώπων φθόρο ὡς δ' ἀπειρήκεσαν ἤδη τοῖς κακοῖς, πρεσβευτὰς ἀπστειλαν ὡς τὸν ὕπατον ἀνοχὰς αἰτοῦντες εἰς τεταγμνον τινὰ ἡμερῶν ἀριθμὸν ὡς ἐν τούτῳ βουλευσόμεν τῷ χρόνῳ περὶ τῆς πρὸς Ῥωμαίους φιλίας, ἐφ' ο-

5 αὐτὴν ποιήσονται δικαίοις. ἦν δ' οὐ βουλῆς χάρ αἰτούμενος ὑπ' αὐτῶν ὁ χρόνος, ἀλλὰ παρασκευῆς τῶ συμμάχων, ὡς ἐδήλωσαν τῶν αὐτομόλων τινὲς ἐναγχ ἀφιγμένοι. τῇ γὰρ ἔμπροσθεν νυκτὶ τοὺς ἐπιφαν-

5 μόναις B μόλις R 6 ἱκαναῖς Ba 7 τότε ἦσαν - ἔτι ἦσαν Bb τετείησαν Ba | οὐδεμία μὲν γὰρ πόλις A μι μὲν γὰρ οὐδεμία πόλις B 17 ante ἄμαχον eras. αμον B 2 αἰτήσοντες c. Garrer Obs. p. 55

στάτους τῶν πολιτῶν καὶ πλεῖστον ἐν ταῖς Λατίνων πόλεσι δυναμένους ἀπεστάλκεσαν πρέσβεις πρὸς τὸ κοινὸν ἱκετηρίας φέροντας.

LX. Ταῦτα δὴ προεγνωκὼς ὁ Λάρκιος τοῖς μὲν αἰτοῦσι τὰς ἀνοχὰς ἐκέλευσε τὰ ὅπλα ἀποθεμένοις καὶ τὰς πύλας ἀνοίξασι, τότε διαλέγεσθαι πρὸς αὐτόν· ἄλλως δ' οὔτε διαλλαγὰς οὔτε ἀνοχὰς οὔτε ἄλλο φιλάνθρωπον ἢ μέτριον οὐθὲν αὐτοῖς ὑπάρξειν ἔφη παρὰ τῆς Ῥωμαίων πόλεως· τοὺς δ' ἀποσταλέντας ἐπὶ τὸ Λατίνων ἔθνος πρεσβευτὰς ἐφύλαττε μηκέτι παρελθεῖν ἐντὸς τείχους, ἁπάσας τὰς εἰς τὴν πόλιν ἀγούσας ὁδοὺς φρουραῖς ἐπιμελεστέραις διαλαβών, ὥστε ἠναγκάσθησαν οἱ πολιορκούμενοι τὰς συμμαχικὰς ἀπογνόντες ἐλπίδας ἐπὶ τὰς τῶν πολεμίων δεήσεις καταφυγεῖν. καὶ συνελθόντες εἰς ἐκκλησίαν ἔκριναν ὑπομένειν τὰς διαλλαγάς, ἐφ' οἷς ὁ κρατῶν ἠξίου. 2 οὕτως δ' ἄρα πολιτικὰ ἦν τὰ τῶν τότε ἡγεμόνων ἤθη καὶ πλεῖστον ἀπέχοντα τυραννικῆς αὐθαδείας, ἣν σπάνιοί τινες τῶν καθ' ἡμᾶς ἡγεμόνων ἴσχυσαν ἐξουσίας ἐπαρθέντες μεγέθει διαφυγεῖν, ὥστε παραλαβὼν τὴν πόλιν ὁ ὕπατος οὐθὲν ἀπὸ τῆς ἑαυτοῦ γνώμης ἔπραξεν, ἀλλ' ἀποθέσθαι τοὺς ἀνθρώπους κελεύσας τὰ ὅπλα καὶ φρουρὰν ἐπὶ τὴν ἄκραν καταλιπὼν αὐτὸς εἰς τὴν Ῥώμην ἀπήει, καὶ συναγαγὼν τὸ συνέδριον ἀπέδωκεν αὐτοῖς σκοπεῖν, τίνα χρηστέον τοῖς παραδοῦσιν ἑαυτοὺς τρόπον. 3 ἐφ' οἷς ἀγασθέντες τὸν ἄνδρα τῆς πρὸς αὐτοὺς τιμῆς οἱ σύνεδροι τοὺς μὲν ἐπιφανεστάτους Φιδηναίων καὶ τῆς

4 δὴ] δὲ B   9 τῆς om. B   25 πῶς ἢ τίνα χρηστέον A χρηστέον τινὰ verbis πῶς ἢ omissis B

ἀποστάσεως ἄρξαντας ἐδικαίωσαν, οὓς ἂν ὁ ὕπατος ἀπο-
φήνῃ ῥάβδοις μαστιγωθέντας ἀποκοπῆναι τὰς κεφαλάς,
περὶ δὲ τῶν ἄλλων ἐπ' ἐκείνῳ τὴν ἐξουσίαν ἐποίησαν
4 ἅπαντα πράττειν, ὅσα προῃρεῖτο. γενόμενος δ' ὁ Λά-
κιος ἁπάντων κύριος ὀλίγους μέν τινας τῶν Φιδη-
ναίων κατηγορηθέντας ὑπὸ τῶν τἀναντία φρονούντων
ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς ἀπέκτεινε καὶ τὰς οὐσίας
αὐτῶν ἐδήμευσε, τοῖς δ' ἄλλοις ἅπασιν ἀπέδωκε τήν
τε πόλιν ἔχειν καὶ τὰ χρήματα, τῆς δὲ γῆς αὐτῶν ἀπε-
τέμετο τὴν ἡμίσειαν, ἣν ἐκληρούχησαν οἱ καταλειφθέν-
τες ἐν τῇ πόλει Ῥωμαίων φρουροὶ τῆς ἄκρας. ταῦτα
διαπραξάμενος ἀπῆγεν ἐπ' οἴκου τὴν στρατιάν.

LXI. Ὡς δ' ἀπηγγέλθη τοῖς Λατίνοις ἡ τῆς Φι-
δήνης ἅλωσις, ὀρθὴ καὶ περίφοβος πᾶσα πόλις ἦν
καὶ τοῖς προεστηκόσι τῶν κοινῶν ἅπαντες ἐχαλέπαινον
ὡς προδεδωκόσι τοὺς συμμάχους. συναχθείσης δ' ἀγο-
ρᾶς ἐν Φερεντίνῳ πολλὴν ἐποιοῦντο τῶν ἀποσπευδόν-
των τὸν πόλεμον κατηγορίαν οἱ τὰ ὅπλα πείθοντες
αὐτοὺς ἀναλαβεῖν, μάλιστα δὲ Ταρκύνιός τε καὶ ὁ κη-
δεστὴς αὐτοῦ Μαμίλιος καὶ οἱ προεστηκότες τῆς Ἀρι-
2 κηνῶν πόλεως. ὑφ' ὧν ἐκδημαγωγηθέντες, ὅσοι τοῦ
Λατίνων μετεῖχον γένους, κοινῇ τὸν κατὰ Ῥωμαίων
ἀναιροῦνται πόλεμον· καὶ ἵνα πόλις μηδεμία μήτε
προδῷ τὸ κοινὸν μήτε προκαταλύσηται τὴν ἔχθραν

1 ἀποφήναιτο A ἀποφήνῃ B ἀποφήνηται C ἀπεφήναντο οὓς ἂν ὁ ὕπατος ἐδικαίωσεν c. Portus ἐδικαίωσαν ante ῥάβδοις posuit Cobet Obs. p. 104 4 ἅπαντα ὅσα πράττειν O transposuit Kiessling 6 *τὰ ἐναντία O 9 *γῆν τε αὐτῶν ἀπετέμετο τὴν ἡμίσειαν O γῆς δ' αὐτῶν eqs Sintenis Em. Dion II 11 τῆς δὲ γῆς eqs ego 19 αὐτοὺς] αὖθις c. Bücheler 20 Ἀρεκ⟨ι⟩νων B

ἄνευ τῆς ἁπάντων γνώμης ὅρκους ἔδοσαν ἀλλήλοις, καὶ τοὺς μὴ φυλάξοντας τὰς ὁμολογίας ἐκσπόνδους εἶναι καὶ καταράτους ἐψηφίσαντο καὶ πολεμίους ἁπάντων. 3 οἱ δ' ἐγγραψάμενοι ταῖς συνθήκαις ταῦτα πρόβουλοι καὶ τοὺς ὅρκους ὀμόσαντες ἀπὸ τούτων τῶν πόλεων ἦσαν ἄνδρες, Ἀρδεατῶν, Ἀρικηνῶν, Βοϊλλανῶν, Βουβεντανῶν, Κόρνων, Καρυεντανῶν, Κιρκαιητῶν, Κοριολανῶν, Κορβιντῶν, Καβανῶν, Φορτινείων, 2 Γαβίων, Λαυρεντίνων, Λανουινίων, Λαβινιατῶν, Λαβικανῶν, Νωμεντανῶν, Νωρβανῶν, Πραινεστίνων, Πεδανῶν, Κορκοτουλανῶν, Σατρικανῶν, Σκαπτηνίων, Σητίνων, Τιβουρτίνων, Τυσκλανῶν, Τοληρίνων, Τελληνίων, Οὐελιτρανῶν· ἐκ τούτων ἁπασῶν τῶν πόλεων τοὺς ἐν ἀκμῇ συστρατεύειν ὅσων ἂν δέῃ τοῖς ἡγεμόσιν Ὀκταουΐῳ Μαμιλίῳ καὶ Σέξτῳ Ταρκυνίῳ· τούτους γὰρ ἀπέδειξαν στρατηγοὺς αὐτοκράτορας. 4 ἵνα δ' εὐ-3 πρεπεῖς δόξωσι ποιεῖσθαι τὰς τοῦ πολέμου προφάσεις, πρεσβευτὰς ἐξ ἑκάστης πόλεως τοὺς ἐπιφανεστάτους

2 φυλάσσοντας O φυλάξοντας Bücheler 4 ταῦτα om. AB 6 Ἀρικεινων Ba Ἀρικηνων Bb Βοιαλανῶν AB Bolanorum Lapus corr. Hudson et Schwegler Hist. Rom. II 325 7 καρυεντανῶν AB | Κιρκαιητῶν Κοριολανῶν Κορβιντῶν Καβανῶν Φορτινείων om. O praeter B pro Κορβιντῶν reponendum esse Κορβιωνίων ex Steph. Byzant. s. v. Κορουιών c. Kiessling; pro Καβανῶν c. Niebuhr Hist. Rom. II 25 n. Κορανῶν scribendum esse 9 Λαουινίων A Λανουηΐων B | Λαβικιανων AB 10 μωρεανων AB Norbanorum Lapus Gelenius Sylburg | πρενεστηνων A παρεστηνων B 11 κορκοτουλάνων AB | ἀτρικανῶν AB corr. Sylburg 12 Σητίνων] Σιγνίων c. Mommsen Hist. Rom. I[5] 350 n. | Τυσκλαΐνων AB | Τεληρίνων A Τοληρίνων B 13 Οὐελιβρανῶν A Οὐελικράνων B Ordo quo sequuntur hic est Σητίνων Τιβουρτίνων Τουσκλαίνων Τεληρίνων Τελληνίων AB Τρικρίνων nomen, quod vulgo post Τουσκλαΐνων legitur, unde Ταρρακίνων A. Schäfer Mus. Rhen. XVI p. 290 effecit, in sola Stephani editione exstat 15 Ὀκταίῳ B

εἰς Ῥώμην ἀπέστειλαν, οἳ καταστάντες ἐπὶ τὴν βουλὴν ἔλεγον κατηγορεῖσθαι τὴν πόλιν αὐτῶν ὑπὸ τῆς πόλεως τῶν Ἀρικηνῶν, ὅτι πόλεμον ἐπιφερόντων Τυρρηνῶν Ἀρικηνοῖς οὐ μόνον ἀσφαλεῖς παρέσχον αὐτοῖς διὰ τῆς ἑαυτῶν χώρας τὰς διόδους, ἀλλὰ καὶ συνέπραξαν ὅσων αὐτοῖς εἰς τὸν πόλεμον ἔδει, καὶ τοὺς φυγόντας ἐκ τῆς τροπῆς ὑποδεξάμενοι τραυματίας καὶ ἀνόπλους ἅπαντας ὄντας ἔσωσαν, οὐκ ἀγνοοῦντες, ὅτι κοινὸν ἐπῆγον ἅπασι τοῖς ὁμοεθνέσι πόλεμον, καὶ εἰ τὴν Ἀρικηνῶν πόλιν ὑποχείριον ἔλαβον, οὐδὲν ἂν ἦν τὸ κωλῦσον αὐτοὺς καὶ τὰς ἄλλας καταδουλώσασθαι πόλεις ἁπάσας. εἰ μὲν οὖν βουλήσονται δίκας Ἀρικηνοῖς ὑπέχειν ἐπὶ τὸ κοινὸν τῶν Λατίνων ἀφικόμενοι δικαστήριον καὶ στέρξουσι τοῖς ὑπὸ πάντων δικασθησομένοις, οὐδὲν αὐτοῖς ἔφασαν δεήσειν πολέμου· εἰ δὲ τὴν συνήθη φυλάξαντες αὐθάδειαν, οὐδὲν ἀξιώσουσι συγχωρεῖν τοῖς συγγενέσι τῶν δικαίων καὶ μετρίων, ἠπείλουν πολεμήσειν αὐτοῖς Λατίνους ἅπαντας ἀνὰ κράτος.

LXII. Ταῦτα προκαλουμένων τῶν πρεσβευτῶν οὐκ ἀξιοῦσα δίκην ὑποσχεῖν Ἀρικηνοῖς ἡ βουλή, περὶ ὧν οἱ κατηγοροῦντες ἔμελλον γίνεσθαι κριταί, καὶ οὐδὲ μέχρι τούτων κριτὰς ἔσεσθαι ὑπολαμβάνουσα τοὺς ἐχθρούς, ἀλλὰ προσθήσειν ἔτι βαρύτερα τούτων ἐπιτάγματα, δέχεσθαι τὸν πόλεμον ἐψηφίσαντο. τῆς μὲν οὖν ἀρετῆς ἕνεκα καὶ τῆς ἐμπειρίας τῶν ἀγώνων οὐ-

1 οἳ om. Ba 12 πόλεις add. B 14 καὶ ⟨εἰ⟩ξουσι in ras. 4 litt. B στέρξουσι Cobet Obs. p. 104 22 κριτὰς ἔσεσθαι in suspicionem vocat Cobet Obs. l. l. τῶν ἐπιταγμάτων post ἔσεσθαι add. B 25 ἐψηφίσαντο O ἐψηφίσατο c. Portus

δεμίαν ὑπελάμβανον καταλήψεσθαι τὴν πόλιν συμφο-
ράν, τὸ δὲ πλῆθος ὀρρώδει τῶν πολεμίων· καὶ πολλαχῆ
διαπέμπουσα πρέσβεις παρεκάλει τὰς πλησιοχώρους πό-
λεις ἐπὶ συμμαχίαν, ἀντιπρεσβευομένων εἰς τὰς αὐτὰς
καὶ τῶν Λατίνων καὶ πολλὰ τῆς Ῥώμης κατηγορούν-
των. Ἕρνικες μὲν οὖν κοινῇ συνελθόντες ὕποπτα καὶ 2
995 οὐδὲν ὑγιὲς ἀμφοτέραις ταῖς πρεσβείαις ἀπεκρίναντο,
συμμαχήσειν μὲν οὐδετέροις λέγοντες κατὰ τὸ παρόν,
βουλεύσεσθαι δ' ὁπότεροι δικαιότερα ἀξιοῦσι κατὰ
σχολήν, τῇ δὲ βουλῇ χρόνον ἐνιαύσιον ἀποδώσειν.
Ῥότολοι δὲ Λατίνοις μὲν ἐπικουρίαν πέμψειν ἄντικρυς 3
ὑπέσχοντο, Ῥωμαίοις δ' ἐὰν βουληθῶσι καταλύσασθαι
τὴν ἔχθραν, διὰ σφῶν μετριωτέρους παρέξειν Λατίνους
ἔφασαν καὶ τὰς συμβάσεις αὐτοῖς διαιτήσειν. Οὐολοῦ-
σκοι δὲ καὶ θαυμάζειν ἔλεγον τῆς Ῥωμαίων ἀναισχυν-
τίας, ὅτι συνειδότες ἑαυτοῖς, ὅτι τά τ' ἄλλα ἠδικηκότες
ἦσαν αὐτοὺς καὶ τὰ τελευταῖα [ὡς] τῆς χώρας τὴν
κρατίστην αὐτοὺς ἀφελόμενοι κατεῖχον, οὐδὲν ἧσσον
ἐτόλμησαν ἐπὶ συμμαχίαν ἐχθροὺς ὄντας σφᾶς παρα-
καλεῖν, συνεβούλευόν τ' αὐτοῖς ἀποδοῦσι τὴν χώραν
τότε παρ' αὐτῶν ⟨ὡς⟩ φίλων ἀπαιτεῖν τὰ δίκαια.
Τυρρηνοὶ δ' ἀμφοτέροις ἐμποδὼν ἐγίνοντο, Ῥωμαίοις
μὲν σπονδὰς γεγονέναι λέγοντες οὐ πρὸ πολλοῦ, πρὸς
96 δὲ Ταρκυνίους συγγένειαν εἶναι σφίσι καὶ φιλίαν.

1 ὑπελάμβανον B ὑπελάμβανε R 4 αὐτὰς πόλεις O praeter B 5 καὶ ante τῶν add. B 6 ὕποπτα] ὕπουλα c. Cobet Obs. p. 104 14 αὐτοὶ quod Kiesslingio teste B praebet — Mauium si sequimur αὐτοῖς in B exstat — def. Cobet Obs. 105, αὐτοῖς R 15 τὴν ἀναισχυντίαν c. Cobet l. l. 16 ὅτι] οἳ c. Reiske 17 τελευτ⟨αι⟩α in ras. 1 litt. B | ὡς del. Reiske 21 αὐτῶν ὡς φίλων c. Reiske 22 ἐκποδὼν c. Reiske | πρὸς Ῥωμαίους μὲν c. Sylburg 24 σφίσι εἶναι A εἶναι σφίσι B

4 τοιαῦτα τούτων ἀποκριναμένων οὐθὲν οἱ Ῥωμαῖοι ταπεινωθέντες, ὃ παθεῖν εἰκὸς ἦν τοὺς μέγαν τε πόλεμον αἰρομένους καὶ πάσας ἀπεγνωκότας τὰς συμμαχικὰς ἐλπίδας, ἀλλὰ ταῖς οἰκείαις δυνάμεσι πιστεύοντες μόναις πολλῷ προθυμότεροι πρὸς τὸν ἀγῶνα ἐγίνοντο ὡς διὰ τὴν ἀνάγκην ἄνδρες ἀγαθοὶ παρὰ τοὺς κινδύνους ἐσόμενοι, καὶ ἐὰν κατὰ νοῦν πράξωσι ταῖς ἰδίαις ἀρεταῖς κατορθώσαντες τὸν πόλεμον οὐδενὶ κοινωσόμενοι τῆς δόξης. τοσοῦτον αὐτοῖς φρονήματος καὶ τόλμης ἐκ τῶν πολλῶν ἀγώνων περιῆν.

LXIII. Παρασκευαζόμενοι δὲ τὰ εἰς τὸν πόλεμον ἐπιτήδεια καὶ τὰς δυνάμεις ἀρξάμενοι καταγράφειν εἰς πολλὴν ἐνέπιπτον ἀμηχανίαν, οὐ τὴν αὐτὴν ἁπάντων προθυμίαν εἰς τὰ ἔργα παρεχομένων. οἱ γὰρ ἐνδεεῖς βίου καὶ μάλιστα οἱ τὰ χρέα τοῖς συμβαλοῦσι διαλῦσαι οὐ δυνάμενοι πολλοὶ σφόδρα ὄντες οὐχ ὑπήκουον ἐπὶ τὰ ὅπλα καλούμενοι οὐδ' ἐβούλοντο κοινωνεῖν οὐδενὸς ἔργου τοῖς πατρικίοις, εἰ μὴ ψηφίσαιντο αὐτοῖς χρεῶν ἄφεσιν· ἀλλὰ καὶ καταλείψειν τινὲς αὐτῶν τὴν πόλιν ἔλεγον καὶ παρεκελεύοντο ἀλλήλοις μὴ φιλοχωρεῖν πόλει μηδενὸς αὐτοῖς ἀγαθοῦ μεταδιδούσῃ.
2 τέως μὲν οὖν παρακαλεῖν αὐτοὺς οἱ πατρίκιοι καὶ μεταπείθειν ἐπειρῶντο, ἐπεὶ δ' οὐθὲν ἐγίνοντο μετριώτεροι πρὸς τὰς παρακλήσεις, οὕτω δὴ συνελθόντες εἰς τὸ βουλευτήριον ἐσκόπουν, τίς εὐπρεπεστέρα λύσις ἔσται τῆς κατεχούσης τὴν πόλιν ταραχῆς. ὅσοι μὲν οὖν

3 συναιρουμένους A αἱρουμένους B συναιρομένους [illegible] συναρουμένους Sylburg αἱρουμένους Cobet Obs. p. 105 | τὰς a[illegible] B 8 κατορθώσαντες B 13 ἔπιπτον B 19 ⟨αὐ⟩τοῖς 24 δὲ Ba δὴ ABb 25 εὐπρεπεστάτη c. Bücheler

πιεικεῖς τὴν φύσιν καὶ μέτριοι τοῖς τιμήμασι τῶν ἰδίων ἦσαν, παρῄνουν ἀφεῖναι τὰ χρέα τοῖς πένησι καὶ πρίασθαι πολιτικὴν εὔνοιαν ὀλίγου διαφόρου, μεγάλα μέλλοντας ἐξ αὐτῆς κερδανεῖν ἰδίᾳ τε καὶ δημοσίᾳ.

LXIIII. Ἦν δ' ὁ ταύτης ἡγούμενος τῆς γνώμης Μάρκος Οὐαλέριος, υἱὸς Ποπλίου Οὐαλερίου, ἑνὸς τῶν καταλυσάντων τὴν τυραννίδα, τοῦ κληθέντος διὰ τὴν ἐς τὸ δημοτικὸν εὔνοιαν Ποπλικόλα, διδάσκων αὐτούς, ὅτι τοῖς μὲν ὑπὲρ τῶν ἴσων ἀγωνιζομένοις ἴσαι φιλοῦσιν ἐμφύεσθαι πρὸς τὰ ἔργα φιλοτιμίαι, τοῖς δὲ μηδὲν ἀπολαύειν μέλλουσιν ἀγαθὸν οὐδὲν ἐπέρχεται φρονεῖν γενναῖον· ἠρεθίσθαι τε λέγων ἅπαντας τοὺς ἀπόρους καὶ περιιόντας κατὰ τὴν ἀγορὰν λέγειν· Τί 2 δ' ἡμῖν ἔσται πλέον, ἐὰν νικήσωμεν τοὺς ἔξωθεν πολεμίους, εἰ τοῖς δανεισταῖς ἀγώγιμοι πρὸς τὰ χρέα γενησόμεθα καὶ τῇ πόλει τὴν ἡγεμονίαν κατασκευάσαντες αὐτοὶ μηδὲ τὴν ἐλευθερίαν τοῖς σώμασι φυλάξαι δυνησόμεθα; κίνδυνόν τ' οὐ τοῦτον μόνον ἐπαχθῆναι σφίσιν ἀποφαίνων, ἐὰν ἐκπολεμωθῇ πρὸς τὴν βουλὴν ὁ δῆμος, μὴ καταλίπῃ τὴν πόλιν ἐν τοῖς κινδύνοις, ὃ πάντας ὀρρωδεῖν χρὴ τοὺς τὰ κοινὰ σώζεσθαι βουλομένους, ἀλλὰ κἀκεῖνον τὸν ἔτι τούτου χαλεπώτερον, μὴ ταῖς παρὰ τῶν τυράννων φιλανθρωπίαις ἐξαπατηθεὶς κατὰ τῶν πατρικίων ἄρηται τὰ ὅπλα

1 τῇ φύσει B 6 Μάρκιος Bb υἱὸς Μάρκου Οὐαλερίου O cf. Niebuhr Hist. Rom. I not. 1328, Ποπλίου pro Μάρκου hoc loco Kiessling Ποπλίου voce post τυραννίδα omissa cum B, Μάρκου Οὐαλερίου delenda esse censet Mommsenus C. I. L. p. 284 | Ποπλίου τοῦ O praeter B 11 *μηδενὸς AB cf. II 17 | ἀγαθοῦ A ἀγαθὸν B 12 ἢ γενναῖον Bb | πάντας B 24 ἔρῃ A αἴρῃ Ba ἄ.ρῃ Bb ἄρηται Cobet Obs. p. 106

3 καὶ συγκαταγάγῃ Ταρκύνιον ἐπὶ τὴν ἀρχήν. ἕως ο
ἔτι λόγους καὶ ἀπειλὰς εἶναι, πονηρὸν δ' ἔργον μηί
ὑπὸ τοῦ δήμου γεγονέναι, φθάσαι τῇ βοηθείᾳ ταῖ
τὸν δῆμον εἰς τὰ πράγματα προοικειωσαμένους πα
νει, οὔτε πρώτους τὸ πολίτευμα τοῦτο καθισταμένο
οὔτε αἰσχύνην τινὰ δι' αὐτὸ μεγάλην ὀφλήσοντ
ἀλλὰ πολλοὺς ἔχοντας ἐπιδεῖξαι καὶ τοῦτο ὑπομείνι
τας καὶ ἄλλα πολλῷ τούτου χαλεπώτερα, ὅταν μηδ
ἐξῇ πράττειν ἕτερον· τὰς γὰρ ἀνάγκας κρείττους εἶ
τῆς ἀνθρωπίνης φύσεως, καὶ τὸ εὐπρεπὲς τότε ἀξιο
ἅπαντας σκοπεῖν, ὅταν ἔχωσιν ἤδη τὸ ἀσφαλές.

LXV. Ἐξαριθμησάμενος δὲ πολλὰ καὶ ἐκ πολλ
παραδείγματα πόλεων τελευταίαν παρέσχετο τὴν Ἀθ
ναίων πόλιν μεγίστου τότε τυγχάνουσαν ὀνόματος ἐ
σοφίᾳ, οὐ πρὸ πολλῶν χρόνων, ἀλλὰ κατὰ τοὺς πα
ρας αὐτῶν ἄφεσιν χρεῶν ψηφισαμένην τοῖς ἀπόρ
Σόλωνος καθηγησαμένου, καὶ οὐθένα τῇ πόλει τ
πολιτεύματος τούτου ἐπιτιμᾶν οὐδὲ τὸν εἰσηγησάμεν
αὐτὸ δημοκόπον καὶ πονηρὸν ἀποκαλεῖν, ἀλλὰ καὶ τ
πεισθεῖσι πολλὴν φρόνησιν ἅπαντας μαρτυρεῖν, κ
2 τῷ πείσαντι μεγάλην σοφίαν. Ῥωμαίοις δ', οἷς
περὶ μικρῶν τὸν κίνδυνον εἶναι διαφορῶν, ἀλλ' ὑπ
τοῦ μὴ παραδοθῆναι πάλιν ὠμῷ καὶ παντὸς χείρο
θηρίου τυράννῳ, τίς τῶν νοῦν ἐχόντων ἐπιτιμήσει
ἄν, ⟨ἐὰν⟩ τῇ φιλανθρωπίᾳ ταύτῃ συμμάχους ἀντὶ π

3 γέγονεν ἔφθασε Ba 4 δῆμον εἰς τὰ πράγματα προο κειωσαμένους B δῆμον οἰκειωσαμένους R προοικειωσαμέν Reiske 6 τινα add. B 9 ἐξείη B 13 παρείχετο B τοὔδε A τότι Ba τότε Bb τούτου Bücheler 19 δημοτι B | καλεῖν O praeter B 21 οἷς om. B 25 ἐὰν add. S tenis Em. Dion. II 23

λεμίων τοὺς πένητας κατασκευάσωνται τῇ πόλει γενέ-
1001 σθαι; διεξελθὼν δὲ τὰ ξενικὰ παραδείγματα τελευταῖον 3
τὸν ἐκ τῶν ἐπιχωρίων ἔργων προσελάμβανε λόγον
ὑπομιμνήσκων τὰς ἔναγχος κατασχούσας αὐτοὺς ἀνάγ-
κας, ὅτε κρατουμένης σφῶν τῆς χώρας ὑπὸ Τυρρηνῶν
τειχήρεις γενόμενοι καὶ εἰς πολλὴν τῶν ἀναγκαίων
καταστάντες ἀπορίαν οὐκ ἔσχον ἀνθρώπων μεμηνότων
καὶ θανατώντων ἀνοήτους λογισμούς, ἀλλ' εἴξαντες
τοῖς κατέχουσι καιροῖς καὶ τὴν ἀνάγκην διδάσκαλον
τῶν συμφερόντων λαβόντες, ὅμηρα τε δοῦναι βασιλεῖ
Πορσίνᾳ τοὺς ἐπιφανεστάτους παῖδας ὑπέμειναν, οὔπω
πρότερον τοῦτο ὑπομείναντες, καὶ μέρει τῆς χώρας
ζημιωθῆναι, τῶν Ἑπτὰ πάγων Τυρρηνοῖς ἀποστάντες,
καὶ δικαστῇ χρήσασθαι τῷ πολεμίῳ, περὶ ὧν αὐτοῖς
ὁ τύραννος ἐνεκάλει, διδόντες καὶ ἀγορὰν καὶ ὅπλα
καὶ τἄλλα, ὅσων ἐδέοντο Τυρρηνοὶ παρασχεῖν ἐπὶ τῇ
καταλύσει τοῦ πολέμου. τούτοις δὴ τοῖς παραδείγμασι 4
χρησάμενος οὐ τῆς αὐτῆς φρονήσεως ἔργον ἀπέφαινεν
εἶναι τοῖς μὲν πολεμίοις περὶ μηθενὸς ὧν ἠξίωσαν
1002 ἀντειπεῖν, τοῖς δ' ἑαυτῶν πολίταις περὶ μικροῦ πολε-
μεῖν διαφόρου, οἳ πολέμους μὲν ἠγωνίσαντο καλοὺς
καὶ πολλοὺς περὶ τῆς ἡγεμονίας, ὅτε κατεῖχον οἱ βα-
σιλεῖς τὰ κοινά, μεγάλην δὲ προθυμίαν εἰς τὸ συνε-
λευθερῶσαι τὴν πόλιν ἀπὸ τῶν τυράννων παρέσχοντο,
ἔτι δὲ πλείονα παρέξεσθαι σπουδὴν ἔμελλον εἰς τὰ

1 κατασκευάσωνται A κατασκευάσασθαι B (*H* add. Bb) κατασκευάσασι Reiske 5 ὅτι O ὅτε Gelenius 8 ἀνοήτους add. B 13 ἀποστάντων B 15 διδόντες O seclusit Kiessling 16 τὰ ἄλλα B 20 δὲ αὐτῶν B 21 καλοὺς] μεγάλους c. Kiessling

λοιπὰ ἔργα παρακληθέντες, βίων μὲν σπανίζοντες, τὰ δὲ σώματα καὶ τὰς ψυχάς, ἃ μόνα περιῆν αὐτοῖς ἀφειδῶς εἰς τοὺς περὶ αὐτῆς κινδύνους ἐπιδιδόντες· ἔφη δὲ τελευτῶν ὡς εἰ καὶ μηδὲν ἐπεχείρουν ἐκεῖνο τοιοῦτον ὑπ᾽ αἰσχύνης κρατούμενοι λέγειν, μηδὲ ἀπαγγέλλειν, τοὺς πατρικίους ἐχρῆν λογισμὸν τὸν προσήκοντα περὶ αὐτῶν λαβόντας, ὧν ᾔδεσαν δεομένου καὶ κοινῇ καὶ καθ᾽ ἕνα ἕκαστον, ταῦτ᾽ ἐξ ἑτοίμο χαρίζεσθαι, ἐνθυμουμένους, ὅτι πρᾶγμα ὑπερήφανο ποιοῦσιν αἰτοῦντες μὲν παρ᾽ ἐκείνων τὰ σώματα, μ χαριζόμενοι δ᾽ αὐτοῖς τὰ χρήματα, καὶ λέγοντες μ πρὸς ἅπαντας, ὅτι τῆς κοινῆς ἐλευθερίας ἕνεκα πολεμοῦσι, τῶν δὲ συγκατακτησαμένων αὐτὴν ἀφαιρούμενο οὐ πονηρίαν ἔχοντες αὐτοῖς ὀνειδίζειν, ἀλλ᾽ ἀπορία ἣν οἰκτείρεσθαι μᾶλλον ἢ μισεῖσθαι προσῆκε.

LXVI. Τοιαῦτα τοῦ Οὐαλερίου λέγοντος καὶ πολλῶν τὴν γνώμην ἐπαινούντων Ἄππιος Κλαύδιος Σαβῖνος ἐν τῷ προσήκοντι κληθεὶς τόπῳ τἀναντία παρῄνει διδάσκων, ὅτι τὸ στασιάζον οὐκ ἐξαιρεθήσεται τ πόλεως, ἐὰν ψηφίσωνται χρεῶν ἀποκοπάς, ἀλλ᾽ πονηρότερον ἔσται μεταχθὲν ἀπὸ τῶν πενήτων
2 τοὺς εὐπόρους. δῆλον γὰρ δὴ πᾶσιν ὑπάρχειν, ὅ χαλεπῶς οἴσουσιν οἱ μέλλοντες ἀποστερεῖσθαι τῶν χρημάτων πολῖταί τ᾽ ὄντες καὶ ἐπίτιμοι καὶ πάσας ἐστρατευμένοι τὰς ἐπιβαλούσας ὑπὲρ τῆς πόλεως στρατεία

3 ἐπιδόντες B  4 *ἔφη τε λέγων AB τελευτῶν δ᾽ ἔ c. Kiessling  5 τοιοῦτον] τούτων B | ἐπαγγέλλειν Reiske  τὸν προσήκοντα λογισμὸν O praeter B  8 καθ᾽ ἕν᾽ ἕκαστον praeter B  10 ποιήσουσιν O ποιοῦσιν Sintenis Em. Di II 23 | μὴ om. Ba  13 συ⟨γ⟩κατακτησαμένων B  15 προσήκε. Ba προσῆκε ABb  19 ἐξ⟨αι⟩ρεθήσεται  25 ἐπιβούλο ας Ba | ὑπὲρ τῆς πόλεως B τῇ πόλει R

’ ἀξιοῦντες ἃ κατέλιπον αὐτοῖς οἱ πατέρες καὶ αὐτοὶ εργοῦντες καὶ σωφρόνως ζῶντες ἐκτήσαντο δημεύαι τοῖς πονηροτάτοις καὶ ἀργοτάτοις τῶν πολιτῶν. λῆς δ' εἶναι μωρίας ἔργον τῷ χείρονι μέρει τοῦ ιτεύματος χαρίζεσθαι βουλομένους τοῦ κρείττονος ροϱᾶν καὶ τοῖς ἀδικωτάτοις τῶν πολιτῶν τὰς ἀλλοις δημεύοντας οὐσίας τῶν δικαίως αὐτὰς κτησαμέ' ἀφαιρεῖσθαι. ἐνθυμεῖσθαί τ' αὐτοὺς ἠξίου, ὅτι 3 ὑπὸ τῶν πενήτων καὶ οὐδεμίαν ἰσχὺν ἐχόντων αἱ εις ἀπόλλυνται τὰ δίκαια ποιεῖν ἀναγκαζομένων, ’ ὑπὸ τῶν εὐπόρων καὶ τὰ πολιτικὰ πράττειν δυένων, ὅταν ὑπὸ τῶν χειρόνων ὑβρίζωνται καὶ τῶν κίων μὴ τυγχάνωσιν. εἰ δὲ μηδὲν ἀγανακτήσειν λοιεν οἱ τῶν συμβολαίων ἀποστερούμενοι, πρᾴως πως καὶ ῥᾳθύμως οἴσειν τὰς βλάβας, οὐδ' οὕτως καλῶς ἕξειν σφίσιν οὐδ' ἀσφαλῶς δωρεὰν τοῖς ησι χαρίζεσθαι τοιαύτην, δι' ἣν ἀσυνάλλακτος ὁ ιὸς ἔσται βίος καὶ μισάλληλος καὶ τῶν ἀναγκαίων ιῶν, ὧν χωρὶς οὐκ ἔνεστιν οἰκεῖσθαι τὰς πόλεις, εής, οὔτε τὴν χώραν σπειρόντων ἔτι καὶ φυτευόν' τῶν γεωργῶν, οὔτε τὴν θάλατταν πλεόντων καὶ ιειβομένων τὰς διαποντίους ἀγορὰς τῶν ἐμπόρων, ε ἄλλην ἐργασίαν οὐδεμίαν δικαίαν ποιουμένων ' πενήτων. εἰς ἅπαντα γὰρ ταῦτα τοῖς δεομένοις 4 ιρμῆς οὐδένα τῶν εὐπόρων τὰ ἑαυτοῦ χρήματα ήσεσθαι· ἐκ δὲ τούτων φθονήσεσθαι μὲν εὐπορίαν, αλυθήσεσθαι δὲ φιλεργίαν, κρείττω δὲ μοῖραν ἕξειν

1 οὐκ ἀξιοῦντες O οὐδ' ἀξ. Kiessling 10 ποιεῖν] πα' c. Kiessling 13 εἰ δὲ καὶ Reiske

τοὺς ἀκολάστους τῶν σωφρόνων, τοὺς δ' ἀδίκους τῶν δικαίων καὶ τοὺς σφετεριζομένους τἀλλότρια τῶν φυλαττόντων τὰ ἴδια. ταῦτα δ' εἶναι τὰ ποιοῦντα διχοστασίας ἐν ταῖς πόλεσι καὶ ἀλληλοφθορίας ἀπαύστους καὶ πᾶσαν ἄλλην κακῶν ἰδέαν, ὑφ' ὧν αἱ μὲν εὐτυχέστατα πράξασαι τὴν ἐλευθερίαν ἀφῃρέθησαν, αἱ δὲ τῆς χείρονος μοίρας τυχοῦσαι πανώλεθροι διεφθάρησαν.

LXVII. Παντὸς δὲ μάλιστα σκοπεῖν αὐτοὺς ἠξίου καινὴν καθισταμένους πολιτείαν, ὅπως μηθὲν εἰς αὐτὴν παρελεύσεται πονηρὸν ἔθος, πολλὴν ἀνάγκην εἶναι λέγων ὁποῖ' ἄττ' ἂν ᾖ τὰ κοινὰ τῶν πόλεων ἐπι- 1006
τηδεύματα, τοιούτους γίνεσθαι τοὺς τῶν ἰδιωτῶν βίους. ἔθος δ' εἶναι οὐδὲν κάκιον οὔτε πόλεσιν οὔτε οἴκοις τοῦ καθ' ἡδονὰς ἀεὶ ζῆν ἕκαστον καὶ τοῦ πάντα συγχωρεῖσθαι τοῖς ἥττοσιν ὑπὸ τῶν κρειττόνων, εἴτε πρὸς χάριν εἴτε πρὸς ἀνάγκην· οὐ γὰρ ἀποπληροῦσθαι τὰς ἐπιθυμίας τῶν ἀφρόνων τυγχανούσας ὧν ἂν δεηθῶσιν, ἀλλ' ἑτέρων εὐθὺς ὀρέγεσθαι μειζόνων καὶ εἰς ἄπειρον προβαίνειν· μάλιστα δὲ τοῦτο πάσχειν τοὺς ὄχλους· ἃ γὰρ καθ' ἑαυτὸν ἕκαστος αἰσχύνεται πράττειν ἢ δέδιεν ὑπὸ τοῦ κρείττονος κατειργόμενος, ταῦτ' ἐν κοινῷ γενομένους ἑτοιμότερον παρανομεῖν προσειλη-
2 φότας ἰσχὺν ταῖς ἑαυτῶν γνώμαις ἐκ τῶν τὰ ὅμοια βουλομένων. ἀπληρώτους δὲ καὶ ἀορίστους ὑπαρχούσας τὰς τῶν ἀνοήτων ὄχλων ἐπιθυμίας ἀρχομένας ἔφη δεῖν κωλύειν, ἕως εἰσὶν ἀσθενεῖς, οὐχ, ὅταν ἰσχυραὶ

1 τούς τε ἀδίκους c. Reudler Tiroc. p. 44 3 ταῦτα] δεινὰ Ba 4 ἀλληλοφθονίας c. Kiessling 5 εὐτυχέστατα B 10 παρελεύσηται A 18 ἄπορον Ba 26 κωλύειν] κολούειν

1007 καὶ μεγάλαι δύνωνται, καθαιρεῖν. χαλεπωτέραν γὰρ
ὀργὴν ἅπαντας ἔχειν τῶν συγχωρηθέντων στερομένους
ἢ τῶν ἐλπιζομένων μὴ τυγχάνοντας. παραδείγμασί τε 3
πολλοῖς εἰς τοῦτ' ἐχρήσατο πόλεων Ἑλληνίδων ἔργα
διεξιών, ὅσαι μαλακισθεῖσαι δι' ἀκαιρούς τινας ἀφορ-
μὰς καὶ πονηρῶν ἐπιτηδευμάτων ἀρχὰς ἐφεῖσαι παρελ-
θεῖν οὐκέτι παῦσαι καὶ ἀνελεῖν αὐτὰ δύναμιν ἔσχον·
ἐξ ὧν εἰς αἰσχρὰς καὶ ἀνηκέστους ἠναγκάσθησαν προ-
ελθεῖν συμφοράς. ἐοικέναι τε τῷ καθ' ἕνα τὸ κοινὸν
ἔφη, ψυχῇ μὲν ἀνδρὸς ἀνάλογον ἐχούσης τι τῆς βου-
λῆς, σώματι δὲ τοῦ δήμου. ἐὰν μὲν οὖν τῆς βουλῆς τὸν 4
ἄφρονα δῆμον ἄρχειν ἐῶσιν, ὅμοια πείσεσθαι αὐτοὺς
ἔφη τοῖς ὑποτάττουσι τὴν ψυχὴν τῷ σώματι καὶ μὴ
κατὰ τὸν λογισμόν, ἀλλὰ κατὰ τὰ πάθη ζῶσιν. ἐὰν
δ' ἄρχεσθαί τε καὶ ἄγεσθαι τὸν δῆμον συνεθίζωσιν
8 ὑπὸ τῆς βουλῆς, ταὐτὸ ποιήσουσι τοῖς ὑποτάττουσι
τῇ ψυχῇ τὸ σῶμα καὶ πρὸς τὸ βέλτιστον, ἀλλὰ μὴ
πρὸς τὸ ἥδιστον τοὺς βίους ἄγουσι. βλάβην δὲ με- 5
γάλην οὐδεμίαν ἀπέφαινε συμβήσεσθαι τῇ πόλει, ἐὰν
οἱ πένητες ἀγανακτοῦντες ἐπὶ τῷ μὴ συγχωρηθῆναι
σφίσι τὴν χρεοκοπίαν μὴ θελήσωσιν ὑπὲρ αὐτῆς τὰ
ὅπλα ἀναλαβεῖν, ὀλίγους τινὰς εἶναι λέγων παντάπασι
τοὺς μηδὲν ὑπολειπομένους ἑαυτοῖς ἔξω τοῦ σώματος,
οὓς οὔτ' ὠφέλειάν τινα παρέξεσθαι τῷ κοινῷ θαυμα-

c. Sintenis Em. Dion. II 23 | ἰσχυραὶ καὶ μεγάλαι δύνωνται ⟨καὶ⟩ καθαιρεῖν B ἰσχυρὰ καὶ μεγάλα δύνωνται καθαιρεῖν R 2 στερουμένους O praeter B 5 μαλ⟨ακισ⟩θεῖσαι 2 litt. in ras. B | διά καὶ ρους τινας καὶ Ba δι' ἀκαίρους τινὰς καὶ Bb δι' ἀκαίρους τινὰς ἀφορμὰς A 6 ἀρχὰς A ἀρὰς B | ἀφεῖσαι O ἐφεῖσαι Kiessling | παρεισελθεῖν c. Smit Obs. p. 18 9 τοῖς καθ' ἕνα c. Cobet Obs. p. 106 16 τὸ αὐτὸ B | ποιήσειν c. Bücheler

στὴν ὅσην παρόντας ταῖς στρατείαις, οὔτε βλι ἀπόντας· ὑπομιμνήσκων αὐτούς, ὅτι τὴν ἐσχάτην λάμβανον ἐν τοῖς πολέμοις χώραν οἱ τοὐλάχιστον ἐ τες τοῦ βίου τίμημα, καὶ ὅτι προσθήκης μοῖραν ι χον οὗτοι τοῖς ἐν φάλαγγι τεταγμένοις, καταπλή ἕνεκα τῶν πολεμίων συνόντες, οἷα δὴ μηδὲν φέρο ὅπλον ὅτι μὴ σφενδόνας, ὧν ἐλάχιστον ἐν ταῖς μά εἶναι ὄφελος.

LXVIII. Τούς τ' οἰκτείρειν τὴν πενίαν τῶν λιτῶν ἀξιοῦντας καὶ βοηθεῖν τοῖς μὴ δυναμένοις λῦσαι τὰ χρέα παραινοῦντας ἔφη δεῖν ἐξετάζειν ποτε τὸ πεποιηκὸς ἦν αὐτοὺς ἀπόρους κλήρους τε πι λαβόντας, οὓς οἱ πατέρες αὐτῶν κατέλιπον, καὶ τῶν στρατειῶν πολλὰ ὠφεληθέντας, καὶ ⟨τὰ⟩ τε ταῖα ἐκ τῆς δημευθείσης τῶν τυράννων οὐσίας ἐπιβαλοῦσαν μοῖραν λαβόντας· ἔπειθ' οὓς μὲν δρῶσι τῇ γαστρὶ καὶ ταῖς αἰσχίσταις ἐξηκότας ἡδο καὶ διὰ ταῦτ' ἐκπεπτωκότας ἐκ τῶν βίων, αἰσχι τῆς πόλεως νομίζειν καὶ βλάβας, καὶ μέγα τῷ κι κέρδος ὑπολαμβάνειν, ἐὰν ἑκόντες ἀπὸ τῆς πό ἀποφθαρῶσιν· οὓς δ' ἂν αἰσθάνωνται διὰ πονη τύχην ἀπολωλεκότας τοὺς βίους, ἐκ τῶν ἰδίων τούτ

1 τ⟨αις⟩ in ras. 1 litt. B | στρατιαῖς B 2 ὑπελάμβι O corr. Reiske 3 *τὸ ἐλάχιστον O 6 πολεμίων] ἐχί B 8 ἦν ὄφελος O εἶναι ὄφελος Reiske 11 παρ⟨αι⟩ν τας Bb 13 ἀπέλειπον Ba ἀπέλιπον ABb 14 καὶ τὰ /// λευταῖα Grasberger Tess. Herb. p. 18 τὰ om. O 16 ανορ Ba ἂν δρωῖεν Bb ἂν δρῶσι R 17 κεχαρισμένως ante κότας omissum esse censet Stephanus | ἐξηκότας] ἐφεικ c. Kayser Ann. phil. 1866 p. 46 20 ἀπὸ] ἐκ Cobet p. 106

εὖ ποιεῖν. ἄριστα δὲ τοῦτο καὶ γινώσκειν καὶ ποιή- 2
σειν ἔφησε τοὺς συμβεβληκότας αὐτοῖς καὶ βοηθήσειν
αὐτῶν ταῖς τύχαις αὐτοὺς ἐκείνους οὐκ ἀναγκασθέντας
ὑφ' ἑτέρων, ἀλλ' ἑκόντας, ἵν' αὐτοῖς ἡ χάρις ἀντὶ τῶν
χρημάτων καλὸν ὀφείλημα περιῇ. κοινὴν δὲ ποιεῖν
10 τὴν βοήθειαν ἅπασιν, ἧς ἐξ ἴσου μεθέξουσιν οἱ πονη-
ροὶ τοῖς χρηστοῖς, καὶ μὴ ἐκ τῶν ἰδίων, ἀλλ' ἐκ τῶν
ἀλλοτρίων τινὰς εὖ ποιεῖν, καὶ ὧν τὰ χρήματα ἀφαι-
ροῦνται, τούτοις μηδὲ τὰς ὑπὲρ τῶν εὐεργεσιῶν κατα-
λιπεῖν χάριτας, ἥκιστα τῇ Ῥωμαίων ἀρετῇ προσήκειν.
ὑπὲρ ἅπαντα δὲ ταῦτα καὶ τἆλλα, δεινόν τι καὶ οὐκ 3
ἀνεκτὸν εἶναι Ῥωμαίοις τῆς ἡγεμονίας ἀντιποιουμένοις,
ἣν διὰ πολλῶν πόνων οἱ πατέρες αὐτῶν κτησάμενοι
τοῖς ἐκγόνοις κατέλιπον, μὴ κατὰ προαίρεσιν μηδὲ
πεισθέντας μηδ' ἐν ᾧ προσῆκε καιρῷ τὰ βέλτιστα καὶ
τῷ κοινῷ συμφέροντα πράττειν, ἀλλ' ὥσπερ ἑαλωκυίας
τῆς πόλεως ἢ προσδοκώσης τοῦτο πείσεσθαι παρὰ τὸ
δοκοῦν ἑαυτοῖς πράττειν, ἐξ ὧν ὠφέλειαν μὲν οὐδε-
μίαν ἢ μικράν τινα κομιδῇ λήψονται, κακῶν δὲ κιν-
11 δυνεύσουσι τὰ ἔσχατα παθεῖν. μακρῷ γὰρ αὐτοῖς εἶναι 4
κρεῖττον ἃ κελεύουσι Λατῖνοι πράττειν ὡς μετριώτερα
ὄντα καὶ μηδ' εἰς πεῖραν ἐλθεῖν πολέμου, ἢ τοῖς μη-
δαμῇ μηδὲν χρησίμοις συγχωρήσαντας ἃ παρακαλοῦσιν
ἀνελεῖν τὴν πίστιν ἐκ τῆς πόλεως, ἣν ἱεροῦ κατασκευῇ

1 καὶ ante γινώσκειν del. Reiske καὶ ante γινώσκειν et verba καὶ ποιήσειν del. Bücheler 2 βοηθήσειν τε B 3 ἥ τε χάρις B 11 *τὰ ἄλλα O | τι O τε Kiessling | οὐανεκτὸν Ba οὐα<sup>κ</sup>νεκτὸν Bb 13 ἣν ἃ διὰ A ηναδιὰ Ba ἣν ἃ διὰ Bb corr. Reiske 14 ἐκγόνοις ABb ἐγγόνοις Ba 19 κινδυνεύουσι B 20 αἴσχιστα O cf. Grasberger Tess. Herb. p. 13 ἔσχατα Cobet Obs. p. 106

καὶ θυσίαις διετησίοις οἱ πατέρες αὐτῶν ἔταξαν γερ ρεσθαι, μέλλοντας σφενδονητῶν συμμαχίαν ἐπὶ ι πόλεμον προσλαμβάνειν. κεφάλαιον δὲ τῆς γνώμ ἦν αὐτῷ τόδε· τοὺς μὲν θέλοντας τῶν πολιτῶν κ νωνεῖν τῆς ἐκ τοῦ πολέμου τύχης ἐπὶ τοῖς αὐτοῖς καίοις, οἷς καὶ τῶν ἄλλων ἕκαστος, παραλαμβάν ἐπὶ τὰ πράγματα· τοὺς δὲ κατὰ συνθήκας ὁπο δήποτε ἀξιοῦντας ἀναλαμβάνειν τὰ ὅπλα περὶ πατρίδος, ὡς οὐδὲν εἰ λάβοιεν ὠφελήσοντας, χαίρ ἐᾶν. εἰ γὰρ τοῦτο μάθοιεν, εἴξειν αὐτοὺς ἔφη, παρέξειν σφᾶς αὐτοὺς τοῖς τὰ κράτιστα περὶ τοῦ κ νοῦ βουλεύουσιν εὐπειθεῖς. εἰωθέναι γὰρ ἀεί πως ἀνόητον ἅπαν, ὅταν μέν τις αὐτὸ κολακεύῃ μεγ φρονεῖν, ὅταν δὲ δεδίττηται σωφρονεῖν.

LXVIIII. Αὗται μὲν αἱ πλεῖστον ἀλλήλων δια ρουσαι γνῶμαι ἐλέχθησαν, ἕτεραι δέ τινες αἱ μεταξὺ τούτων ἔχουσαι χώραν συχναί. οἱ μὲν αὐτοὺς μόνον ἀφεῖσθαι τῶν χρεῶν τοὺς μηδὲν κεκ μένους ἠξίουν, τὰ χρήματα ποιοῦντες ἀγώγιμα τ δανεισταῖς, οὐ τὰ σώματα· οἱ δὲ τὸ δημόσιον ὑ τῶν ἀδυνάτων διαλῦσαι τὰ συμβόλαια συνεβούλευ ἵνα ἥ τε πίστις τῶν πενήτων ὑπὸ τῆς δημοσίας λαχθῇ χάριτος καὶ οἱ συμβεβληκότες αὐτοῖς μη ἀδικηθῶσιν. ἐδόκει δέ τισι καὶ τῶν ἤδη κατεχομέν

1 δὴ ταῖς ἐτησίοις ABb διταιςαιτησίοὶς Ba δημοτελέσι ἑορταῖς ἐτησίοις c. Reiske διετησίοις Kiessling 4 ἐθέλοντ 6 οἷς] ὅσοις A | ἕκαστος AB ἑκάστους c. Sintenis Em. D II 23 cf. Kiessling Pr. Bas. p. 15 9 οὐδὲ εἰ A οὐδ' ε οὐδὲν εἰ vulgo οὐδὲν οὐδ' εἰ Reiske 11 τὰ om. AB μεγάλα O μέγα c. Sintenis Em. Dion. II 34 Cobet Obs. p. cf. Observ. meas criticas p. 320 eqs 16 ἐλέ.χθησαν Bb τῶν ὑποχρέων c. Reiske

πρὸς τὰ χρέα καὶ τῶν μελλόντων ἀφαιρεθήσεσθαι τὴν ἐλευθερίαν ῥύσασθαι τὰ σώματα, ἐκ τῶν αἰχμαλώτων ἕτερα τοῖς δανεισταῖς διαμειψαμένους ὑπὲρ αὐτῶν σώματα. τοιούτων δέ τινων λεχθέντων ἡ νικῶσα ἦν
2 γνώμη, μηθὲν ἐν τῷ παρόντι γενέσθαι περὶ αὐτῶν
1013 προβούλευμα· ὅταν δὲ τὸ κράτιστον τέλος οἱ πόλεμοι λάβωσι, τότε προθεῖναι τοὺς ὑπάτους λόγον καὶ ψῆφον ἀναδοῦναι τοῖς συνέδροις· τέως δὲ μηδεμίαν εἴσπραξιν εἶναι μήτε συμβολαίου μηθενὸς μήτε καταδίκης μηδεμιᾶς, ἀφεῖσθαι δὲ καὶ τὰς ἄλλας ἀμφισβητήσεις πάσας, καὶ μήτε τὰ δικαστήρια καθίζειν μήτε τὰς ἀρχὰς διαγινώσκειν περὶ μηθενὸς ἔξω τῶν εἰς τὸν πόλεμον ἀνηκόντων.
3 τοῦτο τὸ προβούλευμα εἰς τὸν δῆμον ἐξενεχθὲν ἐμείωσε μέν τι τῆς πολιτικῆς ταραχῆς, οὐ μὴν ἅπαν γε τὸ στασιάζον ἐξεῖλεν ἐκ τῆς πόλεως. ἦσαν γάρ τινες ἐκ τοῦ θητικοῦ πλήθους, οἷς οὐκ ἐφαίνετο ἀποχρῶσα εἶναι βοήθεια ἡ παρὰ τῆς βουλῆς ἐλπὶς φανερὸν οὐδὲ βέβαιον ἔχουσα οὐδέν· ἀλλὰ δυεῖν θάτερον αὐτὴν ἠξίουν ποιεῖν, ἢ διδόναι σφίσιν ἤδη τὴν ἄφεσιν τῶν χρεῶν, εἰ βούλεται κοινωνοὺς τῶν κινδύνων ἔχειν, ἢ μὴ φενακίζειν εἰς ἑτέρους ἀναβαλλο-
1014 μένην χρόνους· οὐ γὰρ ὁμοίας εἶναι τὰς διανοίας τῶν ἀνθρώπων δεομένων τε καὶ ἀποπληρωθέντων, ὅτου ἂν δεηθῶσιν.

LXX. Ἐν τοιαύτῃ δὴ καταστάσει τῶν κοινῶν ὑπαρχόντων σκοποῦσα ἡ βουλή, δι' οὗ μάλιστα διαπράξεται τρόπου μηθὲν ἔτι νεωτερίσαι τοὺς δημοτικούς, ἔκρινε

7 προθεῖναι (σ ante θ eras.) B  8 ἀποδοῦναι O ἀναδοῦναι Kiessling  21 ἔχειν B ἕξειν R cf. Schäfer ad Dionys. de comp. verb. p. 211

τὴν μὲν ὑπατικὴν ἐξουσίαν ἀνελεῖν κατὰ τὸ παρὸν, ἑτέραν δέ τινα ἀρχὴν ἀποδεῖξαι πολέμου τε καὶ εἰρήνης καὶ παντὸς ἄλλου πράγματος κυρίαν, αὐτοκράτορα
2 καὶ ἀνυπεύθυνον, ὧν ἂν βουλεύσηται καὶ πράξῃ. χρόνου δ' εἶναι μέτρον τῇ νέᾳ ἀρχῇ μῆνας ἕξ, μετὰ δὲ τὴν ἑξάμηνον αὖθις ἄρχειν τοὺς ὑπάτους. τὰ δ' ἀναγκάσαντα αὐτὴν ἐπὶ τῷ καταλῦσαι τὸ τυραννικὸν πόλεμον αὐθαίρετον ὑπομεῖναι τυραννίδα πολλὰ μὲν καὶ ἄλλα ἦν, ὑπὲρ ἅπαντα δ' ὁ κυρωθεὶς ὑφ' ἑνὸς τῶν ὑπάτων Ποπλίου Οὐαλερίου τοῦ κληθέντος Ποπλικόλα νόμος, ὑπὲρ οὗ κατ' ἀρχὰς ἔφην, ὅτι τὰς τῶν ὑπάτων γνώμας ἀκύρους ἐποίησε, μὴ τιμωρεῖσθαι Ῥωμαίων τινὰ πρὸ δίκης, ἐπιτρέψας τοῖς ἀγομένοις ἐπὶ τὰς κολάσεις 1015
ὑπ' αὐτῶν προκαλεῖσθαι τὴν διάγνωσιν ἐπὶ τὸν δῆμον, καὶ τέως ἂν ἡ πληθὺς ἐνέγκῃ ψῆφον ὑπὲρ αὐτῶν σώμασί τε καὶ βίοις τὸ ἀσφαλὲς ἔχειν· τὸν δὲ παρὰ ταῦτά τι ποιεῖν ἐπιχειροῦντα νηποινὶ τεθνάναι
3 κελεύων. ἐλογίζετο δὴ μένοντος μὲν κυρίου τοῦ νόμου τοῦδε μηθὲν ὑπηρετήσειν ἀναγκαζομένους ταῖς ἀρχαῖς τοὺς πένητας καταφρονοῦντας ὡς εἰκὸς τῶν τιμωριῶν, ἃς οὐ παραχρῆμα ὑφέξειν ἔμελλον, ἀλλ' ὅταν ὁ δῆμος αὐτῶν καταψηφίσηται, ἀναιρεθέντος δ' αὐτοῦ κατὰ πολλὴν ἀνάγκην τὰ κελευόμενα ποιήσειν ἅπαντας. ἵνα δὲ μηθὲν ἐναντιωθεῖεν οἱ πένητες, εἴ τις αὐτὸν καταλύοι τὸν νόμον ἐκ τοῦ φανεροῦ, τὴν ἰσοτύραννον ἀρχὴν ἔκρινεν ἐπὶ τὰ πράγματα παρ-

4 πράξῃ O πράξαι c. Reiske 7 τυρ⟨ην⟩ικὸν Bb 13 ἐπιτρέψας, τοῖς δὲ c. Reiske 15 τέως ABa ἕως Bb 24 ἵνα δὴ B 25 αὐτῶν AB τὸν ὑπὲρ αὐτῶν c. Reiske αὐτὸν Kiessling | καταλύει O καταλύοι Sylburg

κγεῖν, ἢ πάντας ἔμελλεν ἕξειν ὑφ' ἑαυτῇ τοὺς νόμους.
γράφει προβούλευμα, δι' οὗ παρακρουσαμένη τοὺς 4
ɪηταρ καὶ τὸν βεβαιοῦντα τὴν ἐλευθερίαν αὐτοῖς
ιον ἀνελοῦσα ἔλαθεν. ἦν δὲ τὸ προβούλευμα τοιόνδε·
ρκιον μὲν καὶ Κλοίλιον τοὺς τότε ὑπατεύοντας ἀπο-
σθαι τὴν ἐξουσίαν, καὶ εἴ τις ἄλλος ἀρχήν τινα
εν ἢ πραγμάτων τινῶν κοινῶν ἐπιμέλειαν· ἕνα δ'
δρα, ὃν ἂν ἥ τε βουλὴ προέληται καὶ ὁ δῆμος ἐπι-
φίσῃ, τὴν ἁπάντων ἐξουσίαν παραλαβόντα ἄρχειν
πλείονα χρόνον ἑξαμήνου, κρείττονα ἐξουσίαν ἔχοντα
ν ὑπάτων. τοῦτ' ἀγνοήσαντες, ἣν ἔχει δύναμιν, οἱ 5
μοτικοὶ ψηφίζονται κύρια εἶναι τὰ δόξαντα τῇ βουλῇ·
δ' ἄρα ἡ κρείττων ἀρχὴ τῆς κατὰ ⟨τοὺς⟩ νόμους
ραννίς· τήν τε αἵρεσιν τοῦ μέλλοντος ἄρχειν τοῖς
τοῦ συνεδρίου συνεχώρησαν αὐτοῖς ἐφ' ἑαυτῶν βου-
ομένοις ποιήσασθαι.

LXXI. Μετὰ τοῦτο πολλὴ ζήτησις ἐνέπιπτε τοῖς
οεστηκόσι τῆς βουλῆς καὶ πρόνοια περὶ τοῦ παρα-
ψομένου τὴν ἡγεμονίαν. ἐδόκει γὰρ αὐτοῖς δρα-
ηρίου τ' ἀνδρὸς εἰς τὰ πράγματα δεῖν καὶ πολλὴν
ν πολεμικῶν ἀγώνων ἐμπειρίαν ἔχοντος, πρὸς δὲ
ύτοις φρονίμου τε καὶ σώφρονος καὶ μηδὲν ὑπὸ τοῦ
γέθους τῆς ἐξουσίας ἐπὶ τὸ ἀνόητον παραχθησομέ-
ν· ὑπὲρ ἅπαντα δὲ ταῦτα καὶ τἆλλα ὅσα δεῖ προσ-
ɪαι στρατηλάταις ἀγαθοῖς ἄρχειν ἐγκρατῶς εἰδότος
ὶ μηθὲν μαλακὸν ἐνδώσοντος τοῖς ἀπειθοῦσιν, οὐ
λιστα ἐν τῷ παρόντι ἐδέοντο. ἅπαντα δ' ὁρῶντες 2

7 τινῶν add. B 8 post δῆμος lacuna 8—9 litt. in ras. A
ιψηφίσεται A ἐπιψηφίσῃ B 13 κατὰ νόμους O κατὰ τοὺς
μους Reiske 14 τυραννίδος O τυραννίς Kiessling

τὴν μὲν ὑπατικὴν ἐξουσίαν ἀνελεῖν κατὰ τὸ παρόν,
ἑτέραν δέ τινα ἀρχὴν ἀποδεῖξαι πολέμου τε καὶ εἰρή-
νης καὶ παντὸς ἄλλου πράγματος κυρίαν, αὐτοκράτορα
2 καὶ ἀνυπεύθυνον, ὧν ἂν βουλεύσηται καὶ πράξῃ. χρό-
νου δ' εἶναι μέτρον τῇ νέᾳ ἀρχῇ μῆνας ἕξ, μετὰ δὲ
τὴν ἑξάμηνον αὖθις ἄρχειν τοὺς ὑπάτους. τὰ δ' ἀναγκά-
σαντα αὐτὴν ἐπὶ τῷ καταλῦσαι τὸ τυραννικὸν πόλεμον
αὐθαίρετον ὑπομεῖναι τυραννίδα πολλὰ μὲν καὶ ἄλλα
ἦν, ὑπὲρ ἅπαντα δ' ὁ κυρωθεὶς ὑφ' ἑνὸς τῶν ὑπάτων
Ποπλίου Οὐαλερίου τοῦ κληθέντος Ποπλικόλα νόμος,
ὑπὲρ οὗ κατ' ἀρχὰς ἔφην, ὅτι τὰς τῶν ὑπάτων γνώμας
ἀκύρους ἐποίησε, μὴ τιμωρεῖσθαι Ῥωμαίων τινὰ πρὸ
δίκης, ἐπιτρέψας τοῖς ἀγομένοις ἐπὶ τὰς κολάσεις 1015
ὑπ' αὐτῶν προκαλεῖσθαι τὴν διάγνωσιν ἐπὶ τὸν δῆ-
μον, καὶ τέως ἂν ἡ πληθὺς ἐνέγκῃ ψῆφον ὑπὲρ
αὐτῶν σώμασί τε καὶ βίοις τὸ ἀσφαλὲς ἔχειν· τὸν δὲ
παρὰ ταῦτά τι ποιεῖν ἐπιχειροῦντα νηποινὶ τεθνάναι
3 κελεύων. ἐλογίζετο δὴ μένοντος μὲν κυρίου τοῦ νό-
μου τοῦδε μηθὲν ὑπηρετήσειν ἀναγκαζομένους ταῖς
ἀρχαῖς τοὺς πένητας καταφρονοῦντας ὡς εἰκὸς τῶν
τιμωριῶν, ἃς οὐ παραχρῆμα ὑφέξειν ἔμελλον, ἀλλ'
ὅταν ὁ δῆμος αὐτῶν καταψηφίσηται, ἀναιρεθέντος δ'
αὐτοῦ κατὰ πολλὴν ἀνάγκην τὰ κελευόμενα ποιήσειν
ἅπαντας. ἵνα δὲ μηθὲν ἐναντιωθεῖεν οἱ πένητες, εἴ
τις αὐτὸν καταλύοι τὸν νόμον ἐκ τοῦ φανεροῦ, τὴν
ἰσοτύραννον ἀρχὴν ἔκρινεν ἐπὶ τὰ πράγματα καθ-

4 πράξῃ O πράξαι c. Reiske 7 τυρ⟨ην⟩ικὸν Bb 13
ἐπιτρέψας, τοῖς δὲ c. Reiske 15 τέως ABa ἕως Bb 24
ἵνα δὴ B 25 αὐτῶν AB τὸν ὑπὲρ αὐτῶν c. Reiske αὐτὸν
Kiessling | καταλύει O καταλύοι Sylburg

χγεῖν, ἢ πάντας ἔμελλεν ἕξειν ὑφ' ἑαυτῇ τοὺς νόμους.
γράφει προβούλευμα, δι' οὗ παρακρουσαμένη τοὺς 4
ηντας καὶ τὸν βεβαιοῦντα τὴν ἐλευθερίαν αὐτοῖς
ιον ἀνελοῦσα ἔλαθεν. ἦν δὲ τὸ προβούλευμα τοιόνδε·
ρκιον μὲν καὶ Κλοίλιον τοὺς τότε ὑπατεύοντας ἀπο-
σθαι τὴν ἐξουσίαν, καὶ εἴ τις ἄλλος ἀρχήν τινα
εν ἢ πραγμάτων τινῶν κοινῶν ἐπιμέλειαν· ἕνα δ'
ρα, ὃν ἂν ἥ τε βουλὴ προέληται καὶ ὁ δῆμος ἐπι-
φίσῃ, τὴν ἁπάντων ἐξουσίαν παραλαβόντα ἄρχειν
πλείονα χρόνον ἑξαμήνου, κρείττονα ἐξουσίαν ἔχοντα
ν ὑπάτων. τοῦτ' ἀγνοήσαντες, ἣν ἔχει δύναμιν, οἱ 5
μοτικοὶ ψηφίζονται κύρια εἶναι τὰ δόξαντα τῇ βουλῇ·
δ' ἄρα ἡ κρείττων ἀρχὴ τῆς κατὰ ⟨τοὺς⟩ νόμους
ραννίς· τήν τε αἵρεσιν τοῦ μέλλοντος ἄρχειν τοῖς
τοῦ συνεδρίου συνεχώρησαν αὐτοῖς ἐφ' ἑαυτῶν βου-
λομένοις ποιήσασθαι.

LXXI. Μετὰ τοῦτο πολλὴ ζήτησις ἐνέπιπτε τοῖς
οεστηκόσι τῆς βουλῆς καὶ πρόνοια περὶ τοῦ παρα-
ψομένου τὴν ἡγεμονίαν. ἐδόκει γὰρ αὐτοῖς δρα-
ηρίου τ' ἀνδρὸς εἰς τὰ πράγματα δεῖν καὶ πολλὴν
ν πολεμικῶν ἀγώνων ἐμπειρίαν ἔχοντος, πρὸς δὲ
ύτοις φρονίμου τε καὶ σώφρονος καὶ μηδὲν ὑπὸ τοῦ
γέθους τῆς ἐξουσίας ἐπὶ τὸ ἀνόητον παραχθησομέ-
ν· ὑπὲρ ἅπαντα δὲ ταῦτα καὶ τἆλλα ὅσα δεῖ προσ-
ιαι στρατηλάταις ἀγαθοῖς ἄρχειν ἐγκρατῶς εἰδότος
ὶ μηθὲν μαλακὸν ἐνδώσοντος τοῖς ἀπειθοῦσιν, οὐχ
λιστα ἐν τῷ παρόντι ἐδέοντο. ἅπαντα δ' ὁρῶντες 2

7 τινῶν add. B 8 post δῆμος lacuna 8—9 litt. in ras. A
ιψηφίσεται A ἐπιψηφίσῃ B 13 κατὰ νόμους O κατὰ τοὺς
μους Reiske 14 τυραννίδος O τυραννίς Kiessling

ὅσα ἠξίουν περὶ τὸν ἕτερον ὑπάρχοντα τῶν ὑπάτων Τῖτον Λάρκιον· ὁ γὰρ Κλοίλιος ἐν ταῖς πολιτικαῖς χρείαις διάφορος ὢν τὸ δραστήριον καὶ φιλοπόλεμον οὐκ εἶχεν, οὐδέ γε τὸ ἀρχικὸν καὶ φοβερόν, ἀλλ' ἐπιεικὴς τιμωρὸς ἦν τῶν ἀπειθούντων· ἡ δὲ βουλὴ δι' αἰσχύνης ἐλάμβανον τοῦ μὲν ἀφελέσθαι τὴν ἀρχήν, ἣν κατὰ τοὺς νόμους εἶχε, τῷ δὲ χαρίσασθαι τὴν ἀμφοτέρων ἐξουσίαν, μείζονα βασιλικοῦ σχήματος γινομένην· καί τι καὶ δέος αὐτὴν ὑπῄει, μὴ βαρεῖαν ὁ Κλοίλιος ἡγησάμενος τὴν ἀπαξίωσιν τῆς ἀρχῆς ὡς ἠτιμασμένος ὑπὸ τῆς βουλῆς ἔπειτα μεταθῆται τὴν προαίρεσιν τοῦ βίου τοῦ δήμου γενόμενος προστάτης καὶ πάντα ἀνατρέψῃ τὰ κοινά. αἰδουμένων δ' ἁπάντων, ἃ φρονοῦντες ἐτύγχανον, εἰς μέσον ἐκφέρειν καὶ μέχρι πολλοῦ τοῦτο ποιούντων ὁ πρεσβύτατός τε καὶ τιμιώτατος τῶν ὑπατικῶν γνώμην ἀπεδείξατο, δι' ἧς ἀμφοτέρους ἐν ἴσῃ τιμῇ τοὺς ὑπάτους φυλάξας παρ' αὐτῶν ἐκείνων τὸν ἐπιτηδειότερον ἄρχειν εὕρετο· ἔφη γὰρ αὐτῷ δοκεῖν, ἐπειδὴ τὸ μὲν τῆς ἀρχῆς κράτος ἥ τε βουλὴ διέγνωκε καὶ ὁ δῆμος ἐπεψήφικεν ἑνὶ δοθῆναι, δύο δὲ καταλείπεται βουλῆς καὶ φροντίδος οὐ μικρᾶς δεόμενα, τίς ὁ παραληψόμενος τὴν ἰσοτύραννον ἀρχὴν ἔσται καὶ ὑπὸ τίνος ἀποδειχθεὶς ἐξουσίας νομίμου, ἐκ τῶν τότε ὄντων ὑπάτων τὸν ἕτερον, εἴτε παραχω-

3 ἀρεταῖς O χρείαις Kiessling 5 ἡ δὲ βουλή, quae verba add. Bb, uncis inclusit Kiessling et v. 6 ἐλάμβανον scripsit ἐλάμβανε O 8 βασιλικῷ σχήματι O corr. Stephanus 9 δέους c. Pflugk | αὐτὴν A αὐτοὺς B 12 προαίρεσιν τοῦ δήμου A προαίρεσιν τοῦ βίου δήμου B | γινόμενος c. Hertlein Hermes X p. 414 18 εὕροτο A εὕρατο B εὕρετο C εὕροντο D 19 αὐτῷ AB

σαντος τοῦ συνάρχοντος, εἴτε κλήρῳ λαχόντα, ἑλέθαι Ῥωμαίων ὃν ὑπολαμβάνει κράτιστα καὶ συμφοώτατα ⟨τὰ⟩ τῆς πόλεως ἐπιτροπεύσειν. μεσοβασιλέων αὐτοῖς μηθὲν ἐν τῷ παρόντι δεῖν, οὓς ἐν ταῖς ναρχίαις ἀποδείκνυσθαι μονογνώμονας τῶν μελλόνων ἄρξειν ἔθος ἦν, ἐχούσης τῆς πόλεως τὴν ὅσιον χήν.

LXXII. Ἐπαινεσάντων δὲ τὴν γνώμην ἁπάντων τὰ τοῦτον ἀναστὰς ἕτερος εἶπεν· Ἐμοὶ δ', ὦ βουλή, κεῖ καὶ τοῦτ' ἔτι προστεθῆναι τῇ γνώμῃ, δυεῖν ἀνῶν κρατίστων εἰς τόδε χρόνου τὰ κοινὰ διοικούνων, ὧν οὐκ ἂν εὕροιτε ἀμείνους, τὸν μὲν ἕτερον τῶν κύριον ἀποδειχθῆναι τῆς ἀναρρήσεως, τὸν δ' ερον ὑπὸ τοῦ συνάρχοντος αἱρεθῆναι διαγνόντων τῶν ἐν ἀλλήλοις τὸν ἐπιτηδειότερον· ἵνα αὐτοῖς ριγένηται σὺν τῷ τιμίῳ καὶ τὸ χαῖρον ἴσον, τῷ μὲν ι τὸν συνάρχοντα κράτιστον ἀπέφηνε, τῷ δ' ὅτι ὸς τοῦ συνάρχοντος ἄριστος ἐκρίθη· ἡδὺ γὰρ καὶ λὸν ἑκάτερον. οἶδα μὲν οὖν, ὅτι καὶ μὴ προστεθένς τῇ γνώμῃ τοῦδε τοῦ μέρους, αὐτοῖς ἂν ἐφάνη τοῖς δράσιν οὕτως ποιεῖν· κρεῖττον δὲ τὸ μηδ' ὑμῶν ρόν τι βουλομένων. ἐδόκει καὶ τοῦτο κατὰ νοῦν 2
ασιν εἰρῆσθαι· καὶ οὐθενὸς ἔτι τῇ γνώμῃ προστεντος ἐπικυροῦται τὸ δόγμα. ὡς δὲ παρέλαβον τὴν υσίαν οἱ ὕπατοι τοῦ διαγνῶναι, πότερος ἐξ αὐτῶν χειν ἐστὶν ἐπιτηδειότερος, θαυμαστόν τι καὶ παρὰ σας τὰς ἀνθρωπίνας ὑπολήψεις πρᾶγμα ἐποίουν. οὐ ρ ἑαυτὸν ἑκάτερος ἄξιον ἀπέφαινε τῆς ἡγεμονίας,

3 τὰ add. Reiske 5 μονογνώμονας] γνώμονας B αὐτογνώμονας c. Kiessling 26 ἄρχειν . ἐστὶν B 28 ἡγεμον⟨ι⟩ας B

ἀλλὰ τὸν ἕτερον· καὶ κατέτριψαν ὅλην τὴν ἡμέραν ἐκείνην τὰς ἀλλήλων ἀρετὰς ἐξαριθμούμενοι καὶ λιπαροῦντες μὴ λαβεῖν αὐτοὶ τὴν ἀρχήν, ὥστε ἐν πολλῇ γενέσθαι τοὺς ἐν τῷ συνεδρίῳ παρόντας ἀμηχανίᾳ.
3 διαλυθείσης δὲ τῆς βουλῆς οἱ προσήκοντες κατὰ γένος ἑκατέρῳ, καὶ τῶν ἄλλων βουλευτῶν οἱ ἐντιμότατοι πρὸς τὸν Λάρκιον ἀφικόμενοι πολλὰς ἐποιοῦντο τοῦ ἀνδρὸς ἄχρι πολλῆς νυκτὸς δεήσεις διδάσκοντες, ὡς ἐν ἐκείνῳ τὰς ἐλπίδας ἡ βουλὴ τέθειται πάσας, καὶ τὸ ἀσπούδαστον αὐτοῦ περὶ τὴν ἀρχὴν πονηρὸν εἶναι τῷ κοινῷ λέγοντες. ὁ δ' ἦν ἀτενὴς καὶ πολλὰ ἐν μέρει δεόμενός τε καὶ ἀντιβολῶν ἕκαστον διετέλει. τῇ δ' ἑξῆς ἡμέρᾳ πάλιν τοῦ συνεδρίου συναχθέντος, ἐπειδὴ καὶ τότε διεμάχετο καὶ πειθόμενος ὑπὸ πάντων οὐκ ἀφίστατο τῆς γνώμης, ἀναστὰς ὁ Κλοίλιος ἀναγορεύει τ' αὐτόν, ὥσπερ εἰώθεσαν ποιεῖν οἱ μεσοβασιλεῖς, καὶ τὴν ὑπατείαν αὐτὸς ἐξόμνυται.

LXXIII. Οὗτος πρῶτος ἐν Ῥώμῃ μόναρχος ἀπεδείχθη πολέμου τε καὶ εἰρήνης καὶ παντὸς ἄλλου πράγματος αὐτοκράτωρ. ὄνομα δ' αὐτῷ τίθενται δικτάτορα, εἴτε διὰ τὴν ἐξουσίαν τοῦ κελεύειν, ὅτι θέλοι, καὶ τάττειν τὰ δίκαιά τε καὶ τὰ καλὰ τοῖς ἄλλοις, ὡς ἂν αὐτῷ δοκῇ· τὰ γὰρ ἐπιτάγματα καὶ τὰς διαγραφὰς τῶν δικαίων τε καὶ ἀδίκων ἠδίκτα οἱ Ῥωμαῖοι καλοῦσιν· εἴτε ὥς τινες γράφουσι διὰ τὴν τότε γενομένην ἀνάρρησιν, ἐπειδὴ οὐ παρὰ τοῦ δήμου τὴν ἀρχὴν εὑρόμενος κατὰ τοὺς πατρίους ἐθισμοὺς ἕξειν ἔμελλεν,

7 πρὸς O ὡς c. Kiessling 8 πολλῆς add. B 21 θέλει c. Bücheler 22 καὶ διαγράφειν τὰ δίκαιά τε καὶ τὰ ἄδικα: τοῖς ἄλλοις c. Schnelle Exerc. p. 9

ἀλλ' ὑπ' ἀνδρὸς ἀποδειχθεὶς ἑνός. οὐ γὰρ ᾤοντο δεῖν 2
ἐπίφθονον ὄνομα καὶ βαρὺ θέσθαι τινὶ ἀρχῇ πόλιν
ἐλευθέραν ἐπιτροπευούσῃ, τῶν τε ἀρχομένων ἕνεκα,
22 ἵνα μηθὲν ἐπὶ ταῖς μισουμέναις προσηγορίαις ἐκταράττωνται, καὶ τῶν παραλαμβανόντων τὰς ἀρχὰς προνοίᾳ,
μή τι λάθωσιν ἢ παθόντες ὑφ' ἑτέρων πλημμελὲς ἢ
δράσαντες αὐτοὶ τοὺς πέλας, ὧν φέρουσιν αἱ τοιαῦται
δυναστεῖαι· ἐπεὶ τό γε τῆς ἐξουσίας μέγεθος, ἧς ὁ
δικτάτωρ ἔχει, ἥκιστα δηλοῦται ὑπὸ τοῦ ὀνόματος·
ἔστι γὰρ αἱρετὴ τυραννὶς ἡ δικτατορία. δοκοῦσι δέ 3
μοι καὶ τοῦτο παρ' Ἑλλήνων οἱ Ῥωμαῖοι τὸ πολίτευμα
λαβεῖν. οἱ γὰρ Αἰσυμνῆται καλούμενοι παρ' Ἕλλησι
τὸ ἀρχαῖον, ὡς ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ Θεόφραστος, αἱρετοί τινες ἦσαν τύραννοι· ᾑροῦντο δ' αὐ-
123 τοὺς αἱ πόλεις οὔτ' εἰς ὁριστὸν χρόνον οὔτε συνεχῶς,
ἀλλὰ πρὸς τοὺς καιρούς, ὁπότε δόξειε συμφέρειν, καὶ
εἰς ὁποσονοῦν χρόνον· ὥσπερ καὶ Μιτυληναῖοί ποθ'
εἵλοντο Πιττακὸν πρὸς τοὺς φυγάδας τοὺς περὶ Ἀλκαῖον τὸν ποιητήν.

LXXIIII. Ἦλθον δ' ἐπὶ τοῦτο οἱ πρῶτοι διδαχθέντες τῇ πείρᾳ τὸ χρήσιμον. κατ' ἀρχὰς μὲν γὰρ ἅπασα
1024 πόλις Ἑλλὰς ἐβασιλεύετο, πλὴν οὐχ ὥσπερ τὰ βάρβαρα
ἔθνη δεσποτικῶς, ἀλλὰ κατὰ νόμους τινὰς καὶ ἐθισμοὺς
πατρίους· καὶ κράτιστος ἦν βασιλεὺς ὁ δικαιότατός τε
καὶ νομιμώτατος καὶ μηθὲν ἐκδιαιτώμενος τῶν πατρίων. δηλοῖ δὲ καὶ Ὅμηρος δικασπόλους τε καλῶν 2

10 αἱρετὴ] ἀρετὴ Ba 15 εἰς ἀόριστον χρόνον O εἰς ὁριστὸν χρόνον Cobet Obs. p. 107 17 εἰς ὁπόσον χρόνον O εἰς ὁποσονοῦν χρόνον Cobet l. l. 23 ⟨ἐ⟩θισμὸν B 26 δικασ πολλοὺς Ba

τοὺς βασιλεῖς καὶ θεμιστοπόλους. καὶ μέχρι πολλοὶ
διέμενον ἐπὶ ῥητοῖς τισιν αἱ βασιλεῖαι διοικούμεναι
καθάπερ ἡ Λακεδαιμονίων· ἀρξαμένων δέ τινων ἐ-
ταῖς ἐξουσίαις πλημμελεῖν καὶ νόμοις μὲν ὀλίγα χρω
μένων, ταῖς δ' ἑαυτῶν γνώμαις τὰ πολλὰ διοικούντων
δυσχεράναντες ὅλον τὸ πρᾶγμα οἱ πολλοὶ κατέλυσα
μὲν τὰ βασιλικὰ πολιτεύματα, νόμους δὲ καταστησά
μενοι καὶ ἀρχὰς ἀποδείξαντες, ταύταις ἐχρῶντο τῶν
3 πόλεων φυλακαῖς. ἐπεὶ δ' οὐκ αὐτάρκεις ἦσαν οὔτε
οἱ τεθέντες ὑπ' αὐτῶν νόμοι βεβαιοῦν τὸ δίκαιον οὔτε
οἱ τὰς ἀρχὰς καὶ τὰς ἐπιμελείας αὐτῶν λαμβάνοντε
βοηθεῖν τοῖς νόμοις, οἵ τε καιροὶ πολλὰ νεοχμοῦντε
οὐ τὰ κράτιστα τῶν πολιτευμάτων, ἀλλὰ τὰ πρεπω
δέστατα ταῖς καταλαμβανούσαις αὐτοὺς συντυχίαι
ἠνάγκαζον αἱρεῖσθαι, οὐ μόνον ἐν ταῖς ἀβουλήτοι
συμφοραῖς, ἀλλὰ κἀν ταῖς ὑπερβαλλούσαις τὸ μέτριο
εὐτυχίαις, διαφθειρομένων δι' αὐτὰς τῶν πολιτικῶ
κόσμων, οἷς ἐπανορθώσεως ταχείας καὶ αὐτογνώμονο
ἔδει, ἠναγκάζοντο παράγειν πάλιν τὰς βασιλικὰς κα
τυραννικὰς ἐξουσίας εἰς μέσον, ὀνόμασι περικαλύπτοι
τες αὐτὰς εὐπρεπεστέροις, Θετταλοὶ μὲν ἀρχούς, Λακε
δαιμόνιοι δ' ἁρμοστὰς καλοῦντες, φοβούμενοι τυράν
νους ἢ βασιλεῖς αὐτοὺς καλεῖν, ὡς οὐδ' ὅσιον σφίσι
ὑπάρχον, ἃς κατέλυσαν ἐξουσίας ὅρκοις καὶ ἀραῖς ἐπι

1 θεμιστο πολλοὺς Ba 5 δὲ αὐτῶν O 7 τὰς βασιλεία καὶ τὸ πολίτευμα A(?) τὰ βασιλεικα πολιτεύματα Ba τὰ βασι λικὰ π. Bb 15 verba inde ab ἠνάγκαζον usque ad εὐτυχίαι om. Ba add. Bb in mge superscript. κείμενον 16 κἀν καὶ B | μέτρον c. Reiske 17 δι' αὐτὰς ABa δὲ αὐτὰς Bl 19 ἀρ⟨αις⟩ Bb 21 ἀρχοὺς O ταγοὺς Bücheler Stephan auctore

θεσπισάντων θεῶν, ταύτας πάλιν ἐμπεδοῦν. ἐμοὶ μὲν 4
δὴ παρὰ τῶν Ἑλλήνων δοκοῦσι Ῥωμαῖοι τὸ παράδειγμα λαβεῖν, ὥσπερ ἔφην, Λικίννιος δὲ παρ' Ἀλβανῶν οἴεται τὸν δικτάτορα Ῥωμαίους εἰληφέναι, τούτους λέγων πρώτους μετὰ τὸν Ἀμολίου καὶ Νεμέτορος θάνατον ἐκλιπούσης τῆς βασιλικῆς συγγενείας ἐνιαυσίους ἄρχοντας ἀποδεῖξαι τὴν αὐτὴν ἔχοντας ἐξουσίαν τοῖς βασιλεῦσι, καλεῖν δ' αὐτοὺς δικτάτορας· ἐγὼ δ' οὐ τοὔνομα ζητεῖν ἠξίουν, πόθεν ἡ Ῥωμαίων πόλις ἔλαβεν, ἀλλὰ τὸ τῆς ἐξουσίας τῆς περιλαμβανομένης τῷ
1027 ὀνόματι παράδειγμα. ἀλλ' ὑπὲρ μὲν τούτων οὐθὲν ἂν εἴη τάχα προὔργου τὰ πλείω γράφειν.

LXXV. Ὃν δὲ τρόπον ὁ Λάρκιος ἐχρήσατο τοῖς πράγμασι δικτάτωρ πρῶτος ἀποδειχθεὶς καὶ κόσμον, οἷον περιέθηκε τῇ ἀρχῇ, συντόμως πειράσομαι διεξελθεῖν, ταῦτα ἡγούμενος εἶναι χρησιμώτατα τοῖς ἀναγνωσομένοις, ἃ πολλὴν εὐπορίαν παρέξει καλῶν καὶ συμφερόντων παραδειγμάτων νομοθέταις τε καὶ δημαγωγοῖς καὶ τοῖς ἄλλοις ἅπασι τοῖς πολιτεύεσθαί τε καὶ τὰ κοινὰ πράττειν βουλομένοις. οὐ γὰρ ἀζήλου καὶ ταπεινῆς πόλεως πολιτεύματα καὶ βίους οὐδὲ ἀνωνύμων καὶ ἀπερριμμένων ἀνθρώπων βουλεύματα καὶ πράξεις μέλλω διηγεῖσθαι, ὥστε ὄχλον ἄν τινι καὶ φλυαρίαν φανῆναι τὴν περὶ τὰ μικρὰ καὶ φαῦλα ἡμῶν σπουδήν· ἀλλ' ὑπὲρ τῆς ἅπασι τὰ καλὰ καὶ δίκαια ὁριζούσης πόλεως καὶ περὶ τῶν εἰς τοῦτο καταστησαμένων αὐτὴν τὸ ἀξίωμα ἡγεμόνων, ἅ τις ἂν σπουδάσειε μὴ ἀγνοεῖν

3 Λικίνιος AB 5 πρώτους] πρὸς τοὺς B 11 τούτου O praeter B 19 τε om. B 23 τινὶ ABb τινεὶ Ba | ὄχλον] λῆρον vel ὕθλον c. Hertlein Hermes X p. 414 27 ἅ τις οὐκ ἂν σπουδάσειε c. Reiske

2 φιλόσοφος καὶ πολιτικὸς ἀνήρ, συγγράφω. εὐθὺς μὲ
οὖν ἅμα τῷ παραλαβεῖν τὴν ἐξουσίαν, ἱππάρχην ἀπο
δείκνυσι Σπόριον Κάσσιον, τὸν ὑπατεύσαντα κατὰ τὴ
ἑβδομηκοστὴν ὀλυμπιάδα. τοῦτο τὸ ἔθος ἕως τῆς κατ
ἐμὲ γενεᾶς ἐφυλάττετο ὑπὸ Ῥωμαίων, καὶ οὐθεὶς εἰ
τόδε χρόνου δικτάτωρ αἱρεθεὶς χωρὶς ἱππάρχου τὴ
ἀρχὴν διετέλεσεν. ἔπειτα τῆς ἐξουσίας τὸ κράτος ἐπι
δεῖξαι βουληθεὶς ὅσον ἐστί, καταπλήξεως μᾶλλον ἢ χρή
σεως ἕνεκα τοῖς ῥαβδούχοις ἐκέλευσεν ἅμα ταῖς δεσμαῖ
τῶν ῥάβδων τοὺς πελέκεις διὰ τῆς πόλεως φέρειν
ἔθος ἐπιχώριον μὲν τοῖς βασιλεῦσιν, ἐκλειφθὲν δ' ὑπ
τῶν ὑπάτων, ἐξ οὗ Οὐαλέριος Ποπλικόλας ὁ πρῶτο
ὑπατεύσας ἐμείωσε τὸν φθόνον τῆς ἀρχῆς, αὐτὸς ἀνα
3 νεωσάμενος. καταπληξάμενος δὲ τούτῳ τε καὶ τοῖ
ἄλλοις συμβόλοις τῆς βασιλικῆς ἡγεμονίας τοὺς ταρακτι
κοὺς καὶ νεωτεριστάς, τὸ κράτιστον τῶν ὑπὸ Σερουΐο
Τυλλίου τοῦ δημοτικωτάτου βασιλέως κατασταθέντων
νομίμων, πρῶτον ἐπέταξε ποιῆσαι Ῥωμαίοις ἅπασι
τιμήσεις κατὰ φυλὰς τῶν βίων ἐνεγκεῖν, προσγράφον
τας γυναικῶν τε καὶ παίδων ὀνόματα καὶ ἡλικίας ἑαυ
4 τῶν τε καὶ τέκνων. ἐν ὀλίγῳ δὲ χρόνῳ πάντων τιμη
σαμένων διὰ τὸ μέγεθος τῆς τιμωρίας· τήν τε γὰ
οὐσίαν ἀπολέσαι τοὺς ἀπειθήσαντας ἔδει καὶ τὴν πολι
τείαν· ἑπτακοσίοις πλείους εὑρέθησαν οἱ ἐν ἥβῃ Ῥω
μαῖοι πεντεκαίδεκα μυριάδων. μετὰ τοῦτο διακρίνα
τοὺς ἔχοντας τὴν στρατεύσιμον ἡλικίαν ἀπὸ τῶν πρε

1 ἀνὴρ δειχθήσεται A ἀνὴρ συγγράφω B συγγράφω delet Smit post ἀνὴρ signo interrogandi posito Obs. p. 14 12 τὸ πρῶτον c. Garrer Obs. p. 52 13 αὐτὸς ἀν⟨ανε⟩ωσάμενος Bü αὖθις c. Bücheler οὕτως dubitanter Kiessling

σβυτέρων καὶ καταχωρίσας εἰς λόχους, διένειμε πεζούς
τε καὶ ἱππεῖς εἰς τέτταρας μοίρας· ὧν μίαν μὲν τὴν
κρατίστην περὶ αὐτὸν εἶχεν, ἐκ δὲ τῶν ὑπολειπομένων
Κλοίλιον ἐκέλευσε τὸν συνύπατον ἣν αὐτὸς ἐβούλετο
λαβεῖν, τὴν δὲ τρίτην Σπόριον Κάσσιον τὸν ἱππάρχην,
τὴν δὲ καταλειπομένην τὸν ἀδελφὸν Σπόριον Λάρκιον·
αὕτη φρουρεῖν τὴν πόλιν ἐτάχθη σὺν τοῖς πρεσβυτέ-
ροις ἐντὸς τείχους μένουσα.

LXXVI. Ὡς δ' ἦν αὐτῷ πάντα τὰ εἰς τὸν πόλεμον
ἐπιτήδεια εὐτρεπῆ, προήγαγε τὰς δυνάμεις εἰς ὕπαι-
θρον, καὶ τίθεται στρατόπεδα τρία καθ' οὓς μάλιστα
ὑπελάμβανε τόπους ποιήσεσθαι τοὺς Λατίνους τὴν
ἔφοδον. ἐνθυμούμενος δ', ὅτι φρονίμων στρατηγῶν
ἐστιν, οὐ μόνον τὰ ἑαυτῶν πράγματα ποιεῖν ἰσχυρά,
ἀλλὰ καὶ τὰ τῶν πολεμίων ἀσθενῆ, καὶ μάλιστα μὲν
ἄνευ μάχης καὶ πόνου καταλύεσθαι τοὺς πολέμους, εἰ
δὲ μή γε σὺν ἐλαχίστῃ τοῦ στρατιωτικοῦ πλήθους δα-
1031 πάνῃ, πολέμων θ' ἁπάντων κακίστους ἡγούμενος καὶ
πλεῖστα τὰ λυπηρὰ ἔχοντας, οὓς πρὸς συγγενεῖς καὶ
φίλους ἀναγκαζόμενοί τινες ἀναιροῦνται, ἐπιεικεστέρων
μᾶλλον ἢ δικαιοτέρων ᾤετο δεῖν αὐτοῖς διαλύσεων.
κρύφα τε δὴ πέμπων πρὸς τοὺς ἐπιφανεστάτους τῶν 2
Λατίνων ἀνυπόπτους τινὰς ἔπειθε φιλίαν πράττειν
ταῖς πόλεσι, καὶ ἐκ τοῦ φανεροῦ πρεσβευόμενος κατὰ
πόλεις τε καὶ πρὸς τὸ κοινὸν οὐ χαλεπῶς ἐξειργάσατο
μηκέτι τὴν αὐτὴν ἅπαντας ὁρμὴν ἔχειν πρὸς τὸν πό-
λεμον· μάλιστα δ' αὐτοὺς ἐξεθεράπευσε καὶ διαστῆναι
πρὸς τοὺς ἡγεμόνας ἐποίησε διὰ τοιαύτης εὐεργεσίας.

14 μὴ μόνον B  17 δαπάνῃ] δρεπάνῃ A  18 τε ἁπάντων O  19 τὰ om. P  22 τῶν add. B

; γὰρ τὴν αὐτοκράτορα παρειληφότες τῶν Λατίνων ͅρατηγίαν, Μαμίλιός τε καὶ Σέξτος ἐν Τύσκλῳ πόλει ὶς δυνάμεις συνέχοντες, παρεσκευάζοντο μὲν ὡς ἐλάοντες ἐπὶ τὴν Ῥώμην, ἐδαπάνων δὲ πολὺν εἰς τὸ έλλειν χρόνον, εἴτε τὰς ὑστεριζούσας ἀναμένοντες όλεις, εἴτε τῶν ἱερῶν αὐτοῖς οὐ γινομένων καλῶν. ν τούτῳ δὴ τῷ χρόνῳ τινὲς ἀποσκιδνάμενοι τοῦ στραοπέδου τὴν χώραν τῶν Ῥωμαίων ἐπόρθουν. τοῦτο αθὼν ὁ Λάρκιος ἀποστέλλει τὸν Κλοίλιον ἐπ' αὐτοὺς γοντα τῶν ἱππέων τε καὶ ψιλῶν τοὺς ἀνδρειοτάτους. ς ἐπιφανεὶς αὐτοῖς ἀπροσδόκητος ὀλίγους μέν τινας ποκτείνει μαχόμενος, τοὺς δὲ λοιποὺς αἰχμαλώτους αμβάνει. τούτους ὁ Λάρκιος ἐκ τῶν τραυμάτων ἀνααβὼν καὶ ταῖς ἄλλαις ἐκθεραπεύσας φιλανθρωπίαις πέστειλεν εἰς Τύσκλον ἀθρόους ἄνευ λύτρων, πρεβευτὰς σὺν αὐτοῖς πέμψας Ῥωμαίων τοὺς ἐντιμοτάους. οὗτοι διεπράξαντο διαλυθῆναι τὸ στράτευμα ῶν Λατίνων καὶ γενέσθαι ταῖς πόλεσιν ἐνιαυσίους νοχάς.

LXXVII. Ταῦτα διαπραξάμενος ὁ ἀνὴρ ἀπῆγε τὰς υνάμεις ἐκ τῆς ὑπαίθρου καὶ πρὶν ἢ πάντα τὸν τῆς ξουσίας ἐκπληρῶσαι χρόνον ὑπάτους ἀποδείξας ἀπέ- ετο τὴν ἀρχὴν οὔτ' ἀποκτείνας οὐθένα Ῥωμαίων οὔτ' ξελάσας τῆς πατρίδος οὔτ' ἄλλῃ συμφορᾷ βαρείᾳ περιαλὼν οὐδεμιᾷ. οὗτος ὁ ζῆλος ἀπ' ἐκείνου τοῦ ἀνδρὸς ρξάμενος ἅπασι παρέμεινε τοῖς λαμβάνουσι τὴν αὐ- 1083
ὴν ἐξουσίαν ἄχρι τῆς τρίτης πρὸ ἡμῶν γενεᾶς. οὐθένα

1 οἱ δὲ· τὴν O praeter B οἱ γὰρ τὴν Schäfer ind. Porsoni [ecub. 15 ἀθρόους] ἀθώους c. Sylburg 16 ἐντιμοτάτου ἐπιφανεστάτους R

γοῦν ἐκ τῆς ἱστορίας παρειλήφαμεν, ὃς οὐ μετρίως
αὐτῇ καὶ πολιτικῶς ἐχρήσατο, πολλάκις ἀναγκασθείσης
τῆς πόλεως καταλῦσαι τὰς νομίμους ἀρχὰς καὶ πάντα
ποιῆσαι τὰ πράγματα ὑφ' ἑνί. καὶ εἰ μὲν ἐν τοῖς 3
ὀθνείοις πολέμοις μόνον ἦσαν οἱ λαμβάνοντες τὴν
δικτατορίαν ἀγαθοὶ προστάται τῆς πατρίδος μηθὲν
ὑπὸ τοῦ μεγέθους τῆς ἀρχῆς διαφθειρόμενοι ἧττον ἂν
θαυμαστὸν ἦν· νῦν δὲ καὶ ἐν ταῖς ἐμφυλίοις διχο-
στασίαις πολλαῖς καὶ μεγάλαις γενομέναις καὶ ἐπὶ
καταλύσει βασιλειῶν καὶ τυραννίδων ὑποπτευομένων
καὶ ἐπ' ἄλλων συμφορῶν κωλύσει μυρίων ὅσων ⟨οἱ⟩
τηλικαύτης τυχόντες ἐξουσίας ἅπαντες ἀνεπιλήπτους
καὶ τῷ πρώτῳ λαβόντι τὴν ἀρχὴν ὁμοίους ἑαυτοὺς
παρέσχον· ὥσθ' ἅπασι παραστῆναι τὴν αὐτὴν δόξαν,
ὅτι μία βοήθεια παντός ἐστιν ἀνιάτου κακοῦ καὶ
τελευταίας σωτηρίας ἐλπίς, ὅταν ἀπορραγῶσιν ἅπασαι
1034 διὰ καιρούς τινας, ἡ τοῦ δικτάτορος ἀρχή. ἐπὶ δὲ
τῆς κατὰ τοὺς πατέρας ἡμῶν ἡλικίας ὁμοῦ τι τετρα- 4
κοσίων διαγενομένων ἐτῶν ἀπὸ τῆς Τίτου Λαρκίου
δικτατορίας διεβλήθη καὶ μισητὸν ἅπασιν ἀνθρώποις
ἐφάνη τὸ πρᾶγμα Λευκίου Κορνηλίου Σύλλα πρώ-
του καὶ μόνου πικρῶς αὐτῇ καὶ ὠμῶς χρησαμένου·
ὥστε τότε πρῶτον αἰσθέσθαι Ῥωμαίους, ὃ τὸν ἄλλον
ἅπαντα χρόνον ἠγνόουν, ὅτι τυραννίς ἐστιν ἡ τοῦ
δικτάτορος ἀρχή. βουλήν τε γὰρ ἐκ τῶν ἐπιτυχόντων 5
ἀνθρώπων συνέστησε καὶ τὸ τῆς δημαρχίας κράτος εἰς

4 ἐφ' ἑνὶ c. Cobet Obs. p. 107 11 κωλύσει ABb καλούσει Ba | οἱ add. Reiske 14 παρέσχοντο O corr. Cobet Obs. p. 107 16 τελευταίας AB | ὅταν αἱ ἄλλαι ἀπαρραγῶσιν c. Pflugk 26 *εἰς ἐλάχιστον O

τοὐλάχιστον συνέστειλε καὶ πόλεις ὅλας ἐξῴκισε καὶ βασιλείας τὰς μὲν ἀνεῖλε, τὰς δ' αὐτὸς ἀπέδειξε, καὶ ἄλλα πολλὰ καὶ αὐθάδη διεπράξατο, περὶ ὧν πολὺ ἄ-ἔργον εἴη λέγειν· πολίτας τε χωρὶς τῶν ἐν ταῖς μάχαις ἀπολομένων τοὺς παραδόντας αὐτῷ σφᾶς αὐτοὺς οὐκ ἐλάττους τετρακισμυρίων ἀπέκτεινεν, ὧν τινας καὶ
6 βασάνοις πρῶτον αἰκισάμενος. εἰ μὲν οὖν ἀναγκαίως ἢ συμφερόντως τῷ κοινῷ πάντα ταῦτ' ἔπραξεν, οὐχ ὁ παρὼν καιρὸς ἐξετάζειν· ὅτι δὲ διὰ ταῦτ' ἐμισήθη καὶ δεινὸν ἐφάνη τὸ τοῦ δικτάτορος ὄνομα, τοῦτό μοι προὔκειτο ἐπιδεῖξαι. πέφυκε δ' οὐ ταῖς δυναστείαις τοῦτο μόναις, ἀλλὰ καὶ τοῖς ἄλλοις συμβαίνειν τοῖς περιμαχήτοις καὶ θαυμαζομένοις ὑπὸ τοῦ κοινοῦ βίου πράγμασι. καλὰ μὲν γὰρ ἅπαντα φαίνεται καὶ συμφέροντα τοῖς χρωμένοις, ὅταν τις αὐτοῖς χρῆται καλῶς· αἰσχρὰ δὲ καὶ ἀσύμφορα, ὅταν πονηροὺς λάβῃ προστάτας. τούτου δ' ἡ φύσις αἰτία προσθεῖσα τοῖς ἀγαθοῖς ἅπασι καὶ κῆράς τινας συμφύτους. ἀλλ' ὑπὲρ μὲν τούτων ἕτερος ἂν εἴη τοῖς λόγοις καιρὸς ἐπιτηδειότερος. [οἱ δ' ἐν τῷ κατόπιν ἐνιαυτῷ τὴν ὕπατον ἀρχὴν παραλαβόντες Αὖλος Σεμπρώνιος Ἀτρατῖνος καὶ Μάρκος Μηνύκιος, ἐπὶ τῆς ἑβδομηκοστῆς καὶ πρώτης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Τισικράτης Κροτωνιάτης, ἄρχοντος Ἀθήνησιν Ἱππάρχου.]

1 ἐξῴκισε radendo ex ἐξῴκησε B διῴκισε c. Cobet Nov. Lect. p. 289 7 πρῶτον] πρότερον c. Bücheler 12 μόναις] μόνον c. Hertlein Hermes X 415 20—25 Verba οἱ δ' ἐν — Ἱππάρχου, quae initio libri sexti repetuntur, Kiesslingius uncis seclusit.

1036

# ΔΙΟΝΥΣΙΟΥ

## ΑΛΙΚΑΡΝΑΣΕΩΣ

# ΡΩΜΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

## ΛΟΓΟΣ ΕΚΤΟΣ.

---

Οἱ δ' ἐν τῷ κατόπιν ἐνιαυτῷ τὴν ὕπατον ἀρχὴν παραλαβόντες, Αὖλος Σεμπρώνιος Ἀτρατῖνος καὶ Μάρκος Μηνύκιος, ἐπὶ τῆς ἑβδομηκοστῆς καὶ πρώτης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Τισικράτης Κροτωνιάτης ἄρχοντος Ἀθήνησιν Ἱππάρχου, ἄλλο μὲν οὐδὲν οὔτε πολεμικὸν οὔτε πολιτικὸν ἱστορίας ἄξιον ἐπὶ τῆς ἑαυτῶν ἀρχῆς ἔπραξαν· αἵ τε γὰρ πρὸς Λατίνους ἀνοχαὶ πολλὴν αὐτοῖς ἀπὸ τῶν ἔξωθεν πολέμων παρέσχον
037 εἰρήνην ἥ τε τῆς ἀναπράξεως τῶν δανείων κώλυσις, ἣν ἐψηφίσατο ἡ βουλή, τέως ἂν ὁ προσδοκώμενος πόλεμος εἰς ἀσφαλὲς ἔλθῃ τέλος, ἔπαυσε τοὺς ἐντὸς τείχους νεωτερισμούς, οὓς ἐποιοῦντο οἱ πένητες ἀφεῖσθαι τῶν χρεῶν ἀξιοῦντες δημοσίᾳ· δόγμα δὲ βουλῆς ἐκύ- 2
ρωσαν ἐπιεικέστατον, Λατίνοις ἀνδράσιν εἴ τινες ἔτυχον

ΔΙΟΝΥCΙΟΥ ἝΚΤΟC AB 4 *Κροτωνιάτης* om. B 10 *ἕως O correxi 11 *ἔλθῃ* om. B 14 *ἐπιεικεστάτοις* O *ἐπιεικέστατον* Reiske | *ῥωμαίων καὶ λογίοις ἀνδράσιν* O *τοῖς ἐντίμοις Ῥωμαίων* c. Reiske *Λατίνοις* pro *λογίοις* c. Pflugk, Sintenis Em. Dion. II 24

*ἀλλὰ τὸν ἕτερον· καὶ κατέτριψαν ὅλην τὴν ἡμέραν ἐκείνην τὰς ἀλλήλων ἀρετὰς ἐξαριθμούμενοι καὶ λιπαροῦντες μὴ λαβεῖν αὐτοὶ τὴν ἀρχήν, ὥστε ἐν πολλῇ γενέσθαι τοὺς ἐν τῷ συνεδρίῳ παρόντας ἀμηχανίᾳ.*
3 *διαλυθείσης δὲ τῆς βουλῆς οἱ προσήκοντες κατὰ γένος ἑκατέρῳ, καὶ τῶν ἄλλων βουλευτῶν οἱ ἐντιμότατοι πρὸς τὸν Λάρκιον ἀφικόμενοι πολλὰς ἐποιοῦντο τοῦ ἀνδρὸς ἄχρι πολλῆς νυκτὸς δεήσεις διδάσκοντες, ὡς ἐν ἐκείνῳ τὰς ἐλπίδας ἡ βουλὴ τέθειται πάσας, καὶ τὸ ἀσπούδαστον αὐτοῦ περὶ τὴν ἀρχὴν πονηρὸν εἶναι τῷ κοινῷ λέγοντες. ὁ δ' ἦν ἀτενὴς καὶ πολλὰ ἐν μέρει δεόμενός τε καὶ ἀντιβολῶν ἕκαστον διετέλει. τῇ δ' ἑξῆς ἡμέρᾳ πάλιν τοῦ συνεδρίου συναχθέντος, ἐπειδὴ καὶ τότε διεμάχετο καὶ πειθόμενος ὑπὸ πάντων οὐκ* 1021
*ἀφίστατο τῆς γνώμης, ἀναστὰς ὁ Κλοίλιος ἀναγορεύει τ' αὐτόν, ὥσπερ εἰώθεσαν ποιεῖν οἱ μεσοβασιλεῖς, καὶ τὴν ὑπατείαν αὐτὸς ἐξόμνυται.*

LXXIII. *Οὗτος πρῶτος ἐν Ῥώμῃ μόναρχος ἀπεδείχθη πολέμου τε καὶ εἰρήνης καὶ παντὸς ἄλλου πράγματος αὐτοκράτωρ. ὄνομα δ' αὐτῷ τίθενται δικτάτορα, εἴτε διὰ τὴν ἐξουσίαν τοῦ κελεύειν, ὅτι θέλοι, καὶ τάττειν τὰ δίκαιά τε καὶ τὰ καλὰ τοῖς ἄλλοις, ὡς ἂν αὐτῷ δοκῇ· τὰ γὰρ ἐπιτάγματα καὶ τὰς διαγραφὰς τῶν δικαίων τε καὶ ἀδίκων ἠδίκτα οἱ Ῥωμαῖοι καλοῦσιν· εἴτε ὥς τινες γράφουσι διὰ τὴν τότε γενομένην ἀνάρρησιν, ἐπειδὴ οὐ παρὰ τοῦ δήμου τὴν ἀρχὴν εὑρόμενος κατὰ τοὺς πατρίους ἐθισμοὺς ἕξειν ἔμελλεν,*

7 *πρὸς* O *ὡς* c. Kiessling 8 *πολλῆς* add. B 21 *θέλει* c. Bücheler 22 *καὶ διαγράφειν τὰ δίκαιά τε καὶ τὰ ἄδικα τοῖς ἄλλοις* c. Schnelle Exerc. p. 9

ἀλλ' ὑπ' ἀνδρὸς ἀποδειχθεὶς ἑνός. οὐ γὰρ ᾤοντο δεῖν 2
ἐπίφθονον ὄνομα καὶ βαρὺ θέσθαι τινὶ ἀρχῇ πόλιν ἐλευθέραν ἐπιτροπευούσῃ, τῶν τε ἀρχομένων ἕνεκα,
022 ἵνα μηθὲν ἐπὶ ταῖς μισουμέναις προσηγορίαις ἐκταράττωνται, καὶ τῶν παραλαμβανόντων τὰς ἀρχὰς προνοίᾳ, μή τι λάθωσιν ἢ παθόντες ὑφ' ἑτέρων πλημμελὲς ἢ δράσαντες αὐτοὶ τοὺς πέλας, ὧν φέρουσιν αἱ τοιαῦται δυναστεῖαι· ἐπεὶ τό γε τῆς ἐξουσίας μέγεθος, ἧς ὁ δικτάτωρ ἔχει, ἥκιστα δηλοῦται ὑπὸ τοῦ ὀνόματος· ἔστι γὰρ αἱρετὴ τυραννὶς ἡ δικτατορία. δοκοῦσι δέ 3
μοι καὶ τοῦτο παρ' Ἑλλήνων οἱ Ῥωμαῖοι τὸ πολίτευμα λαβεῖν. οἱ γὰρ Αἰσυμνῆται καλούμενοι παρ' Ἕλλησι τὸ ἀρχαῖον, ὡς ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ Θεόφραστος, αἱρετοί τινες ἦσαν τύραννοι· ᾑροῦντο δ' αὐ-
023 τοὺς αἱ πόλεις οὔτ' εἰς ὁριστὸν χρόνον οὔτε συνεχῶς, ἀλλὰ πρὸς τοὺς καιρούς, ὁπότε δόξειε συμφέρειν, καὶ εἰς ὁποσονοῦν χρόνον· ὥσπερ καὶ Μιτυληναῖοί ποθ' εἵλοντο Πιττακὸν πρὸς τοὺς φυγάδας τοὺς περὶ Ἀλκαῖον τὸν ποιητήν.

LXXIIII. Ἦλθον δ' ἐπὶ τοῦτο οἱ πρῶτοι διδαχθέντες τῇ πείρᾳ τὸ χρήσιμον. κατ' ἀρχὰς μὲν γὰρ ἅπασα
024 πόλις Ἑλλὰς ἐβασιλεύετο, πλὴν οὐχ ὥσπερ τὰ βάρβαρα ἔθνη δεσποτικῶς, ἀλλὰ κατὰ νόμους τινὰς καὶ ἐθισμοὺς πατρίους· καὶ κράτιστος ἦν βασιλεὺς ὁ δικαιότατός τε καὶ νομιμώτατος καὶ μηθὲν ἐκδιαιτώμενος τῶν πατρίων. δηλοῖ δὲ καὶ Ὅμηρος δικασπόλους τε καλῶν 2

10 αἱρετὴ] ἀρετὴ Ba 15 εἰς ἀόριστον χρόνον O εἰς ὁριστὸν χρόνον Cobet Obs. p. 107 17 εἰς ὁπόσον χρόνον O εἰς ὁποσονοῦν χρόνον Cobet l. l. 23 ⟨ἐ⟩θισμὸν B 26 δικασ πολλοὺς Ba

τοὺς βασιλεῖς καὶ θεμιστοπόλους. καὶ μέχρι πολλοῦ
διέμενον ἐπὶ ῥητοῖς τισιν αἱ βασιλεῖαι διοικούμεναι,
καθάπερ ἡ Λακεδαιμονίων· ἀρξαμένων δέ τινων ἐν
ταῖς ἐξουσίαις πλημμελεῖν καὶ νόμοις μὲν ὀλίγα χρω-
μένων, ταῖς δ' ἑαυτῶν γνώμαις τὰ πολλὰ διοικούντων,
δυσχεράναντες ὅλον τὸ πρᾶγμα οἱ πολλοὶ κατέλυσαν
μὲν τὰ βασιλικὰ πολιτεύματα, νόμους δὲ καταστησά- 102
μενοι καὶ ἀρχὰς ἀποδείξαντες, ταύταις ἐχρῶντο τῶν
3 πόλεων φυλακαῖς. ἐπεὶ δ' οὐκ αὐτάρκεις ἦσαν οὔτε
οἱ τεθέντες ὑπ' αὐτῶν νόμοι βεβαιοῦν τὸ δίκαιον οὔτε
·οἱ τὰς ἀρχὰς καὶ τὰς ἐπιμελείας αὐτῶν λαμβάνοντες
βοηθεῖν τοῖς νόμοις, οἵ τε καιροὶ πολλὰ νεοχμοῦντες
οὐ τὰ κράτιστα τῶν πολιτευμάτων, ἀλλὰ τὰ πρεπω-
δέστατα ταῖς καταλαμβανούσαις αὐτοὺς συντυχίαις
ἠνάγκαζον αἱρεῖσθαι, οὐ μόνον ἐν ταῖς ἀβουλήτοις
συμφοραῖς, ἀλλὰ κἀν ταῖς ὑπερβαλλούσαις τὸ μέτριον
εὐτυχίαις, διαφθειρομένων δι' αὐτὰς τῶν πολιτικῶν
κόσμων, οἷς ἐπανορθώσεως ταχείας καὶ αὐτογνώμονος
ἔδει, ἠναγκάζοντο παράγειν πάλιν τὰς βασιλικὰς καὶ
τυραννικὰς ἐξουσίας εἰς μέσον, ὀνόμασι περικαλύπτον-
τες αὐτὰς εὐπρεπεστέροις, Θετταλοὶ μὲν ἀρχούς, Λακε- 102
δαιμόνιοι δ' ἁρμοστὰς καλοῦντες, φοβούμενοι τυράν-
νους ἢ βασιλεῖς αὐτοὺς καλεῖν, ὡς οὐδ' ὅσιον σφίσιν
ὑπάρχον, ἃς κατέλυσαν ἐξουσίας ὅρκοις καὶ ἀραῖς ἐπι-

1 θεμιστο πολλοὺς Ba 5 δὲ αὐτῶν O 7 τὰς βασιλείας καὶ τὸ πολίτευμα A(?) τὰ βασιλεικα πολιτεύματα Ba τὰ βασιλικὰ π. Bb 15 verba inde ab ἠνάγκαζον usque ad εὐτυχίαις om. Ba add. Bb in mge superscript. κείμενον 16 κἀν] καὶ B | μέτρον c. Reiske 17 δι' αὐτὰς ABa δὲ αὐτὰς Bb 19 ἀρ⟨αις⟩ Bb 21 ἀρχοὺς O ταγοὺς Bücheler Stephano auctore

θεσπισάντων θεῶν, ταύτας πάλιν ἐμπεδοῦν. ἐμοὶ μὲν 4 δὴ παρὰ τῶν Ἑλλήνων δοκοῦσι Ῥωμαῖοι τὸ παράδειγμα λαβεῖν, ὥσπερ ἔφην, Λικίννιος δὲ παρ' Ἀλβανῶν οἴεται τὸν δικτάτορα Ῥωμαίους εἰληφέναι, τούτους λέγων πρώτους μετὰ τὸν Ἀμολίου καὶ Νεμέτορος θάνατον ἐκλιπούσης τῆς βασιλικῆς συγγενείας ἐνιαυσίους ἄρχοντας ἀποδεῖξαι τὴν αὐτὴν ἔχοντας ἐξουσίαν τοῖς βασιλεῦσι, καλεῖν δ' αὐτοὺς δικτάτορας· ἐγὼ δ' οὐ τοὔνομα ζητεῖν ἠξίουν, πόθεν ἡ Ῥωμαίων πόλις ἔλαβεν, ἀλλὰ τὸ τῆς ἐξουσίας τῆς περιλαμβανομένης τῷ ὀνό-
1027 ματι παράδειγμα. ἀλλ' ὑπὲρ μὲν τούτων οὐθὲν ἂν εἴη τάχα προὔργου τὰ πλείω γράφειν.

LXXV. Ὃν δὲ τρόπον ὁ Λάρκιος ἐχρήσατο τοῖς πράγμασι δικτάτωρ πρῶτος ἀποδειχθεὶς καὶ κόσμον, οἷον περιέθηκε τῇ ἀρχῇ, συντόμως πειράσομαι διεξελθεῖν, ταῦτα ἡγούμενος εἶναι χρησιμώτατα τοῖς ἀναγνωσομένοις, ἃ πολλὴν εὐπορίαν παρέξει καλῶν καὶ συμφερόντων παραδειγμάτων νομοθέταις τε καὶ δημαγωγοῖς καὶ τοῖς ἄλλοις ἅπασι τοῖς πολιτεύεσθαί τε καὶ τὰ κοινὰ πράττειν βουλομένοις. οὐ γὰρ ἀζήλου καὶ ταπεινῆς πόλεως πολιτεύματα καὶ βίους οὐδὲ ἀνωνύμων καὶ ἀπερριμμένων ἀνθρώπων βουλεύματα καὶ πράξεις μέλλω διηγεῖσθαι, ὥστε ὄχλον ἄν τινι καὶ φλυαρίαν
1028 φανῆναι τὴν περὶ τὰ μικρὰ καὶ φαῦλα ἡμῶν σπουδήν· ἀλλ' ὑπὲρ τῆς ἅπασι τὰ καλὰ καὶ δίκαια ὁριζούσης πόλεως καὶ περὶ τῶν εἰς τοῦτο καταστησαμένων αὐτὴν τὸ ἀξίωμα ἡγεμόνων, ἅ τις ἂν σπουδάσειε μὴ ἀγνοεῖν

3 Λικίνιος AB 5 πρώτους] πρὸς τοὺς B 11 τούτου O praeter B 19 τε om. B 23 τινὶ ABb τινεὶ Ba | ὄχλον] λῆρον vel ὕθλον c. Hertlein Hermes X p. 414 27 ἅ τις οὐκ ἂν σπουδάσειε c. Reiske

πολλαὶ γνῶμαι ἐλέχθησαν. οἱ μὲν γὰρ ἐξ ἐφόδου χωρεῖν ἠξίουν ἐπὶ τοὺς ἅμα τῷ δικτάτορι καταλαβομένους τὸ ὄρος, ἕως ἔτι ἦσαν αὐτοῖς φοβεροί, οὐκ ἀσφαλείας σημεῖον εἶναι νομίζοντες τὴν τῶν ἐχυρῶν κατάληψιν, ἀλλὰ δειλίας· οἱ δὲ τοὺς μὲν ἀποταφρεύσαντας ὀλίγῃ τινὶ κατείργειν φυλακῇ, τὴν δ' ἄλλην δύναμιν ἀναλαβόντας ἐπὶ τὴν Ῥώμην ἄγειν ὡς ῥᾳδίαν ἁλῶναι τῆς κρατίστης νεότητος ἐξεληλυθυίας· οἱ δὲ τὰς Οὐολούσκων τε καὶ τῶν ἄλλων συμμάχων βοηθείας ἀναμένειν συνεβούλευον τὰ ἀσφαλέστερα πρὸ τῶν θρασυτέρων
αἱρουμένους· Ῥωμαίους μὲν γὰρ οὐθὲν ἀπολαύσειν ἐκ 104
τῆς τριβῆς τοῦ χρόνου, ἑαυτοῖς δὲ βραδυνόμενα κρείττω
3 γενήσεσθαι τὰ πράγματα. ἔτι δ' αὐτῶν βουλευομένων
ἧκεν ἐκ Ῥώμης ὁ ἕτερος τῶν ὑπάτων Τῖτος Οὐεργίνιος ἔχων τὴν σὺν ἑαυτῷ δύναμιν αἰφνίδιος ἐν τῇ κατόπιν νυκτὶ τὴν ὁδὸν διανύσας καὶ στρατοπεδεύεται δίχα τοῦ δικτάτορος ἐφ' ἑτέρας ῥάχεως ὀρεινῆς πάνυ καὶ ἐχυρᾶς· ὥστ' ἀμφοτέρωθεν ἀποκεκλεῖσθαι τοὺς Λατίνους τῶν ἐπὶ τὴν πολεμίαν ἐξόδων, τοῦ μὲν ὑπάτου τῶν ἀριστερῶν προκαθημένου μερῶν, τοῦ δὲ δικτάτο-
4 ρος τῶν δεξιῶν. ἔτι δὲ πλείονος ταραχῆς κατασχούσης
τοὺς οὐδὲν πλεῖον τῶν ἀσφαλῶν προελομένους ἡγεμόνας καὶ δέους, μὴ τὰ οἰκεῖα ⟨οὐ⟩ πολλὰ ὄντα δαπανᾶν ἀναγκάζωνται βραδύνοντες, μαθὼν ὁ Ποστόμιος, ὅσον ἦν ἐν αὐτοῖς τὸ ἄπειρον στρατηγίας, πέμπει τὸν ἱπ-

5 ἀποταφρεύσαντας αὐτοὺς ὀλίγῃ c. Smit Obs. p. 20 8 ἐξεληλυθυί⟨α⟩ς Bb 11 ἀναιρουμένους AB | οὐδὲν ἀγαθὸν ἀπολαύσειν c. Cobet Obs. p. 108 13 γενέσθαι O corr. Kiessling | δ' om. B 15 αἰφνίδιος ABa αἰφνιδίως Bb 18 ἀμφοτέρων O ἀμφοτέρωθεν Cobet Obs. p. 108 23 οὐ om. O add. Sylburg 24 ἀνα⟨γκ⟩αζωνται in ras. 2 litt. B | ποστούμιος ABb

πάρχην Τῖτον Αἰβούτιον ἄγοντα τοὺς ἀκμαιοτάτους
ἱππεῖς τε καὶ ψιλούς, καταλαβέσθαι κελεύσας ὄρος τι
45 καλῶς ἐν παρόδῳ κείμενον ταῖς παρακομιζομέναις Λα-
τίνοις ἀγοραῖς οἴκοθεν· καὶ φθάνει πρὶν αἰσθέσθαι
τοὺς πολεμίους ἡ σὺν τῷ ἱππάρχῃ πεμφθεῖσα δύναμις
νύκτωρ παρενεχθεῖσα καὶ δι' ὕλης ἀτριβοῦς διελθοῦσα
καὶ γενομένη ἐγκρατὴς τοῦ λόφου.

V. Μαθόντες δ' οἱ στρατηγοὶ τῶν πολεμίων κατα-
λαμβανόμενα καὶ τὰ κατὰ νώτου σφῶν ἐρυμνὰ καὶ
οὐδὲ περὶ τῆς οἴκοθεν ἀγορᾶς χρηστὰς ἔτι ἐλπίδας
ἔχοντες ὡς ἀσφαλῶς σφίσι παρακομισθησομένης, ἀπα-
ράξαι τοὺς Ῥωμαίους ἔγνωσαν ἀπὸ τοῦ λόφου, πρὶν
ἢ χάρακι καὶ τάφρῳ κρατύνασθαι. ἀναλαβὼν δὲ τὴν 2
46 ἵππον ἅτερος αὐτῶν Σέξτος ἤλαυνεν ἀνὰ κράτος [αὐ-
τήν,] ὡς οὐ δεξομένης αὐτὸν τῆς Ῥωμαϊκῆς ἵππου.
γενναίως δὲ τῶν Ῥωμαίων ἱππέων τοὺς ἐπιόντας ὑπο-
μεινάντων μέχρι μέν τινος ἀντεῖχεν ὑποστρέφων τε
καὶ αὖθις ἐπάγων· ἐπεὶ δ' ἥ τε φύσις τοῦ χωρίου
τοῖς μὲν ἤδη κρατοῦσι τῶν ἄκρων μεγάλα πλεονεκτή-
ματα παρεῖχε, τοῖς δὲ κάτωθεν ἐπιοῦσιν οὐδὲν ὅ τι
μὴ πολλὰς πάνυ πληγὰς καὶ πόνους ἀνηνύτους ἔφερε,
καὶ αὖθις ἑτέρα παρῆν δύναμις τοῖς Ῥωμαίοις ἐπι-
λέκτων ἀνδρῶν ἐκ τῆς πεζικῆς φάλαγγος ἐπίκουρος,
ἣν ὁ Ποστόμιος κατὰ πόδας ἀπέστειλεν, οὐδὲν ἔτι
πράττειν δυνάμενος ἀπῆγε τὴν ἵππον ἐπὶ τὸν χάρακα·
καὶ οἱ Ῥωμαῖοι βεβαίως κρατοῦντες τὸ χωρίον προ-
φανῶς κρατύνονται ⟨τὴν⟩ φυλακήν. μετὰ τοῦτο τὸ 3

10 ἔτι om. A  11 ἀπορράξαι O corr. Cobet Obs. p. 109
13 καὶ λόφῳ O  καὶ τάφρῳ Camerarius  14 αὐτὴν del. Sintenis Em. Dion. II 26  21 ἔφερον A  ἔφερε⟨ν⟩ B  27 τὴν add. Bücheler

ἔργον τοῖς περὶ Μαμίλιον καὶ Σέξτον ἐδόκει μὴ πολὺν διὰ μέσου ποιεῖν ⟨τὸν⟩ χρόνον, ἀλλ' ὀξείᾳ κρῖναι τὰ πράγματα μάχῃ. τῷ δὲ δικτάτορι τῶν Ῥωμαίων κατ-αρχὰς οὕτως ἔχοντι προαιρέσεως[, ὡς] ἀμαχητὶ καταλύσεσθαι τὸν πόλεμον καὶ παντὸς μάλιστα διὰ τὴν ἀπειρίαν τῶν ἀντιστρατήγων τοῦτο ποιήσειν ἐλπίσαντι, τότ' ἐφάνη χωρεῖν ἐπὶ τὸν ἀγῶνα. ἑάλωσαν γάρ τινες ὑπὸ τῶν φρουρούντων τὰς ὁδοὺς ἱππέων ἄγγελοι γράμματα φέροντες παρ' Οὐολούσκων πρὸς τοὺς στρατηγοὺς τῶν Λατίνων δηλοῦντα, ὅτι πολλαὶ δυνάμεις αὐτοῖς ἐπὶ συμμαχίαν ἥξουσιν εἰς ἡμέραν τρίτην μά-
4 λιστα καὶ αὖθις ἕτεραι παρ' Ἑρνίκων. τὰ μὲν δὴ παρασχόντα τοῖς ἡγεμόσιν αὐτῶν ταχεῖαν παρατάξεως ἀνάγκην τέως οὐ προαιρουμένοις ταῦτ' ἦν. ἐπειδὴ δὲ τὰ σημεῖα ἤρθη παρ' ἑκατέρων τῆς μάχης, προήεσαν εἰς τὸ μεταξὺ χωρίον ἀμφότεροι καὶ ἐξέτασσον τὰς δυνάμεις κατὰ τάδε· Σέξτος μὲν Ταρκύνιος ἐπὶ τοῦ λαιοῦ τῶν Λατίνων ἐτάχθη κέρατος, Ὀκταούιος δὲ Μαμίλιος ἐπὶ τοῦ δεξιοῦ, τὴν δὲ κατὰ μέσον στάσιν εἶχεν ὁ ἕτερος τῶν Ταρκυνίου παίδων Τίτος, ἔνθα καὶ Ῥωμαίων οἵ τε αὐτόμολοι καὶ οἱ φυγάδες ἐτάχθησαν. ἡ δ' ἵππος ἅπασα τριχῇ διαιρεθεῖσα τοῖς κέρασιν ἀμφοτέροις προσενεμήθη καὶ τοῖς κατὰ μέσην τεταγμένοις
5 τὴν φάλαγγα. τῆς δὲ Ῥωμαίων στρατιᾶς τὸ μὲν ἀριστερὸν κέρας εἶχεν ὁ ἱππάρχης Τίτος Αἰβούτιος ἐναν-

2 τὸν add. Kiessling 4 οὐχ οὕτως et καταλύσεσθαι c. Bücheler οὐχ οὕτως ἔχοντι προαιρέσεως ἀλλ' ἀμαχητὶ καταλύσεσθαι c. Cobet Obs. p. 109 6 ἀπορίαν O ἀπειρίαν Sylburg 7 τότε ἐφάνη χωρεῖν ABCaEa τότε ἐφάνη αἴτιον χωρεῖν CmgDEb 9 *παρὰ O 10 δηλοῦντες O δηλοῦντα Kiessling 12 *παρὰ O 13 αὐτῶν] ἀμφοτέρων c. Hertlein Hermes X 415

τίος Ὀκταουΐῳ Μαμιλίῳ, τὸ δὲ δεξιὸν Τῖτος Οὐεργίνιος ὁ ὕπατος Σέξτῳ Ταρκυνίῳ στάσιν ἐναντίαν ἐπέχων· τὰ δὲ μέσα τῆς φάλαγγος αὐτὸς ὁ δικτάτωρ Ποστόμιος ἐξεπλήρου Τίτῳ Ταρκυνίῳ καὶ τοῖς περὶ αὐτὸν φυγάσι χωρήσων ὁμόσε· πλῆθος δὲ τῆς συνελθούσης δυνάμεως εἰς τὴν παράταξιν ἀφ' ἑκατέρου στρατεύματος ἦν Ῥωμαίων μὲν ἐπὶ δισμυρίοις τε καὶ τετρακισχιλίοις πεζοὶ τριακοσίων δέοντες, χίλιοι δ' ἱππεῖς· Λατίνων δὲ σὺν τοῖς συμμάχοις τετρακισμύριοι μάλιστα πεζοὶ καὶ τρισχίλιοι ἱππεῖς.

049 VI. Ὡς δ' εἰς χεῖρας ἥξειν ἔμελλον, οἵ τε τῶν Λατίνων στρατηγοὶ συγκαλέσαντες τοὺς σφετέρους πολλὰ εἰς τὸ ἀνδρεῖον ἐπαγωγὰ καὶ δεήσεις τῶν στρατιωτῶν μακρὰς διεξῆλθον, ὅ τε Ῥωμαῖος ὀρρωδοῦντας ὁρῶν τοὺς σφετέρους, ὅτι πλήθει συνοίσονται μακρῷ προὔχοντι τοῦ σφετέρου, ἐξελέσθαι τὸ δέος αὐτῶν ἐκ τῆς διανοίας βουλόμενος συνεκάλεσεν εἰς ἐκκλησίαν· καὶ παραστησάμενος τοὺς πρεσβυτάτους τῶν ἐκ τοῦ βουλευτικοῦ συνεδρίου καὶ τιμιωτάτους ἔλεξε τοιάδε·
Θεοὶ μὲν ἡμῖν ὑπισχνοῦνται δι' οἰωνῶν τε καὶ σφα- 2
γίων καὶ τῆς ἄλλης μαντικῆς ἐλευθερίαν τῇ πόλει παρέξειν καὶ νίκην εὐτυχῆ, ἀμοιβάς τε ἡμῖν ἀποδιδόντες ἀγαθάς, ἀνθ' ὧν αὐτοὺς σέβοντες καὶ τὰ δίκαια ἀσκοῦντες ἐν παντὶ τῷ βίῳ [ἡμῶν] διετελέσαμεν, καὶ τοῖς ἐχθροῖς ἡμῶν νεμεσῶντες κατὰ τὸ εἰκός, ὅτι πολλὰ καὶ μεγάλα πεπονθότες ὑφ' ἡμῶν ἀγαθὰ συγγενεῖς τε

1 Ὀκταουίῳ Μαμιλίῳ et v. 2 Σέξτῳ in omnibus libris sedes mutarunt, corr. Sylburg 2 ἐναντίος A ἐναντίαν R 7 verbis τε καὶ deletis τετρακισχίλιοι c. Bücheler 12 τουσφετέρους B 24 ἡμῶν del. Kiessling 26 ἀγαθὰ] εὖ c. Garrer Obs. p. 25

ὄντες καὶ φίλοι καὶ τοὺς αὐτοὺς ὀμωμοκότες ἕξειν ἐχθροὺς καὶ φίλους, ἁπάντων ὑπεριδόντες τούτων πόλεμον ἐπιφέρουσιν ἡμῖν ἄδικον, οὐχ ὑπὲρ ἀρχῆς καὶ δυναστείας, ὁποτέρους ἡμῶν μᾶλλον αὐτὴν ἔχειν προσῆκεν· ἧττον γὰρ ἂν ἦν δεινόν· ἀλλ' ὑπὲρ τῆς Ταρ- 105
κυνίων τυραννίδος, ἵνα δούλην ἀντ' ἐλευθέρας τὴν
3 πόλιν αὐτοῖς ποιήσωσι. χρὴ δὲ καὶ ὑμᾶς, ἄνδρες λοχαγοί τε καὶ στρατιῶται, μαθόντας, ὅτι συμμάχους ἔχετε τοὺς θεούς, οἵπερ αἰεὶ τὴν πόλιν σῴζουσιν, ἄνδρας ἀγαθοὺς γενέσθαι περὶ τόνδε τὸν ἀγῶνα· ἐπισταμένους, ὅτι τῆς παρὰ θεῶν βοηθείας ὑπάρχει τυγχάνειν τοῖς γενναίως ἀγωνιζομένοις καὶ πάντα τὰ παρ' ἑαυτοῖς εἰς τὸ νικᾶν πρόθυμα παρεχομένοις, οὐ τοῖς φεύγουσιν ἐκ τῶν κινδύνων, ἀλλὰ τοῖς βουλομένοις ὑπὲρ ἑαυτῶν ταλαιπωρεῖν. ὑπάρχει δ' ἡμῖν πολλὰ μὲν καὶ ἄλλα πλεονεκτήματα πρὸς τὸ νικᾶν ὑπὸ τῆς τύχης παρεσκευασμένα, τρία δὲ πάντων κάλλιστα καὶ φανερώτατα.

VII. Πρῶτον μὲν τὸ παρ' ἀλλήλων πιστόν, οὗ μάλιστα δεῖ τοῖς μέλλουσι τῶν ἐχθρῶν κρατήσειν. οὐ γὰρ ἀρξαμένους ὑμᾶς τήμερον ἀλλήλοις εἶναι βεβαίους φίλους δεῖ καὶ πιστοὺς συμμάχους, ἀλλ' ἡ πατρὶς ἐκ πολλοῦ τοῦθ' ἅπασι παρεσκεύακε τἀγαθόν. καὶ γὰρ 105

4 προσήκει c. Hertlein Hermes X 414   7 αὐτοῖς] αὖθις c. Bücheler   11 περὶ] παρὰ c. Reiske   12 ἑαυτοὺς ABC ἑαυτοῖς DE ἑαυτῶν c. Reiske τοῖς ἅπαντα τὰ καθ' ἑαυτοὺς c. Cobet Obs. p. 110   13 προθυμίαν ABEa προθυμίᾳ DEb πρόθυμα c. Stephanus καὶ πᾶσαν πάντως τὰ παρ' ἑαυτοῖς — προθυμίαν παρεχομένοις dubitanter c. Kiessling   15 ἡμῖν B ὑμῖν R   17 μάλιστα O κάλλιστα c. Reiske μέγιστα Kiessling | φανερώτατα ταῦτα c. Bücheler   22 πιστοὺς ἡγεῖσθαι συμμάχους c. Reiske

ἐτράφητε ὁμοῦ καὶ παιδείας ἐτύχετε κοινῆς καὶ θεοῖς
ἐπὶ τῶν αὐτῶν βωμῶν ἐθύετε καὶ πολλῶν μὲν ἀγαθῶν
ἀπολελαύκατε, πολλῶν δὲ κακῶν πεπείρασθε κοινῇ, ἐξ
ὧν ἰσχυραὶ καὶ ἀδιάλυτοι πεφύκασι συγκεράννυσθαι
πᾶσιν ἀνθρώποις φιλίαι· ἔπειτα δ' ὁ περὶ τῶν μεγί-
στων κοινὸς ἅπασιν ὑπάρχων ἀγών. εἰ γὰρ ὑποχείριοι 2
γενήσεσθε τοῖς ἐχθροῖς, οὐχὶ τοῖς μὲν ὑμῶν ὑπάρξει
μηδενὸς πειραθῆναι δεινοῦ, τοῖς δὲ τὰ ἔσχατα παθεῖν,
ἀλλὰ τὸ μὲν ἀξίωμα καὶ τὴν ἡγεμονίαν καὶ τὴν ἐλευ-
θερίαν ἅπασιν ὁμοίως ἀπολωλεκέναι, καὶ μήτε γυναι-
κῶν μήτε παίδων μήτ' οὐσίας μήτ' ἄλλου τινὸς ὧν
ἔχετε ἀπολαύσειν ἀγαθῶν, τοῖς δ' ἡγουμένοις τῆς πό-
λεως καὶ τὰ κοινὰ διοικοῦσι τὸν οἴκτιστον μόρον ἀπο-
θανεῖν σὺν αἰκίαις καὶ βασάνοις. ὅπου γὰρ οὐδὲν 3
πεπονθότες ὑφ' ἡμῶν κακὸν οὔτε μεῖζον οὔτ' ἔλαττον
052πολλὰ καὶ παντοδαπὰ ἐξύβρισαν εἰς ὑμᾶς ἅπαντας, τί
χρὴ προσδοκᾶν ποιήσειν αὐτούς, ἂν νῦν κρατήσωσι
τοῖς ὅπλοις, μνησικακοῦντας, ὅτι τῆς πόλεως μὲν αὐ-
τοὺς ἀπεστήσατε καὶ τὰς οὐσίας ἀφείλεσθε καὶ οὐδ'
ἐπιβῆναι τῆς πατρῴας γῆς ἐᾶτε; τελευταῖον δὲ τῶν 4
εἰρημένων οὐδενὸς ἑτέρου φήσαιτ' ἂν εἶναι πλεονεκτη-
μάτων ἔλασσον, ἐὰν ὀρθῶς σκοπῆτε, τὸ μὴ τοιαῦτα
ἡμῖν ἀπηντῆσθαι παρὰ τῶν πολεμίων, οἷα ὑπελάβομεν,
ἀλλὰ πολλῷ τῆς δόξης ἐνδεέστερα. ἔξω γὰρ τῆς Ἀν-

2 ἐθύετε B ἐθύσατε R 4 συνκεράννυσθαι B (litt. ν ante κ saepe legitur) 5 *ἔπειδ' ἀν δ O ἔπειτα ὁ Reiske ἔ. ὅτι Kiessling 6 ὑπάρχει O ὑπάρχων Kayser Ann. phil. 1866 p. 37 12 ἀπολαῦσαι c. Reudler Tiroc. crit. p. 45 15 ἡμῶν O ὑμῶν c. Kiessling 16 ὅτι Ba τί ABb | ἅπαντας οἱ τύραννοι c. dubitanter Kiessling 19 *ἀπεσπάσατε O ἀπηλάσατε c. Sylburg ἀπεστήσατε ego 20 δὲ om. B 23 παρὰ τῶν πολεμίων O τὰ τῶν πολεμίων c. Kiessling | ὑπέλαβον AB

τιατῶν ἐπικουρίας οὐδένας ἄλλους ὁρᾶτε κοινωνοὺς παρόντας αὐτοῖς τοῦ πολέμου· ἡμεῖς δ' ἅπαντας Οὐολούσκους ἥξειν αὐτοῖς ὑπελαμβάνομεν συμμάχους καὶ Σαβίνων τε καὶ Ἑρνίκων συχνοὺς καὶ μυρίους ἄλλους
5 διὰ κενῆς ἀνεπλάττομεν ἡμῖν αὐτοῖς φόβους. πάντα δ' ἦν ἄρα ταῦτα Λατίνων ὀνείρατα, ὑποσχέσεις ἔχοντα κενὰς καὶ ἐλπίδας ἀτελεῖς. οἱ μὲν γὰρ ἐγκαταλελοίπασιν αὐτῶν τὴν ἐπικουρίαν καταφρονήσαντες τῶν 105
στρατηγῶν ⟨ἐπὶ⟩ τῆς στρατολογίας, οἱ δὲ μελλήσουσι μᾶλλον ἢ βοηθήσουσι τρίβοντες ἐν ταῖς ἐλπίσι τὸν χρόνον, οἱ δὲ νῦν ὄντες ἐν παρασκευαῖς ὑστερήσαντες τῆς μάχης οὐδὲν ἔτι αὐτοῖς χρήσιμοι γενήσονται.

VIII. *Εἰ δέ τινες ὑμῶν ταῦτα μὲν ὀρθῶς εἰρῆσθαι νομίζουσιν, ὀρρωδοῦσι δὲ τὸ τῶν ἀντιπολεμίων πλῆθος, βραχείᾳ διδαχῇ μαθέτωσαν τὰ μὴ δεινὰ δεδιότες, μᾶλλον δ' ἀναμνήσει· πρῶτον μὲν ἐνθυμηθέντες, ὅτι πλεῖόν ἐστιν ἐν αὐτοῖς τὸ ἠναγκασμένον τὰ ὅπλα καθ' ἡμῶν ἀναλαβεῖν, ὡς ἐκ πολλῶν ἡμῖν ἔργων τε καὶ λόγων ἐδήλωσε, τὸ δ' ἑκούσιόν τε καὶ ἐκ προθυμίας ὑπὲρ τῶν τυράννων ἀγωνιζόμενον πάνυ ὀλίγον, μᾶλλον δὲ πολλοστὸν μέρος τι τοῦ ἡμετέρου· ἔπειθ' ὅτι τοὺς πολέμους ἅπαντας οὐχ οἱ πλείους τοῖς
2 ἀριθμοῖς κατορθοῦσιν, ἀλλ' οἱ κρείττους ἀρετῇ. πολὺ ἂν ἔργον εἴη παραδείγματα φέρειν, ὅσα βαρβάρων τε καὶ Ἑλλήνων στρατεύματα ὑπερβαλόντα πλήθει μικραὶ 10*

7 μὲν γὰρ A μέν γε R cf. Ambrosch ad lib. II 27, 2 9 *στρατηγίας O ἀστρατηγησίας vel τῆς ἀπείρου στρατηγίας c. Sylburg ἀπειρίας c. Cobet Obs. p. 110 ἐπὶ τῆς στρατολογίας ego 10 ἐν ταῖς ἐλπίσι O κεναῖς ἐ c. Kiessling ματαίαις ἐλπίσι c. Grasberger Tess. Herbip. p. 28 an λεπταῖς ἐλπίσι? 21 τι del. Cobet l. l. 22 πολέμους] πόνους A

*πάνυ κατηγωνίσαντο δυνάμεις, οὕτως ὥστε μηδὲ πιστοὺς εἶναι τοῖς πολλοῖς τοὺς περὶ αὐτῶν λόγους. ἐῶ τἆλλα· ἀλλ' ὑμεῖς αὐτοὶ πόσους κατωρθώκατε πολέμους μετ' ἐλάττονος ἢ ὅσης νῦν ἔχετε δυνάμεως μείζοσιν ἢ τοσαύταις παρασκευαῖς πολεμίων ἀντιταχθέντες; φέρε, ἀλλὰ τοῖς μὲν ἄλλοις φοβεροὶ διατελεῖτε ὄντες ὧν ἐκρατεῖτε μαχόμενοι, Λατίνοις δ' ἄρα τούτοις καὶ τοῖς συμμάχοις αὐτῶν Οὐολούσκοις εὐκαταφρόνητοι, διὰ τὸ μὴ πειραθῆναί ποτε αὐτοὺς τῆς ὑμετέρας μάχης; ἀλλὰ πάντες ἴστε, ὅτι ταῦτ' ἀμφότερα τὰ ἔθνη πολλαῖς ἐνίκων μάχαις οἱ πατέρες ἡμῶν. ἆρ' οὖν* 3
*λόγον ἔχει τὰ μὲν τῶν κρατηθέντων πράγματα ἐπὶ ταῖς τοιαύταις συμφοραῖς κρείττονα εἶναι, τὰ δὲ τῶν κεκρατηκότων ἐπὶ ταῖς τηλικαύταις εὐπραγίαις χείρονα; καὶ τίς ἂν τοῦτο φήσειε νοῦν ἔχων; θαυμάσαιμι δ'*
055 *ἄν, εἴ τις ὑμῶν τὸ μὲν τῶν πολεμίων πλῆθος, ἐν ᾧ βραχὺ τὸ γενναῖόν ἐστιν, ὀρρωδεῖ, τῆς δ' οἰκείας δυνάμεως οὕτω πολλῆς καὶ ἀγαθῆς οὔσης καταφρονεῖ, ἧς οὔτ' ἀρετῇ κρείττων οὔτ' ἀριθμῷ πλείων συνηνέχθη ποτὲ ἡμῖν ἐν οὐδενὶ τῶν πρὸ τούτου πολέμων δύναμις.*

VIIII. *Καὶ τόδε, ὦ πολῖται, τοῦ μήτ' ὀρρωδεῖν μήτ' ἐκτρέπεσθαι τὰ δεινὰ μέγιστον παρακέλευσμα, ὅτι πάντες οἱ πρωτεύοντες τοῦ βουλευτικοῦ συνεδρίου πάρεισιν, ὥσπερ ὁρᾶτε, κοινὰς ὑμῖν ποιησόμενοι τὰς τοῦ πολέμου τύχας, οἷς ἀφεῖσθαι στρατείας ὅ τε χρό-*

6 *διατελεῖτε* A *διετελεῖτε* B 13 *τοσαύταις* c. Gelenius 19 *κρεῖττον* — *πλεῖον* Ba | *συνηνέχθη* ABE *συνήχθη* R *συνελέχθη* c. Kiessling 25 *ὁρᾶται* AaB | *ἡμῖν* A *ὑμῖν* R | *ποιησόμενοι*] *ὑποισόμενοι* Reiske

2 νος ὁ τῆς ἡλικίας ἀποδέδωκε καὶ ὁ νόμος. οὐκοῦν
αἰσχρὸν μὲν ὑμᾶς τοὺς ἐν ἀκμῇ φεύγειν τὰ δεινά,
τούτους δὲ τοὺς ὑπὲρ ἡλικίαν διώκειν, καὶ τὸ μὲν τῶν
γερόντων πρόθυμον, ἐπεὶ οὐκ ἀποκτεῖναί τινα δύναται
τῶν πολεμίων, ἀποθνήσκειν γε ὑπὲρ τῆς πατρίδος ἐθέ-
λειν, τὸ δ' ὑμέτερον ἀκμάζον, οἷς ἔξεστιν εὐτυχήσασι
μὲν ἀμφότερα σῶσαι καὶ νικᾶν ἀσφαλῶς, εἰ δὲ καὶ 1056
⟨μὴ⟩ μετὰ τοῦ δρᾶσαί τι γενναῖον καὶ παθεῖν, μήτε
τῆς τύχης πεῖραν λαβεῖν, μήτε τὴν τῆς ἀρετῆς δόξαν
3 καταλιπεῖν; οὐ πρὸς ὑμῶν, ὦ ἄνδρες Ῥωμαῖοι, τὰ μὲν
πολλὰ ὑπάρχειν καὶ θαυμαστὰ ἔργα παρ' ἑτέροις, οὓς
οὐδεὶς ὑμνήσει λόγος ἀξίως; πολλὰς δὲ καὶ περιβοή-
τους πράξεις οἰκείας τὸ ἐξ ὑμῶν καρπώσεται γένος,
ἢν τοῦτον ἔτι κατορθώσητε τὸν πόλεμον. ἵνα δὲ καὶ
τοῖς τὰ κράτιστα ὑμῶν ἐγνωκόσι τὸ γενναῖον μὴ ἀκερ-
δὲς γένηται καὶ τοῖς πέρα τοῦ δέοντος τὰ δεινὰ πεφο-
βημένοις μὴ ἀζήμιον ᾖ, πρὶν εἰς ταῦτα ἐλθεῖν, οἵων
4 ἑκατέροις συμβήσεται τυχεῖν, ἀκούσατέ μου. ᾧ μὲν

2 ὑμᾶς μὲν O μὲν ὑμᾶς Hudson 3 verba inde ab διώκειν usque ad τῶν πολεμίων add. Bb in mge | τοὺς del. Cobet Obs. p. 110 4 δύνανται Cobet l. l. 5 ἐθέλειν del. Cobet l. l. 6 εὐτυχήσασι μὲν ἀμφότερα σῶσαι O ἀμφότερα εὐτυχήσασι μὲν σῶσαι Sintenis Em. Dion. II 9 ἀμφοτέρους σῶσαι vel ἀμφότερα σεσῶσθαι Reiske σωθῆναι Bücheler σῶς τ' εἶναι Cobet Obs. p. 111 7 ἀσφαλεῖς? | *εἰ δὲ καὶ με τοῦ Ba εἰ δὲ καὶ μετὰ τοῦ ABb εἰ δὲ μὴ καὶ μετὰ τοῦ Gelenius εἰ δὲ δεῖ μετὰ Reiske εἰ δὲ καὶ ⟨μὴ⟩ μετὰ τοῦ ego εὐτυχήσασι μὲν ἀμφότερα σῶσαι καὶ νικᾶν, σφαλεῖσι δὲ μετ' αὐτοῦ δρᾶσαι c. Meutzner Ann. phil. 1882 p. 252 11 παρ' ἑτέροις O παρ' ἑτέρων Sintenis Em. Dion. II 9 παρὰ τῶν πατέρων Bücheler 12 post ἀξίως lacunam Sintenis et Kiessling significarunt 13 καρπεύσεται AB 14 ἐπικατορθώσητε O ἔτι κατορθώσητε Sylburg 17 ἀζήμιον ᾖ τὸ ἀγεννὲς c. dubitanter Kiessling πεφοβημένοις τοῦτο c. Kayser Ann. phil. 1866 p. 45 πεφοβημένοις δέος Reiske | οἷον A

ἄν τι καλὸν ἢ γενναῖον ἐν τῇ μάχῃ διαπραξαμένῳ
μαρτυρήσωσιν οἱ τὰ ἔργα συνειδότες τάς τ' ἄλλας
ἀποδώσω παραχρῆμα τιμάς, ἃς ἐκ τῶν πατρίων ἑκά-
'57στοις ἐθισμῶν ὑπάρχει φέρεσθαι, καὶ γῆς ἔτι προσθήσω
κλῆρον, [ἐξ] ἧς κέκτηται τὸ δημόσιον, ἱκανὸν ποιῆσαι
ὡς μηδενὸς τῶν ἀναγκαίων δεηθῆναι· ᾧ δ' ἂν ἡ κακὴ
καὶ θεοβλαβὴς διάνοια φυγῆς ἀσχήμονος ἐπιθυμίαν
ἐμβάλῃ, τούτῳ τὸν φευγόμενον ἀγχοῦ παραστήσω θά-
νατον· κρείττων γὰρ ἂν ἑαυτῷ τε καὶ τοῖς ἄλλοις γέ-
νοιτο [ὁ] τοιοῦτος πολίτης ἀποθανών· καὶ περιέσται
τοῖς οὕτως ἀποθανοῦσι μήτε ταφῆς μήτε τῶν ἄλλων
νομίμων μεταλαβεῖν, ἀλλ' ἀζήλοις ἀκλαύστοις ὑπ' οἰω-
νῶν τε καὶ θηρίων διαφορηθῆναι. ταῦτα δὴ προεγνω- 5
κότες ἴτε προθύμως ἅπαντες ἐπὶ τὸν ἀγῶνα, λαβόντες
καλὰς ἐλπίδας ἔργων καλῶν ἡγεμόνας, ὡς ⟨ἐν⟩ ἑνὶ
τῷδε κινδύνῳ τὸ κράτιστον καὶ κατ' εὐχὴν ἅπασι τέλος
λαβόντι τὰ μέγιστα ἕξοντες ἀγαθά, φόβου τυράννων
ὑμᾶς αὐτοὺς ἐλευθερώσοντες, πόλει τῇ γειναμένῃ τρο-
φείων δικαίας ἀπαιτούσῃ χάριτας ἀποδώσοντες, παῖδας,
058ὅσοις εἰσὶν ὑμῶν ἔτι νήπιοι, καὶ γαμετὰς γυναῖκας οὐ
περιοψόμενοι παθεῖν πρὸς ἐχθρῶν ἀνήκεστα, γηραιούς
τε πατέρας τὸν ὀλίγον ἔτι χρόνον ἥδιστον βιῶναι
παρασκευάσοντες. ὦ μακάριοι μέν, οἷς ἂν ἐκγένηται 6
τὸν ἐκ τοῦδε τοῦ πολέμου θρίαμβον καταγαγεῖν, ὑπο-
δεχομένων ὑμᾶς τέκνων καὶ γυναικῶν καὶ πατέρων·
εὐκλεεῖς δὲ καὶ ζηλωτοὶ τῆς ἀρετῆς οἱ τὰ σώματα

2 μαρτυρήσουσιν A 5 *ἐξ uncis inclusi 9 κρείττων ABb κρεῖττον Ba 10 *ὁ uncis inclusi 12 ἀκαύστοις A 13 διαφθαρῆναι O διαφορηθῆναι Sintenis Em. II 10 15 ἐν add. Reiske 18 ἡμᾶς A 21 γηρ⟨αι⟩οὺς Bb 23 ἐγγέ-νηται O ἐκγένηται Portus

χαριούμενοι τῇ πατρίδι. ἀποθανεῖν μὲν γὰρ ἅπασιν ἀνθρώποις ὀφείλεται, κακοῖς τε καὶ ἀγαθοῖς· καλῶς δὲ καὶ ἐνδόξως μόνοις τοῖς ἀγαθοῖς.

X. Ἔτι δ' αὐτοῦ λέγοντος τὰ εἰς τὸ γενναῖον ἐπαγωγὰ θάρσος τι δαιμόνιον ἐμπίπτει τῇ στρατιᾷ, καὶ ὥσπερ ἐκ μιᾶς ψυχῆς ἅπαντες ἀνεβόησαν ἅμα· Θάρσει τε καὶ ἄγε. καὶ ὁ Ποστόμιος ἐπαινέσας τὸ πρόθυμον αὐτῶν καὶ τοῖς θεοῖς εὐξάμενος, ἐὰν εὐτυχὲς καὶ καλὸν τέλος ἀκολουθήσῃ τῇ μάχῃ, θυσίας τε μεγάλας ἀπὸ πολλῶν ἐπιτελέσειν χρημάτων καὶ ἀγῶνας καταστήσεσθαι πολυτελεῖς, οὓς ἄξει ὁ Ῥωμαίων δῆμος ἀνὰ
2 πᾶν ἔτος, ἀπέλυσεν ἐπὶ τὰς τάξεις. ὡς δὲ τὸ σύνθημα τὸ παρὰ τῶν ἡγεμόνων παρέλαβον καὶ τὰ παρακλητικὰ 1059
τῆς μάχης αἱ σάλπιγγες ἐνεκελεύσαντο, ἐχώρουν ἀλαλάξαντες ὁμόσε, πρῶτον μὲν οἱ ψιλοί τε καὶ ἱππεῖς ἀφ' ἑκατέρων, ἔπειθ' αἱ πεζαὶ φάλαγγες ὁπλισμούς τε καὶ τάξεις ὁμοίας ἔχουσαι· καὶ γίνεται πάντων ἀναμὶξ μαχομένων καρτερὸς ἀγὼν καὶ ἐν χερσὶ πᾶσα
3 ἡ μάχη. ὡς δὲ πολὺ τὸ παράλογον ἀμφοτέροις τῆς δόξης ⟨ἦν⟩· οὐδέτεροι γὰρ ἐλπίσαντες μάχης δεήσειν σφίσιν, ἀλλὰ τῇ πρώτῃ ἐφόδῳ τοὺς πολεμίους ὑπολαβόντες φοβήσειν, Λατῖνοι μὲν τῷ πλήθει τῆς σφετέρας ἵππου πιστεύσαντες, ἧς οὐδὲ τὸ ῥόθιον ᾤοντο τοὺς Ῥωμαίους ἱππεῖς ἀνέξεσθαι, Ῥωμαῖοι δὲ ⟨τῷ⟩ τολμηρῶς καὶ ἀπερισκέπτως ἐπὶ τὰ δεινὰ χωροῦντες κατα-

1 πᾶσιν O 7 Ποστούμιος ABb 10 καταστήσασθαι O corr. Stephanus 19 ὡς δὲ O ἦν δὲ c. Kiessling ὡς δὲ δόξης ἦν c. Smit Obs. p. 21 20 μάχαις ποιήσειν B μάχης ἰσχυρᾶς δεήσειν c. Kiessling 21 ἀπολαβόντες A 24 τῷ del. Cobet Obs. p. 111 | τολμηρῷ καὶ ἀπερισκέπτῳ O 25 χωροῦντες O χωροῦντι Reiske | καταπλήξασθαι BE

πλήξεσθαι τοὺς πολεμίους· ταῦτα ὑπὲρ ἀλλήλων καταδοξάσαντες ἐν ἀρχαῖς τἀναντία ἑώρων γινόμενα. οὐκέτι δὲ τὸ τῶν ἀντιπολεμίων δέος, ἀλλὰ τὸ ἴδιον θάρσος ἑκά- ➤60 τεροι τοῦ τε σωθήσεσθαι καὶ τοῦ νικήσειν αἴτιον σφίσι νομίσαντες ἀγαθοὶ μαχηταὶ καὶ ὑπὲρ δύναμιν ἐφάνησαν. ἐγίνοντο δὲ ποικίλαι καὶ ἀγχίστροφοι περὶ αὐτοὺς αἱ τοῦ ἀγῶνος τύχαι.

XI. Πρῶτον μὲν οὖν οἱ κατὰ μέσην τὴν φάλαγγα τεταγμένοι Ῥωμαίων, ἔνθα ὁ δικτάτωρ [Ποστούμιος] ἦν λογάδας ἔχων περὶ αὐτὸν ἱππεῖς, καὶ αὐτὸς ἐν πρώτοις μαχόμενος, τὸ καθ' αὑτοὺς ἐξωθοῦσι μέρος, τρωθέντος ὑσσῷ τὸν δεξιὸν ὦμον θατέρου τῶν Ταρκυνίου παίδων Τίτου καὶ μηκέτι δυναμένου τῇ χειρὶ 061 χρῆσθαι. 2 Λικίννιος μὲν γὰρ καὶ οἱ περὶ Γέλλιον οὐδὲν ἐξητακότες οὔτε τῶν εἰκότων οὔτε τῶν δυνατῶν αὐτὸν εἰσάγουσι τὸν βασιλέα Ταρκύνιον ἀγωνιζόμενον ἀφ' ἵππου καὶ τιτρωσκόμενον, ἄνδρα ἐνενήκοντα ἔτεσι προσάγοντα. πεσόντος δὲ Τίτου μικρὸν ἀγωνισάμενοι χρόνον οἱ περὶ αὐτὸν καὶ τὸ σῶμα ἔμψυχον ἀράμενοι γενναῖον οὐδὲν ἔτι ἔπραξαν, ἀλλ' ἀνεχώρουν ἐπιοῦσι τοῖς Ῥωμαίοις ἐπὶ πόδα· ἔπειτ' αὖθις ἔστησάν τε καὶ εἰς ἀντίπαλα ἐχώρουν, θατέρου τῶν Ταρκυνίου παίδων Σέξτου μετὰ τῶν ἐκ Ῥώμης φυγάδων τε καὶ τῶν

1 καταδοξάζοντες A 2 *τὰ ἐναντία O 6 ἐγίνοντο ABb ἐγίγνοντο Ba | ποικίλοι AbB 9 post δικτάτωρ in ABb mge exstat Ποστούμιος 10 αὐτὸν AB | ἐν τοῖς πρώτοις c. Kiessling 12 τῶν τοῦ Ταρκυνίου A 13 τοῦ Τίτου c. Grasberger Philol. XXVIII (1869) p. 548 14 Λικίνιος A | Γάλλιον O corr. Hudson 17 ἐφ' ἵππου O ἀφ' ἵππου Tegge Quaest. de usu praep. p. 21 | τοῖς ἐνενήκοντα Reiske 19 ἔτι ἔμψυχον c. Cobet Obs. p. 112 20 ἀνεχώρουν ACmg ἐχώρουν BCDE

3 ἄλλων ἐπιλέκτων ἱππέων ἐπιβοηθήσαντος αὐτοῖς. οὗτοι μὲν οὖν πάλιν ἀναλαβόντες αὐτοὺς ἐμάχοντο, οἱ δὲ τῆς φάλαγγος ἡγεμόνες ἑκατέρας Τῖτος Αἰβούτιος καὶ Μαμίλιος Ὀκταούιος λαμπρότατα πάντων ἀγωνιζόμενοι, καὶ τρέποντες μὲν τοὺς ὑφισταμένους καθ' ὃ χωρήσειαν μέρος, ἀντικαθιστάντες δὲ τῶν σφετέρων τοὺς 1062 θορυβηθέντας, χωροῦσιν ἐκ προκλήσεως ὁμόσε, καὶ συρράξαντες πληγὰς κατ' ἀλλήλων φέρουσιν ἰσχυράς, οὐ μὴν καιρίους, ὁ μὲν ἱππάρχης εἰς τὰ στέρνα τοῦ Μαμιλίου διὰ θώρακος ἐλάσας τὴν αἰχμήν, ὁ δὲ Μαμίλιος μέσον περονήσας τὸν δεξιὸν ἐκείνου βραχίονα· καὶ πίπτουσιν ἀπὸ τῶν ἵππων.

XII. Ἀποκομισθέντων δ' ἀμφοτέρων ἐκ τῆς μάχης ὁ τεταγμένος αὖθις πρεσβευτὴς Μάρκος Οὐαλέριος τὴν τοῦ ἱππάρχου παρειληφὼς ἡγεμονίαν, ἐπιστὰς ⟨σὺν⟩ τοῖς ἀμφ' αὐτὸν ἱππεῦσιν ἐπὶ τοὺς κατὰ πρόσωπον καὶ μικρὸν ἀντισχὼν χρόνον ἐξωθεῖται ταχέως τῆς τάξεως ἐπὶ πολύ· ἧκον δὲ καὶ τούτοις ἐκ τῶν φυγάδων τῶν ἐκ Ῥώμης ἱππέων τε καὶ ψιλῶν βοήθειαι, καὶ ὁ Μαμίλιος ἀνειληφὼς ἐκ τῆς πληγῆς ἑαυτὸν ἤδη παρῆν αὖθις ἄγων πλῆθος ἱππέων τε καὶ πεζῶν καρτερόν· ἐν τούτῳ τῷ ἀγῶνι ὅ τε πρεσβευτὴς Μάρκος Οὐαλέριος, ὁ τὸν κατὰ Σαβίνων πρῶτος καταγαγὼν θρίαμ- 1063 βον καὶ τὸ φρόνημα τῆς πόλεως τεταπεινωμένον ἐκ

1 ἐπιβοηθησάντων B 2 αὐτοὺς ABa αὑτοὺς Bb 14 αὖθις πρεσβύτης Μάρκος A αὖθις ῥωμαίων πρεσβύτης Μ. B αὖθις καὶ π. Μ. CDE nonnulla excidisse et εὐθὺς scribendum esse c. Kiessling 15 ἐπιστὰς σὺν c. Reiske 17 ἀντισχόντας c. Reiske | ἐξωθεῖ c. Reiske | ταχέως del. Cobet Obs. p. 112 | τάξεως αὐτοὺς καὶ διώκει ἐπὶ πολὺ c. Reiske 18 ἧκον O ἧκε Sylburg 19 βοήθεια O βοήθειαι Reiske 23 εἰςαγαγαγὼν O καταγαγὼν Smit Obs. p. 23

*τοῦ Τυρρηνικοῦ παίσματος ἀναστήσας, δόρατι πληγεὶς
πίπτει, καὶ περὶ αὐτὸν ἄλλοι Ῥωμαίων πολλοὶ καὶ
ἀγαθοί. περὶ δὲ τῷ πτώματι αὐτοῦ γίνεται καρτερὸς* 2
*ἀγὼν Ποπλίου καὶ Μάρκου τῶν Ποπλικόλα παίδων
τὸν θεῖον ὑπερασπισάντων. ἐκεῖνον μὲν οὖν ἀσκύλευ-
τόν τε καὶ μικρὸν ἔτι ἐμπνέοντα τοῖς ὑπασπισταῖς
ἀναθέντες ἀπέστειλαν ἐπὶ τὸν χάρακα, αὐτοὶ δ' εἰς
μέσους τοὺς πολεμίους ὑπὸ λήματός τε καὶ προθυμίας*
064*ὠσάμενοι καὶ πολλὰ τραύματα λαβόντες, ἀθρόων περι-
χυθέντων σφίσι τῶν φυγάδων, ἀποθνήσκουσιν ἅμα.
ἐξωθεῖται δὲ μετὰ τοῦτο τὸ πάθος ἡ Ῥωμαίων φάλαγξ* 3
*ἀπὸ τῶν ἀριστερῶν ἐπὶ πολὺ καὶ μέχρι τῶν μέσων
παρερρήγνυτο. ἔπειτα μαθὼν ὁ δικτάτωρ τὴν τροπὴν
τῶν σφετέρων, ἐβοήθει κατὰ τάχος ἄγων τοὺς περὶ
αὐτὸν ἱππεῖς. κελεύσας δὲ τὸν ἕτερον πρεσβευτήν,
Τῖτον Ἑρμήνιον, ἴλην ἱππέων ἄγοντα κατὰ νώτου
χωρεῖν τῆς σφετέρας φάλαγγος καὶ τοὺς φεύγοντας
ἐπιστρέφειν, εἰ δὲ μὴ πείθοιντο ἀποκτεῖναι, αὐτὸς ἅμα
τοῖς κρατίστοις ἐπὶ τὸ στῖφος ὠθεῖται, κἀπειδὴ πλη-*
065*σίον τῶν πολεμίων ἐγένετο πρῶτος εἰσελαύνει τὸν
ἵππον ἀφειμένων τῶν χαλινῶν. ἀθρόας δὲ γενομένης* 4
*καὶ καταπληκτικῆς τῆς ἐλάσεως οὐ δεξάμενοι τὸ μανι-
κὸν αὐτῶν καὶ τεθηριωμένον οἱ πολέμιοι τρέπονται
καὶ πίπτουσι συχνοί. ἐν δὲ τούτῳ καὶ ὁ πρεσβευτὴς*

1 *πτώματος* O *παίσματος* Sylburg 4 *ποπλίου* Ba *ποπλικὸ* Bb 7 *ἑαυτοὺς* O *αὐτοὶ* Cobet Obs. p. 112 8 *λήμματος* Bb 12 ⟨*ἀ*⟩*πὸ* Ba | *με*⟨*χριτ*⟩*ων* Bb *ι* litt. in ras. | verba inde a *μέσων* usque ad *σφετέρων* add. Bb mg superscript. *κείμενον* 13 *τροπὴν* A *φυγὴν* B *φυγὴν τῆς ῥοπῆς* DE *φυγὴν καὶ τροπὴν* C 16 *ἑρμίνιον* A *γερμίνιον* B 18 *αὐτοὺς* O *αὐτὸς* Sylburg 23 *ἐκτεθηριωμένον* c. Reiske

Ἑρμήνιος ἀνειληφὼς τοὺς φοβηθέντας ἐκ τῆς τροπῆς τῶν σφετέρων ἦγεν ἐπὶ τοὺς περὶ τὸν Μαμίλιον συνεστῶτας· καὶ συμπεσὼν αὐτῷ μεγίστῳ τε ὄντι καὶ ῥώμην ἀρίστῳ τῶν καθ' αὑτὸν [τότε ἀνθρώπων] ἐκεῖνόν τ' ἀποκτείνει καὶ αὐτὸς ἐν τῷ σκυλεύειν τὸν νεκρὸν πληγεὶς ὑπό τινος ξίφει διὰ τῆς λαγόνος ἀποθνήσκει. 5 Σέξτος δὲ Ταρκύνιος τοῦ λαιοῦ τῶν Λατίνων κέρατος ἡγούμενος ἀντεῖχεν ἔτι τοῖς δεινοῖς καὶ τοὺς ἐπὶ τοῦ δεξιοῦ τῶν Ῥωμαίων κέρατος ἐξεώθει τῆς στάσεως· ὡς δὲ τὸν Ποστόμιον ἐθεάσατο σὺν τοῖς ἐπιλέκτοις ἱππεῦσιν ἐπιφερόμενον ἀπογνοὺς ἁπάσης ἐλπίδος εἰς μέσους αὐτοὺς ἵεται· ἔνθα δὴ κυκλωθεὶς ὑπὸ τῶν Ῥωμαίων ἱππέων τε καὶ πεζῶν καὶ βαλλόμενος πανταχόθεν ὥσπερ θηρίον, οὐκ ἄνευ τοῦ πολ- 106 λοὺς ἀποκτεῖναι τῶν ὁμόσε χωρησάντων ἀποθνήσκει. πεσόντων δὲ τῶν ἡγεμόνων, ἀθρόα γίνεται πάντων αὐτίκα τῶν Λατίνων φυγὴ καὶ τοῦ χάρακος αὐτῶν ἐρήμου καταλειφθέντος ὑπὸ τῶν φυλάκων ἅλωσις, ὅθεν 6 οἱ Ῥωμαῖοι πολλὰς καὶ καλὰς ἔλαβον ὠφελείας. συμφορά τε αὕτη μεγίστη Λατίνοις ἐγένετο, δι' ἣν ἐπὶ πλεῖστον ἐκακώθησαν, καὶ φθόρος σωμάτων, ὅσος οὔπω πρότερον· ἀπὸ γὰρ τετρακισμυρίων πεζῶν καὶ τρισχιλίων ἱππέων, ὥσπερ ἔφην, οἱ λειφθέντες ἐλάττους μυρίων ἐσώθησαν ἐπὶ τὰ σφέτερα.

XIII. Ἐν ταύτῃ λέγονται τῇ μάχῃ Ποστομίῳ τε

1 γερμίνιος AB 2 παρὰ AB περὶ E et Sylburg 4 ῥώμῃ B ῥώμης R ῥώμην Cobet Obs. p. 112 τῶν καθ' ἑαυτὸν τότε ἀνθρώπων O τῶν καθ' ἑαυτὸν aut τῶν τότε ἀνθρώπων scribenda esse censet Sintenis Em. Dion. I 9 9 ἐξώθει O ἐξεώθει Cobet Obs. p. 112 11 ἐπιφαινόμενον O ἐπιφερόμενον *Kiessling* dubitanter

*τῷ δικτάτορι καὶ τοῖς περὶ αὐτὸν τεταγμένοις ἱππεῖς*
*δύο φανῆναι, κάλλει τε καὶ μεγέθει μακρῷ κρείττους,*
*ὧν ἡ καθ' ἡμᾶς φύσις ἐκφέρει, ἐναρχόμενοι γενειᾶν,*
*ἡγούμενοί τε τῆς Ῥωμαικῆς ἵππου καὶ τοὺς ὁμόσε*
*χωροῦντας τῶν Λατίνων παίοντες τοῖς δόρασι καὶ προ-*
O67 *τροπάδην ἐλαύνοντες. καὶ μετὰ τὴν τροπὴν τῶν Λα-*
*τίνων καὶ τὴν ἅλωσιν τοῦ χάρακος αὐτῶν περὶ δείλην*
*ὀψίαν τὸ τέλος λαβούσης τῆς μάχης, ἐν τῇ Ῥωμαίων*
*ἀγορᾷ τὸν αὐτὸν τρόπον ὀφθῆναι δύο νεανίσκοι λέ-*
*γονται, πολεμικὰς ἐνδεδυκότες στολὰς μήκιστοί τε καὶ*
*κάλλιστοι καὶ τὴν αὐτὴν ἡλικίαν ἔχοντες, αὐτοί τε*
*φυλάττοντες ἐπὶ τῶν προσώπων ὡς ἐκ μάχης ἡκόντων*
*τὸ ἐναγώνιον σχῆμα, καὶ τοὺς ἵππους ἱδρῶτι διαβρό-*
*χους ἐπαγόμενοι. ἄρσαντες δὲ τῶν ἵππων ἑκάτερον* 2
*καὶ ἀπονίψαντες ἀπὸ τῆς λιβάδος, ἣ παρὰ τὸ ἱερὸν*
*τῆς Ἑστίας ἀναδίδωσι λίμνην ποιοῦσα ἐμβύθιον ὀλί-*
*γην, πολλῶν αὐτοὺς περιστάντων καὶ εἴ τι φέρουσιν*
*ἐπὶ κοινὸν ἀπὸ στρατοπέδου μαθεῖν ἀξιούντων, τήν*
*τε μάχην αὐτοῖς φράζουσιν, ὡς ἐγένετο καὶ ὅτι νικῶ-*
1068 *σιν· οὓς μεταχωρήσαντας ἐκ τῆς ἀγορᾶς ὑπ' οὐδενὸς*
*ἔτι λέγουσιν ὀφθῆναι, πολλὴν ζήτησιν αὐτῶν ποιουμένου*

2 verba *καὶ μεγέθει* et quae sequuntur usque ad verba *μένει τῶν* cap. 36 altera manus scripsit | *μακρῷ* A *λαμπρῷ* B 8 *τὸ* del. Cobet p. 112 *τὸ τέλος λαβούσης* del. Meutzner Ann. phil. 1882 p. 253 sqq. | *τῆς μάχης* om. ABE del. Meutzner | *τῇ Ῥωμαίων ἀγορᾷ* A *Ῥωμαίων* om. B 9 *τὸν αὐτὸν χρόνον* c. Schenkl Bursiani Litterarum ann. brev. p. 36 12 *ἥκοντες* c. Reiske quod def. Cobet Obs. p. 113 14 *ἄρσαντες* O *ψάραντες* Reiske *τὸν ἵππον* Cobet l. l. | *ἑκάτερον* A *ἑκάτεροι* B 15 *ἀπονιψάμενοι* c. Bücheler 17 *αὐτοῖς* O *αὐτοὺς* Reiske | *καὶ ἐπιφέρουσιν εἴτι κοινὸν* ABEa *καὶ εἴ τι φέρουσιν ἔτι καινὸν* Eb *καὶ εἴ τι φέρουσιν καινὸν* Kiessling *καὶ ὅτι φέρουσιν ἐπὶ κοινὸν* Meutzner l. l. p. 255

3 τοῦ καταλειφθέντος τῆς πόλεως ἡγεμόνος. ὡς δὲ τῇ
κατόπιν ἡμέρᾳ τὰς παρὰ τοῦ δικτάτορος ἐπιστολὰς
ἔλαβον οἱ τῶν κοινῶν προεστῶτες, καὶ σὺν τοῖς ἄλλοις
ἅπασι τοῖς ἐν τῇ μάχῃ γενομένοις καὶ τὰ περὶ τῆς
ἐπιφανείας τῶν δαιμόνων ἔμαθον, νομίσαντες τῶν
αὐτῶν θεῶν εἶναι ἄμφω τὰ φάσματα. ὥσπερ εἰκὸς
4 Διοσκούρων ἐπείσθησαν εἶναι τὰ εἴδωλα. ταύτης ἐστὶ
τῆς παραδόξου καὶ θαυμαστῆς τῶν δαιμόνων ἐπιφα-
νείας ἐν Ῥώμῃ πολλὰ σημεῖα, ὅ τε νεὼς ὁ τῶν Διο-
σκούρων, ὃν ἐπὶ τῆς ἀγορᾶς κατεσκεύασεν ἡ πόλις,
ἔνθα ὤφθη τὰ εἴδωλα, καὶ ἡ παρ' αὐτῷ κρήνη καλου-
μένη τε τῶν θεῶν τούτων καὶ ἱερὰ εἰς τόδε χρόνου
νομιζομένη, θυσίαι τε πολυτελεῖς, ἃς καθ' ἕκαστον
ἐνιαυτὸν ὁ δῆμος ἐπιτελεῖ διὰ τῶν μεγίστων ἱερέων
ἐν μηνὶ Κυιντιλίῳ λεγομένῳ ταῖς καλουμέναις εἰδοῖς,
ἐν ᾗ κατώρθωσαν ἡμέρᾳ τόνδε τὸν πόλεμον· ὑπὲρ
ἅπαντα δὲ ταῦτα ἡ μετὰ τὴν θυσίαν ἐπιτελουμένη
πομπὴ τῶν ἐχόντων τὸν δημόσιον ἵππον, ⟨οἳ⟩ κατὰ 106
φυλάς τε καὶ λόχους κεκοσμημένοι στοιχηδὸν ἐπὶ τῶν
ἵππων ὀχούμενοι πορεύονται πάντες, ὡς ἐκ μάχης ἥκον-
τες ἐστεφανωμένοι θαλλοῖς ἐλαίας, καὶ πορφυρᾶς φοι-
νικοπαρύφους ἀμπεχόμενοι τηβέννας τὰς καλουμένας
τραβέας, ἀρξάμενοι μὲν ἀφ' ἱεροῦ τινος Ἄρεος ἔξω
τῆς πόλεως ἱδρυμένου, διεξιόντες δὲ τήν τ' ἄλλην
πόλιν ⟨καὶ⟩ διὰ τῆς ἀγορᾶς παρὰ τὸ τῶν Διοσκούρων
ἱερὸν παρερχόμενοι, ἄνδρες ἔστιν ὅτε καὶ πεντακισχί-

4 τὰ om. B 7. 11. εἴδωλα del. Meutzner l. l. et ὤφθησαν c. idem 12 ἱερὰ καὶ O corr. Kiessling 14 ἱππέων O ἱερέων Kiessling 18 οἳ add. Stephanus | λό⟨χ⟩ους B 21 ἐστεφανωμένοις B | θαλοῖς B 23 *ἀπὸ O 25 καὶ add. Portus | ἀργορὰς καὶ παρὰ O καὶ del. Portus

λιοι φέροντες, ὅσα παρὰ τῶν ἡγεμόνων ἀριστεῖα ἔλαβον ἐν ταῖς μάχαις, καλὴ καὶ ἀξία τοῦ μεγέθους τῆς
ἡγεμονίας ὄψις. ταῦτα μὲν ὑπὲρ τῆς γενομένης ἐπι- 5
φανείας τῶν Διοσκούρων λεγόμενά τε καὶ πραττόμενα
1070 ὑπὸ Ῥωμαίων ἔμαθον· ἐξ ὧν τεκμήραιτ' ἄν τις, ὡς θεοφιλεῖς ἦσαν οἱ τότε ἄνθρωποι, σὺν ἄλλοις πολλοῖς καὶ μεγάλοις.

XIIII. Ὁ δὲ Ποστόμιος ἐκείνην μὲν τὴν νύκτα κατεστρατοπέδευσεν ἐν τῷ πεδίῳ, τῇ δ' ἑξῆς ἡμέρᾳ στεφανώσας τοὺς ἀριστεύσαντας ἐν τῇ μάχῃ καὶ τοὺς αἰχμαλώτους φυλάττεσθαι διαδοὺς ἔθυε τὰ νικητήρια τοῖς θεοῖς. ἔτι δ' αὐτῷ τὸν στέφανον ἐπικειμένῳ καὶ τὰς ὑπερπύρους ἀπαρχὰς τοῖς βωμοῖς ἐπιτιθέντι σκοποί τινες ἀπὸ τῶν μετεώρων καταδραμόντες ἀγγέλλουσι πολέμιον ἐπὶ σφᾶς ἐλαύνειν στρατόν. ἦν δ' ἐκ τοῦ Οὐολούσκων ἔθνους ἐπίλεκτος ἀκμὴ σύμμαχος ἀπεσταλμένη Λατίνοις, πρὶν ἢ τὴν μάχην αὐτῶν ἐπι-
τελεσθῆναι. ὡς δὲ δὴ ταῦτ' ἔγνω, χωρεῖν ἅπαντας 2
ἐκέλευσεν ἐπὶ τὰ ὅπλα καὶ μένειν ἐν τῷ χάρακι παρὰ ταῖς ἰδίαις ἕκαστον σημαίαις σιγὴν καὶ κόσμον φυλάττοντας, ἕως ἂν αὐτὸς ἃ χρὴ πράττειν παραγγείλῃ. οἱ
1071 δὲ τῶν Οὐολούσκων ἡγεμόνες ἐξ ἀπόπτου τῶν Ῥωμαίων παρεμβαλόντες ὡς εἶδον μεστὸν μὲν τὸ πεδίον νεκρῶν, ὀρθοὺς δὲ τοὺς χάρακας ἀμφοτέρους, προϊόντα δ' ἐκ τῶν ἐρυμάτων οὔτε πολέμιον οὔτε φίλον οὐδένα, τέως μὲν ἐθαύμαζον καὶ τίς ⟨ἦν⟩ ἡ κατειληφυῖα τύχη τὰ

3 ὄψις τῆς ἡγεμονίας B τῆς ἡγεμονίας ὄψις R | ὑπὲρ τῆς τότε λεγομένης c. Kiessling 11 διδοὺς B 15 ἐλαύνοντα A 20 φυλακὴν ABE σιγὴν C 21 παραγγέλλῃ AB παραγγείλῃ C et Reiske 24 ὀρθοὺς] μεστοὺς B 26 ἦν add. Bücheler

πράγματα ἀπόρως εἶχον συμβάλλειν. ἐπεὶ δὲ παρὰ τῶν ἀνασωζομένων ἐκ τῆς τροπῆς ἅπαντα τὰ περὶ τὸν ἀγῶνα ἔμαθον, ἐσκόπουν μετὰ τῶν ἄλλων ἡγεμόνων,
3 τί χρὴ πράττειν. τοῖς μὲν οὖν θρασυτάτοις αὐτῶν ἐδόκει κράτιστον εἶναι χωρεῖν ἐπὶ τὸν χάρακα τῶν Ῥωμαίων ἐξ ἐφόδου, τέως πολλοὶ μὲν ἔκαμον ὑπὸ τραυμάτων, ἀπειρήκεσάν θ' ἅπαντες ὑπὸ κόπου ὅπλα τε ἄχρηστα τοῖς πλείστοις ἦν, τὰ μὲν ἀπεστομωμένα τὰς ἀκμάς, τὰ δὲ κατεαγότα καὶ βοήθεια παρὰ τῶν οἴκοθεν ἀκραιφνὴς οὔπω παρῆν οὐδεμία αὐτοῖς, ἡ δὲ σφῶν αὐτῶν δύναμις πολλή τε οὖσα καὶ ἀγαθὴ καὶ ὡπλισμένη καλῶς ἐμπειροπόλεμός τε καὶ οὐ προσδεχομένοις ἐξαπιναίως παροῦσα, φοβερὰ καὶ τοῖς εὐτολμοτάτοις φανήσεσθαι ἔμελλε.

XV. Τοῖς δὲ σωφρονεστάτοις οὐκ ἀσφαλὲς τὸ κιν- 107
δύνευμα εἶναι ἐφαίνετο, ἀνδράσιν ἀγαθοῖς τὰ πολέμιά τε καὶ νεωστὶ τὴν Λατίνων τοσαύτην δύναμιν ἀραμένοις ἄνευ συμμάχων ὁμόσε χωρεῖν μέλλοντας τὸν ὑπὲρ τῶν μεγίστων κίνδυνον ἐν ἀλλοτρίᾳ ποιεῖσθαι γῇ, ἔνθα εἴ τι συμβαίη πταῖμα οὐδεμίαν ἕξουσι καταφυγὴν ἀσφαλῆ· τῆς δ' οἴκαδε σωτηρίας προνοεῖσθαι μᾶλλον ἠξίουν οὗτοι διὰ ταχέων καὶ μέγα κέρδος ὑπολαμβάνειν, εἰ μηδὲν ἀπολαύσουσιν ἐκ τῆς στρατείας
2 κακόν. ἑτέροις δὲ τούτων μὲν οὐδέτερον ἐδόκει χρῆναι ποιεῖν, νεανικὸν μὲν ἀποφαίνουσι τὸ πρόχειρον τῆς ἐπὶ τὸν ἀγῶνα ὁρμῆς, αἰσχρὸν δὲ τὸ παράλογον τῆς ἐπὶ τὰ οἰκεῖα φυγῆς, ὡς κατ' εὐχὴν ληψομένων τῶν πολεμίων, ὁπότερον ἂν αὐτῶν ποιήσωσι. γνώμη δὲ

6 *ἕως O 9 ἀ<κμ>ὰς Bb 22 ἀπολαμβάνειν BE 24 οὐδὲν οὐδέτερον B | ἐδόκει ποιεῖν δέον B 27 <φυ>γῆς Bb

τούτων ἣν ἐν μὲν τῷ παρόντι κρατύνασθαι τὸν χάρακα
καὶ τὰ πρὸς τὸν ἀγῶνα εὐτρεπίζεσθαι, πέμποντας δὲ
πρὸς τοὺς ἄλλους Οὐολούσκους δυεῖν θάτερον ἀξιοῦν
073 ἢ δύναμιν ἑτέραν πέμπειν ἀξιόχρεων ἐπὶ Ῥωμαίους,
ἢ καὶ τὴν ἀπεσταλμένην μετακαλεῖν. ἡ δὲ πιθανω- 3
τάτη τοῖς πλείστοις φανεῖσα καὶ ὑπὸ τῶν ἐν τέλει
κυρωθεῖσα γνώμη ταῦτα παρῄνει, πέμψαι τινὰς εἰς τὸν
χάρακα τῶν Ῥωμαίων κατασκόπους ὀνόματι πρεσβευ-
τῶν ἕξοντας τὸ ἀσφαλές, οἳ δεξιώσονται τὸν ἡγεμόνα
καὶ φράσουσιν, ὅτι σύμμαχοι Ῥωμαίων ἥκοντες ἀπὸ
τοῦ κοινοῦ τῶν Οὐολούσκων ἄχθονται μὲν ὑστερήσαν-
τες τῆς μάχης, ὡς οὐδεμίαν ἢ μικράν τινα τῆς προ-
θυμίας χάριν οἰσόμενοι, τῇ δ' [ἐξ] ἐκείνων τύχῃ μέγαν
ἀγῶνα δίχα συμμάχων κατωρθωκότων συνήδονται·
ἐξαπατήσαντες δ' αὐτοὺς τῇ φιλανθρωπίᾳ τῶν λόγων
καὶ πιστεύειν ὡς φίλοις σφίσι κατασκευάσαντες, ἅπαντα
κατασκέψονται καὶ δηλώσουσιν ἀφικόμενοι πλῆθός τ'
αὐτῶν καὶ ὁπλισμοὺς καὶ παρασκευὰς καὶ εἴ τι κατὰ
νοῦν ἔχουσι πράττειν. ὅταν δὲ ταῦτ' ἀκριβῶς σφίσι
)74 γένηται φανερά, τότε προθεῖναι βουλήν, εἴτ' ἐπιχειρεῖν
αὐτοῖς ἄμεινον εἴη προσμεταπεμψαμένοις δύναμιν ἑτέ-
ραν, εἴτε καὶ τὴν παροῦσαν ἀπάγειν.

XVI. Ὡς δὲ ταύτῃ προσέθεντο τῇ γνώμῃ καὶ οἱ
προχειρισθέντες ὑπ' αὐτῶν πρέσβεις ἀφικόμενοι πρὸς
τὸν δικτάτορα καὶ παραχθέντες ἐπὶ τὴν ἐκκλησίαν δι-

2 πέμποντα B 4 ἐπὶ Ῥωμαίοις A 13 οἰησόμενοι B | τῇ δ' ἐξ ἐκείνων τύχῃ O τῇ δ' οὖν ἐκείνων τύχῃ Reiske ἐξ del. Sintenis Em. Dion. I 19 τῇ δὲ δεξιᾷ ἐ. τ. Kiessling Pr. Bas. p. 15 17 δηλώσουσιν Cmg δηλοῦσιν R 18 εἰ del. Cobet Obs. p. 113 25 καὶ add. B

εξῆλθον τοὺς ἐξαπατήσοντας λόγους, ὀλίγον ἐπισχὼν ὁ Ποστόμιος χρόνον πρὸς αὐτοὺς εἶπε· Πονηρὰ βουλεύματα, ὦ Οὐολοῦσκοι, χρηστοῖς λόγοις ἀμφιέσαντες ἥκετε· καὶ πολεμίων ἔργα πράττοντες φίλων ἐξενέγκα-
2 σθαι βούλεσθε δόξαν. ὑμεῖς γὰρ ἀπέσταλθε ὑπὸ τοῦ κοινοῦ Λατίνοις συμμαχήσοντες καθ' ἡμῶν, ἐπεὶ δ' ὕστεροι τῆς μάχης ἥκετε καὶ κρατουμένους αὐτοὺς ὁρᾶτε, παρακρούσασθαι βούλεσθε ἡμᾶς τἀναντία, ὧν 107
ἐμέλλετε πράττειν, λέγοντες. καὶ οὐδ' ἡ φιλανθρωπία τῶν λόγων, ἣν πλάττεσθε πρὸς τὸν παρόντα καιρὸν οὐδὲ τὸ προσποίημα ὑμῶν τῆς δεῦρο ἀφίξεως ὑγιές ἐστιν, ἀλλὰ μεστὸν δόλου καὶ ἀπάτης. οὐ γὰρ συνησθησόμενοι τοῖς ἀγαθοῖς ἡμετέροις ἐξαπέσταλθε, ἀλλὰ κατασκεψόμενοι, πῶς ἡμῖν ἀσθενείας ἢ δυνάμεως τὰ πράγματα ἔχει· καί ἐστε πρεσβευταὶ μὲν λόγῳ, κατά-
3 σκοποι δ' ἔργῳ. ἀρνουμένων δὲ πρὸς ἅπαντα τῶν ἀνδρῶν οὐ διὰ μακροῦ τὴν πίστιν ἔφησεν αὐτοῖς παρέξεσθαι· καὶ αὐτίκα τὰς ἐπιστολὰς αὐτῶν, ἃς ἔλαβε πρὸ τῆς μάχης τοῖς ἡγεμόσι τῶν Λατίνων φερομένας, ἐν αἷς ὑπισχνοῦντο αὐτοῖς πέμψειν ἐπικουρίαν, προήνεγκε, καὶ τοὺς φέροντας αὐτὰς προήγαγεν. ἀναγνωσθέντων δὲ τῶν γραμμάτων καὶ τῶν αἰχμαλώτων ἃς ἔλαβον ἐντολὰς διηγησαμένων, τὸ μὲν πλῆθος ⟨λίθοις⟩ ὥρμησε βαλεῖν τοὺς Οὐολούσκους ὡς ἑαλωκότας ἐπ'

1 *ἐξήγοντο τοὺς A ἐξῆγον τοὺς B ἐξηγοῦντο vulgo διηγοῦντο Cobet Nov. Lect. p. 289 ἐξήνεγκον Kiessling Pr. Bas. p. 16 διεξῆλθον ego 2 εἶπεν A 8 ὁρᾶσθε B | παρακρούσεσθαι B 9. 11. οὔτε — οὔτε c. Hertlein Hermes X 415 20 πέμπειν O πέμψειν Hertlein l. l. Cobet Obs. p. 114 23 *πλῆθος ὥρμησε βαλεῖν O π. ὡ. ἀνελεῖν c. Meutzner Ann. phil. 1882 p. 256 λίθοις addidi

076 αὐτοφώρῳ κατασκόπους, ὁ δὲ Ποστόμιος οὐκ ᾤετο δεῖν ὁμοίους γενέσθαι τοῖς κακοῖς τοὺς ἀγαθοὺς κρεῖττον εἶναι λέγων καὶ μεγαλοψυχότερον εἰς τοὺς ἀποστείλαντας φυλάττειν τὴν ὀργὴν ἢ εἰς τοὺς ἀποσταλέντας, καὶ διὰ τὸ φανερὸν ὄνομα τῆς πρεσβείας ἀφεῖναι τοὺς ἄνδρας μᾶλλον ἢ διὰ τὸ ἀφανὲς τῆς κατασκοπῆς ἔργον ἀπολέσαι· ἵνα μήτε Οὐολούσκοις ἀφορμὴν παράσχωσιν εὐπρεπῆ τοῦ πολέμου πρεσβευτῶν ἀνῃρῆσθαι σώματα σκηπτομένοις παρὰ τὸν ἁπάντων νόμον, μήτε τοῖς ἄλλοις ἔχθρας πρόφασιν αἰτίας [εἶναι] εἰ καὶ ψευδοῦς, ἀλλ' οὐκ ἀλόγου γε οὐδὲ ἀπίστου.

XVII. Ἐπισχὼν δὲ τὴν ὁρμὴν τοῦ πλήθους ἀπιέναι τοὺς ἄνδρας ἐκέλευσεν ἀμεταστρεπτὶ φυλακῇ παραδοὺς ἱππέων, οἳ προύπεμψαν αὐτοὺς ἐπὶ τὸν Οὐολούσκων χάρακα. ἐκβαλὼν δὲ τοὺς κατασκόπους εὐτρεπίζεσθαι
77 τὰ εἰς μάχην παρήγγειλε τοῖς στρατιώταις, ὡς ἐν τῇ κατόπιν ἡμέρᾳ παραταξόμενος. ἐδέησε δ' οὐδὲν αὐτῷ μάχης· οἱ γὰρ ἡγεμόνες τῶν Οὐολούσκων πολλῆς ἔτι νυκτὸς οὔσης ἀναστήσαντες τὴν στρατιὰν ᾤχοντο ἐπὶ τὰ σφέτερα. ἁπάντων δὲ χωρησάντων αὐτῷ κατ' εὐχὴν 2
θάψας τοὺς οἰκείους νεκροὺς καὶ τὴν στρατιὰν καθήρας

6 verba inde ab ἀφεῖναι usque ad ἵνα duorum versuum spatium in archetypo explentia om. B  9 σκηπτομένοις σώματα B  10 ἐχθροῖς O  ἔχθρας Reiske | *πρόφασιν εἶναι εἰ καὶ O  pro εἶναι corrupto ἀδικίας aut παρανομίας aut ὠμότητος aut tale quid c. Reiske  ἐγκλήματος Schaller  αἰτίας Pflugk  εἶναι ortum ex εἰ et καὶ delevi et cum Reiskio ἔχθρας scripsi  13 ἀφεῖναι O  ἀπιέναι Reiske  ἀναστρέφειν post ἐκέλευσεν add. CmgD  15 *προέπεμψαν O  18 οὐδενὸς αὐτῶν μάχης O  αὐτῷ Sylburg  μηδενὶ αὐτῶν Portus  αὐτῷ ἀγῶνος Kiessling, οὐδὲν pro οὐδενὸς et αὐτῷ μάχης Kayser Ann. phil. 1866 p. 45

ἀνέστρεψεν εἰς τὴν πόλιν ἐκπρεπεῖ θριάμβῳ κοσμού-
μενος ὅπλων τε σωρὸν ἐφ' ἁμάξαις πολλαῖς κομίζων
καὶ χρημάτων στρατιωτικῶν παρασκευὰς ἀφθόνους
εἰσφέρων, καὶ τοὺς ἁλόντας ἐν τῇ μάχῃ πεντακοσίων
ἀποδέοντας ἑξακισχιλίους ἐπαγόμενος. ἀπὸ δὲ τῶν λα-
φύρων ἐξελόμενος τὰς δεκάτας ἀγῶνάς τε καὶ θυσίας
τοῖς θεοῖς ἀπὸ τετταράκοντα ταλάντων ἐποίει καὶ ναῶν
κατασκευὰς ἐξεμίσθωσε Δήμητρι καὶ Διονύσῳ καὶ Κόρῃ
3 κατ' εὐχήν. ἐσπάνισαν γὰρ αἱ τροφαὶ τοῦ πολέμου
κατ' ἀρχὰς καὶ πολὺν αὐτοῖς παρέσχον φόβον ὡς ἐπι-
λείψουσαι, τῆς τε γῆς ἀκάρπου γενομένης καὶ τῆς 107
ἔξωθεν ἀγορᾶς οὐκέτι παρακομιζομένης διὰ τὸν πόλε-
μον. διὰ τοῦτο τὸ δέος ἀνασκέψασθαι τὰ Σιβύλλεια
τοὺς φύλακας αὐτῶν κελεύσας ὡς ἔμαθεν, ὅτι τούτους
ἐξιλάσασθαι τοὺς θεοὺς οἱ χρησμοὶ κελεύουσιν, εὐχὰς
αὐτοῖς ἐποιήσατο μέλλων ἐξάγειν τὸν στρατόν, ἐὰν
εὐετηρία γένηται κατὰ τὴν πόλιν ἐπὶ τῆς ἰδίας ἀρχῆς,
οἷα πρότερον ἦν, ναούς τ' αὐτοῖς καθιδρύσεσθαι καὶ
4 θυσίας καταστήσεσθαι καθ' ἕκαστον ἐνιαυτόν. οἱ δ'
ὑπακούσαντες τήν τε γῆν παρεσκεύασαν ἀνεῖναι πλου-
σίους καρπούς, οὐ μόνον τὴν σπόριμον, ἀλλὰ καὶ τὴν
δενδροφόρον, καὶ τὰς ἐπεισάκτους ἀγορὰς ἁπάσας ἐπι-
κλύσαι μᾶλλον ἢ πρότερον· ἅπερ ὁρῶν αὐτὸς ὁ Πο-
στόμιος ἐψηφίσατο τὰς τῶν ναῶν τούτων κατασκευάς.
Ῥωμαῖοι μὲν δὴ τὸν τυραννικὸν ἀπωσάμενοι πόλεμον
εὐνοίᾳ θεῶν ἐν ἑορταῖς τε καὶ θυσίαις ἦσαν.

1 ἐκπρεπεῖ A εὐπρεπεῖ R 10 ἐπιλεῖψαι ABE ἐπιλεί-ψουσαι Cmg 15 ἐξιλᾶσθαι AB 22 πάσας O 23 αὐτὸς] αὐτοῖς Meutzner p. 256 24 ἐψηφίσατο B in mge add. | τούτων Ba το⟨τε⟩ Bb τότε A 25 τὸν om. B | οὕτως ἀπωσάμενοι c. Reiske 26 τε om. B

XVIII. Ὀλίγαις δ' ὕστερον ἡμέραις πρέσβεις ἀπὸ
τοῦ κοινοῦ τῶν Λατίνων ἧκον ὡς αὐτοὺς ἐξ ἁπασῶν
079 τῶν πόλεων ἐπιλεχθέντες οἵ τὴν ἐναντίαν ἔχοντες περὶ
τοῦ πολέμου γνώμην, ἱκετηρίας καὶ στέμματα προεχό-
μενοι. οὗτοι παραχθέντες ἐπὶ τὴν βουλήν, τὴν μὲν
ἀρχὴν τοῦ πολέμου τοὺς δυναστεύοντας ἐν ταῖς πό-
λεσιν ἀπέφαινον αἰτίους· τὸ δὲ πλῆθος ἓν μόνον τοῦτο
ἁμαρτεῖν ἔλεγον, ὅτι πονηροῖς ἐπείσθη δημαγωγοῖς
ἴδια κέρδη παρεσκευασμένοις. ταύτης δὲ τῆς ἀπάτης, 2
ἐν ᾗ τὸ πλεῖον ἀνάγκης μέρος ἦν, οὐ μεμπτὰς τετι-
κέναι δίκας ἑκάστην πόλιν ἔλεγον τῆς κρατίστης νεό-
τητος ἀναιρεθείσης, ὥστε μὴ ῥᾴδιον εἶναι πένθους
καθαρὰν εὑρεῖν οἰκίαν, ἠξίουν τ' αὐτοὺς παραλαβεῖν
σφᾶς ἥκοντας οὔτε περὶ τῆς ἀρχῆς ἔτι διαφερομένους
οὔτε περὶ τῶν ἴσων φιλονεικοῦντας συμμάχους τε καὶ
ὑπηκόους ἅπαντα τὸν λοιπὸν χρόνον ἐσομένους, καὶ
πᾶν ὅσον ὁ δαίμων ἀφείλετο τοῦ Λατίνων ἀξιώματος,
τοῦτο τῇ Ῥωμαίων προσθήσοντας εὐποτμίᾳ. τελευτῶν- 3
τες δὲ τοῦ λόγου συγγένειαν ἐπεκαλοῦντο καὶ συμμα-
080 χιῶν ἀπροφασίστων ποτὲ γενομένων ἀνεμίμνησκον καὶ
συμφορὰς ἀνέκλαιον τὰς καταληψομένας τοὺς μηδὲν
ἡμαρτηκότας, οἳ μακρῷ πλείους ἦσαν τῶν ἡμαρτηκό-
των, ὀδυρόμενοι παρ' ἕκαστα καὶ τῶν γονάτων ἁπτό-
μενοι πάσης τῆς γερουσίας καὶ τὰς ἱκετηρίας παρὰ
τοῖς ποσὶ τοῦ Ποστομίου τιθέντες· ὥστε παθεῖν τι
πρὸς τὰ δάκρυα καὶ τὰς δεήσεις αὐτῶν τὸ συνέδριον
ἅπαν.

3 οἵ O οἷα Reiske 4 προεχόμενοι A παρεχόμενοι R
5 τὴν ἀρχὴν O τῆς ἀρχῆς Reiske 14 ἑκόντας O ἥκοντας
Sintenis Em. Dion. II 26 15 τε] δὲ Sintenis l. l. 18 τε-
λευτῶντος O corr. Reiske 22 αἳ A ἃ B 24 τῆς] τε B

XVIIII. Ὡς δὲ μετέστησαν ἐκ τοῦ βουλευτηρίου
καὶ λόγος ἀπεδόθη τοῖς εἰωθόσιν ἀποφαίνεσθαι γνώ-
μας, Τῖτος μὲν Λάρκιος ὁ πρῶτος ἀποδειχθεὶς δικτά-
τωρ ἐν τῷ παρελθόντι ἐνιαυτῷ ταμιεύεσθαι τὴν τύχην
αὐτοῖς συνεβούλευε μέγιστον εἶναι λέγων ἐγκώμιον
ὥσπερ ἑνὸς ἀνδρὸς οὕτω καὶ πόλεως ὅλης, εἰ μὴ
διαφθαρήσεται ταῖς εὐπραγίαις, ἀλλ' εὐμενῶς καὶ με-
2 τρίως φέροι τἀγαθά. πάσας μὲν γὰρ τὰς εὐτυχίας 1081
φθονεῖσθαι, μάλιστα ⟨δ'⟩ ὅσαις πρόσεστιν εἰς τοὺς
ταπεινωθέντας καὶ ὑπὸ χεῖρα γενομένους ὕβρις καὶ
βαρύτης· τῇ τύχῃ δ' οὐκ ἐῶν τι πιστεύειν πολλάκις
αὐτῆς πεῖραν εἰληφότας ἐπ' οἰκείοις κακοῖς τε καὶ ἀγα-
θοῖς, ὡς ἀβέβαιός ἐστι καὶ ἀγχίστροφος· οὐδ' ἀνάγκην
προσάγειν τοῖς διαφόροις τὴν περὶ τῶν ἐσχάτων κιν-
δύνων, δι' ἣν καὶ παρὰ γνώμην τολμηταὶ γίνονταί
3 τινες καὶ ὑπὲρ δύναμιν μαχηταί· δέος δὲ σφίσιν εἶναι
λέγων, μὴ κοινὸν μῖσος ἐπισπάσωνται παρὰ πάντων
ὅσων ἀξιοῦσιν ἄρχειν, ἐὰν πικρὰς καὶ ἀπαραιτήτους
ἀπὸ τῶν ἁμαρτόντων ἀναπράττωνται δίκας, ὡς ἐκβε-
βηκότες ἐκ τῶν συνήθων ἐπιτηδευμάτων, ἀφ' ὧν εἰς
ἐπιφάνειαν προῆλθον ἐπιλαθόμενοι, καὶ πεποιηκότες
τυραννίδα τὴν ἀρχήν, ἀλλ' οὐχ ἡγεμονίαν ὡς πρότερον 1082
ἦν καὶ προστασίαν· τά τε ἁμαρτήματα μέτρια καὶ οὐ

2 τοῖς εἰωθόσιν πρώτοις ἀποφαίνεσθαι τὰς γνώμας dubitanter Kiessling 3 μὲν om. B 4 ἐν τῷ παρελθόντι ἐνιαυτῷ delenda esse censet Kiessling | τεταμιεῦσθαι O ταμιεύεσθαι Casaubonus 6 οὕτως B 7 εὐμενῶς O εὐγενῶς Sylburg ἐμμελῶς Cobet Obs p. 114 9 δ' add. Reiske 11 τῇ om. B | ἐὸν A ἐῶν R | τι πιστεύειν B 19 ἀπὸ] παρὰ Cobet Obs. p. 114 20 καὶ ἀφ' ὧν Reiske 21 ἐκβεβηκότες ἐκ τῶν πατρίων ἐθισμῶν καὶ τῶν συνήθων ἐπιτηδευμάτων — ἐπιλαθόμενοι scribenda esse Kiessling Pr. Bas. p. 116 censet

νεμεσητὰ εἶναι λέγων, εἴ τινες ἐλευθερίας περιεχόμεναι πόλεις καὶ ἄρχειν ποτὲ μαθοῦσαι τῆς παλαιᾶς ἀξιώσεως οὐ μεθίενται. εἰ δ' ἀνιάτως οἱ τῶν κρατίστων ὀρεχθέντες, ἐὰν διαμάρτωσι τῆς ἐλπίδος, ζημιώσονται, οὐδὲν ἔσεσθαι τὸ κωλῦον ἅπαντας ἀνθρώπους ὑπ' ἀλλήλων ἀπολωλέναι· πᾶσι γὰρ εἶναι τὸν τῆς ἐλευθερίας πόθον ἔμφυτον. πολλῷ τε κρείττονα καὶ βεβαιο- 4 τέραν ἀποφαίνων ἀρχήν, ἥτις εὐεργεσίαις, ἀλλὰ μὴ τιμωρίαις κρατεῖν βούλεται τῶν ὑπηκόων· τῇ μὲν γὰρ εὔνοιαν ἀκολουθεῖν, τῇ δὲ φόβον, ἀνάγκην δ' εἶναι φύσεως πάντα μάλιστα μισεῖσθαι τὰ φοβερά· τελευτῶν δὲ τοῦ λόγου παραδείγμασιν αὐτοὺς ἠξίου χρῆσθαι τοῖς κρατίστοις τῶν προγόνων ἔργοις, ἐφ' οἷς ἐπαίνων ἐτύγχανον ἐκεῖνοι, ἐπιλεγόμενος ὅσας ἁλούσας κατὰ κράτος πόλεις οὐ κατασκάπτοντες οὐδὲ ἡβηδὸν 083 ἀναιροῦντες οὐδ' ἐξανδραποδιζόμενοι, ἀλλ' ἀποικίας τῆς Ῥώμης ποιοῦντες, καὶ τοῖς βουλομένοις τῶν κρατηθέντων παρὰ σφίσι κατοικεῖν πολιτείας μεταδιδόντες, μεγάλην ἐκ μικρᾶς ἐποιοῦντο τὴν πόλιν. κεφάλαιον δ' αὐτοῦ τῆς γνώμης ἦν ἀνανεώσεσθαι τὰς σπονδὰς πρὸς τὸ κοινὸν τῶν Λατίνων, ἃς ἦσαν πεποιημένοι πρότερον, καὶ μηδενὸς τῶν ἁμαρτημάτων μηδεμιᾷ πόλει μνησικακεῖν.

XX. Σερουίλιος δὲ Σουλπίκιος περὶ μὲν τῆς εἰρήνης καὶ τῆς ἀνανεώσεως τῶν σπονδῶν οὐδὲν ἀντέλεγεν·

1 εἶναι λέγων B λέγων εἶναι R 4 ζημιώσονται AB ζημιωθήσονται E quod rec. Kiessling 5 πάντας O 11 πάντα B om. R παντὸς Kiessling | φοβερὰ πάντα O praeter B 14 ἁλούσας ὅσας O corr. Sylburg 18 μεταδιδόντες A μεταδόντες B 19 ἐποίουν c. Kiessling 20 ἀνανεώσασθαι A ἀνανεώσεσθαι B

ἐπειδὴ δὲ πρότεροι τὰς σπονδὰς ἔλυσαν Λατῖνοι, καὶ
οὐχὶ τότε πρῶτον, ὥστε συγγνώμης τινὸς αὐτοῖς δεῖν
ἀνάγκην καὶ ἀπάτην προβαλλομένοις, ἀλλὰ πολλάκις
ἤδη καὶ πρότερον, ὥστε καὶ διορθώσεως σφίσι δεῖν,
τὴν μὲν ἄδειαν ἅπασι συγκεχωρῆσθαι καὶ τὴν ἐλευ-
θερίαν διὰ τὸ συγγενές, τῆς δὲ γῆς τὴν ἡμίσειαν αὐ-
τοὺς ἀφαιρεθῆναι καὶ κληρούχους ἀποσταλῆναι Ῥω-
μαίων εἰς αὐτήν, οἵ τινες ἐκείνην καρπώσονται καὶ
2 τοὺς ἄνδρας μηδὲν ἔτι νεωτερίσαι σπουδάσουσι. Σπό-
ριος δὲ Κάσσιος ἀνελεῖν τὰς πόλεις αὐτῶν συνεβού-
λευε θαυμάζειν λέγων ἐπὶ ταῖς εὐηθείαις τῶν παραι- 1084
νούντων ἀφεῖναι τὰς ἁμαρτίας αὐτοῖς ἀζημίους, εἰ
μηδὲ δύνανται καταμαθεῖν, ὅτι διὰ τὸν φθόνον τὸν
ἔμφυτόν τε καὶ ἀναφαίρετον, ὃν ἔχουσι πρὸς τὴν πό-
λιν αὐτῶν αὐξομένην, ἄλλους ἐπ᾽ ἄλλοις ἐπιτεχνῶνται
πολέμους καὶ οὐδέποτε παύσονται τῆς ἐπιβούλου προ-
αιρέσεως ἑκόντες, ἕως αὐτῶν τοῦτ᾽ ἐν ταῖς ψυχαῖς τὸ
δύστηνον ἐνοικεῖ πάθος· οἵ γε τελευτῶντες ὑπὸ τυ-
ράννῳ ποιήσασθαι, θηρίων ἁπάντων ἀγριωτάτῳ, συγ-
γενῆ σφῶν πόλιν ἐπεχείρησαν ἁπάσας ἀνατρέψαντες
τὰς ἐπὶ θεῶν ὁμολογίας, οὐκ ἄλλαις τισὶν ἐλπίσιν
ἐπαρθέντες, ἀλλ᾽ ὅτι ἂν μὴ αὐτοῖς κατὰ γνώμην χω-
ρήσῃ τὰ τοῦ πολέμου δίκην οὐδεμίαν ὑφέξουσιν ἤ
3 τινα μικρὰν κομιδῇ. παραδείγμασί τε καὶ αὐτὸς ἠξίου
χρῆσθαι τοῖς τῶν προγόνων ἔργοις, οἳ τὴν Ἀλβανῶν
πόλιν, ἐξ ἧς αὐτοί ⟨τ᾽⟩ ἀπῳκίσθησαν καὶ Λατίνων
ἅπασαι πόλεις, ἐπειδὴ φθονοῦσαν ἔγνωσαν τοῖς αὐτῶν

12 εἰ δὲ μὴ B εἰ μὴ R εἰ μηδὲ Kiessling Pr. Bas. p. 16
18 τελευτῶντες] τελευταῖον B | τυράννων et v. 19 ἀγριωτάτων
AB 19 συγγενεῖς A 26 τ᾽ add. Kiessling 27 πᾶσαι O

ἀγαθοῖς καὶ τὴν ἄδειαν, ἣν ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασιν εὕρετο, μείζονος ἐπιβουλῆς ἀφορμὴν ποιησαμέ- '85 νην, ἐν ἡμέρᾳ καθελεῖν ἔγνωσαν μιᾷ· ἐν ἴσῳ δόξαντες εἶναι τῷ μηδένα οἰκτείρειν τῶν τὰ μέτρια ἁμαρτανόντων τὸ μηδένα τιμωρεῖσθαι τῶν τὰ μέγιστα καὶ ἀδιόρθωτα ἀδικούντων. μωρίας δὲ πολλῆς εἶναι καὶ 4 ἀναλγησίας ἔργον· οὐ γὰρ δὴ φιλανθρωπίας οὐδὲ μετριότητος· τὸν τῶν ἀποικισάντων σφᾶς φθόνον, ἐπεὶ πέρα τοῦ δέοντος ἔδοξεν εἶναι βαρὺς καὶ ἀφόρητος, οὐκ ἀνασχομένους τὸν τῶν ὁμογενῶν ὑπομένειν τούς τ' ἐν ἐλάττοσι πείραις ἐλεγχθέντας πολεμίους ἀφαιρέσει πόλεως ζημιώσαντας, παρὰ τῶν πολλάκις τὸ μῖσος ἀδιάλλακτον ἀποδειξαμένων μηδεμίαν εἰσπράξασθαι δίκην. ταῦτ' εἰπὼν καὶ τὰς ἀποστάσεις τῶν Λα- 5 τίνων ἁπάσας ἐξαριθμησάμενος τῶν τ' ἀπολομένων ἐν τοῖς πρὸς αὐτοὺς πολέμοις Ῥωμαίων τὸ πλῆθος ὅσον )86 ἦν ἀναμνήσας, ἠξίου τὸν αὐτὸν τρόπον χρήσεσθαι ⟨καὶ τούτοις⟩, ὃν ἐχρήσαντο Ἀλβανοῖς πρότερον· τὰς μὲν οὖν πόλεις αὐτῶν ἀνελεῖν καὶ τὴν χώραν αὐτῶν τῇ Ῥωμαίων προσθεῖναι, τῶν δ' ἀνθρώπων τοὺς μὲν εὔνοιάν τινα πρὸς αὐτοὺς ἀποδειξαμένους ἔχοντας τὰ σφέτερα πολίτας ποιήσεσθαι, τοὺς δ' αἰτίους τῆς ἀποστάσεως, ὑφ' ὧν αἱ σπονδαὶ διελύθησαν, ὡς προδότας

2 εὕρατο B | ποιησαμένων B 7 δὴ om. B | φιλανθρωπίας γε c. Reiske 9 ἐπεὶ] ἐπὶ B 10 ἀνασχόμενος Ba | τοῦ τῶν ABC τοῦ δὲ DE τὸν Cmg τοῦτόν τῶν Kiessling Pr. Bas. p. 16 | ὑπομένειν τοὺς AB ὑ. καὶ τοὺς R ὑ. τούς τ' Kiessling l. l. 12 παρὰ τῶν A πάντων B 13 εἰσπράξεσθαι B 15 τε add. B 16 τότε πλῆθος O corr. Sylburg 17 χρήσεσθαι B χρήσασθαι R post χρήσεσθαι add. καὶ τούτοις Reiske αὐτοῖς Kiessling Λατίνοις Bücheler inserit 19 οὖν add. Bb 22 πολίτας] πλουσίους BE | ποιήσεσθαι BE

ἀποκτεῖναι· ὅσον δὲ τοῦ δήμου πτωχὸν καὶ ἀργὸν καὶ
ἄχρηστον ἐν ἀνδραπόδων ποιήσεσθαι λόγῳ.
XXI. Ταῦτα μὲν οὖν τὰ λεχθέντα ὑπὸ τῶν προ-
εστηκότων τῆς βουλῆς, τοῦ δὲ δικτάτορος τὴν Λαρκίου
γνώμην προελομένου καὶ οὐδενὸς ἔτι λέξαντος τἀναν-
τία παρῆσαν εἰσκληθέντες εἰς τὸ συνέδριον οἱ πρέ-
σβεις τὰς ἀποκρίσεις ληψόμενοι· καὶ ὁ Ποστόμιος
ὀνειδίσας αὐτοῖς τὴν οὐδέποτε σωφρονισθῆναι δυνα-
μένην κακίαν· Δίκαιον μὲν ἦν, ἔφη, τὰ ἔσχατα παθεῖν, 1087
ἅτε δὴ καὶ αὐτοὶ πράττειν ἐμέλλετε, εἰ κατωρθώσατε
ἃς πολλάκις ἤλθετε ἐπ' † αὐτοὺς ὁδούς· οὐ μέντοι
Ῥωμαίους τὰ δίκαια πρὸ τῶν ἐπιεικῶν προελέσθαι λο-
γιζομένους, ὅτι συγγενεῖς εἰσι καὶ ἐπὶ τὸν ἔλεον τῶν
ἀδικουμένων καταπεφεύγασιν, ἀλλὰ καὶ ταύτας τὰς
ἁμαρτίας αὐτοῖς ἀζημίους ἀφιέναι θεῶν τε ὁμογνίων
ἕνεκα καὶ τύχης ἀτεκμάρτου, παρ' ἧς τὸ κράτος ἔσχον.
2 νῦν μὲν οὖν, ἔφη, παντὸς ἠλευθερωμένοι ⟨δέους⟩ πο-
ρεύεσθε, ἐὰν δὲ τοὺς αἰχμαλώτους ἀπολύσητε καὶ τοὺς
αὐτομόλους παραδῶτε ἡμῖν καὶ τοὺς φυγάδας ἐξελά-
σητε, τότε τοὺς περὶ φιλίας τε καὶ συμμαχίας διαλε-
ξομένους πρέσβεις πέμπετε πρὸς ἡμᾶς, ὡς οὐδενὸς 1088
ἀτυχήσοντες τῶν μετρίων. ἀπήεσαν οἱ πρέσβεις ταύ-

2 ποιήσεσθαι BE 3 ταῦτα μὲν οὖν ABb οὖν om. Ba τ. μὲν ἦν c. Sylburg 5 *τὰ ἐναντία O 8 αὐτοῖς om. B 9 ἔφη om. B | δίκαιοι μὲν ἦτε — ἅ γε Cobet Obs. p. 115 10 κατορθώσ⟨α⟩τε Bb 11 ἐμάθετε ἐπ' αὐτοὺς O ἔβατε ἐπαράτους c. Reiske ἐβαδίσατε ἐπιβούλους c. Sintenis Em. Dion. II 26 ἤλθετε ἐπ' αὐτοῖς Kayser Ann. phil. 1866 p. 43 ἤλθετε ἀπίστους c. ego, ἤλθετε ἐπ' ἄλλους Schenkl Bursiani Litter. ann. breviar. p. 39 11 οὐ] ὁ B 12 προελεῖσθαι Cobet l. l. | λογιζόμενος B 17 πάντως B παντὸς R | δέους add. Reiske 19 παραποδῶτε B 22 ἀτυχήσοντας O corr. Sylburg

τας τὰς ἀποκρίσεις λαβόντες καὶ μετ᾽ ὀλίγας ἡμέρας ἧκον τούς τ᾽ αἰχμαλώτους ἀφεικότες καὶ τοὺς ἁλόντας τῶν αὐτομόλων δεσμίους ἄγοντες καὶ τοὺς ἅμα Ταρκυνίῳ φυγάδας ἐξεληλακότες ἐκ τῶν πόλεων. ἀνθ᾽ ὧν εὕροντο παρὰ τῆς βουλῆς τὴν ἀρχαίαν φιλίαν καὶ συμμαχίαν καὶ τοὺς ὅρκους τοὺς ὑπὲρ τούτων ποτὲ γενομένους διὰ τῶν εἰρηνοδικῶν ἀνενεώσαντο. ὁ μὲν δὴ πρὸς τοὺς τυράννους συστὰς πόλεμος τετρακαιδεκαέτης ἀπὸ τῆς ἐκπτώσεως αὐτῶν γενόμενος τοιαύτης ἔτυχε τελευτῆς. Ταρκύνιος δ᾽ ὁ βασιλεύς, οὗτος γὰρ 3
ἔτι λοιπὸς ἐκ τοῦ γένους ἦν, ὁμοῦ τι γεγονὼς ἐνενηκονταέτης κατὰ τὸν χρόνον τοῦτον, ἀπολωλεκὼς τὰ τέκνα καὶ τὸν τῶν κηδεστῶν οἶκον καὶ γῆρας ἐλεεινὸν καὶ παρ᾽ ἐχθροῖς διαντλῶν, οὔτε Λατίνων ὑποδεχο-
1089μένων αὐτὸν ἔτι ταῖς πόλεσιν, οὔτε Τυρρηνῶν οὔτε Σαβίνων οὔτ᾽ ἄλλης πλησιοχώρου πόλεως ἐλευθέρας οὐδεμιᾶς, εἰς τὴν Καμπανίδα Κύμην ᾤχετο πρὸς Ἀριστόδημον τὸν ἐπικληθέντα Μαλακὸν τυραννοῦντα τότε Κυμαίων· παρ᾽ ᾧ βραχύν τινα ἡμερῶν ἀριθμὸν ἐπιβιοὺς ἀποθνήσκει καὶ θάπτεται ὑπ᾽ αὐτοῦ. τῶν δὲ σὺν ἐκείνῳ φυγάδων οἱ μὲν ἐν τῇ Κύμῃ κατέμειναν, οἱ δ᾽ εἰς ἄλλας τινὰς πόλεις σκεδασθέντες ἐπὶ ξένης τὸν βίον κατέστρεψαν.

XXII. Ῥωμαίοις δὲ καταλυσαμένοις τοὺς ὑπαίθρους πολέμους ἡ πολιτικὴ στάσις αὖθις ἐπανίστατο τῆς μὲν βουλῆς ψηφισαμένης καθίζειν τὰ δικαστήρια καὶ τὰς

5 τῆς πόλεως O corr. Sylburg   8 ἐνστὰς O corr. Reiske *τετρακαιδεκέτης O   11 ἐνενήκοντα ἔτη A   ἐνενηκονταέτης B 16 ἐλευθερίας B   24 ὑπαιθρίους c. Kiessling dubitanter 25 ἀνίστατο c. Cobet Obs. p. 115

γραφὴν τῶν στρατιωτῶν ἔμελλον ποιεῖσθαι. ὡς δ' οὐχ ὑπήκουον αὐτοῖς οἱ δημοτικοὶ καλούμενοι πολλάκις ἐπὶ τὸν στρατιωτικὸν ὅρκον, οὐκέτι τὴν αὐτὴν ἑκάτερος εἶχε γνώμην, ἀλλ' ἔνθεν ἀρξάμενοι διεστήκεσάν τε καὶ O τἀναντία πράττοντες ἀλλήλοις παρὰ πάντα τὸν τῆς
3 ἀρχῆς χρόνον διετέλεσαν. Σερουιλίῳ μὲν γὰρ ἐδόκει τὴν ἐπιεικεστέραν τῶν ὁδῶν πορεύεσθαι τῇ Μανίου Οὐαλερίου γνώμῃ τοῦ δημοτικωτάτου προσθεμένῳ, ὃς ἠξίου τὴν ἀρχὴν ἰάσεσθαι τῆς στάσεως μάλιστα μὲν ἄφεσιν ἢ μείωσιν τῶν χρεῶν ψηφισαμένους, εἰ δὲ μήγε κώλυσιν τῆς ἀπαγωγῆς τῶν ὑπερημέρων κατὰ τὸ παρόν, παρακλήσει τε μᾶλλον ἢ ἀνάγκῃ τοὺς πένητας ἐπὶ τὸν στρατιωτικὸν ὅρκον ἄγειν καὶ τὰς τιμωρίας κατὰ τῶν ἀπειθούντων μὴ χαλεπὰς ποιεῖσθαι καὶ ἀπαραιτήτους, ὡς ἐν ὁμονοούσῃ πόλει, μετρίας δέ τινας καὶ ἐπιεικεῖς· κίνδυνον γὰρ ἂν εἶναι, μὴ πρὸς ἀπόνοιαν τράπωνται συνελθόντες εἰς ταὐτὸν ἄνθρωποι τῶν καθ' ἡμέραν ἐνδεεῖς ἀναγκαζόμενοι στρατεύεσθαι τέλεσιν οἰκείοις.

XXIIII. Ἀππίου δ' ἦν γνώμη τοῦ κορυφαιοτάτου τῶν προεστηκότων τῆς ἀριστοκρατίας αὐστηρὰ καὶ αὐθάδης μηδὲν ἐνδιδόναι τῷ δήμῳ μαλακόν, ἀλλὰ καὶ τῶν συναλλαγμάτων τὰς ἀναπράξεις ἐπιτρέπειν τοῖς 1094 δεδανεικόσιν, ἐφ' οἷς συνέβαλον δικαίοις ποιεῖσθαι, καὶ τὰ δικαστήρια καθίζειν, καὶ τὸν ἐν τῇ πόλει μένοντα τῶν ὑπάτων κατὰ τοὺς πατρίους ἐθισμοὺς καὶ

2 ὑπήκοον B 4 ἐνθένδε c. Bücheler 5 *τὰ ἐναντία O 7 Μάρκου c. Portus 8 προσθεμένων B 9 ἰάσεσθαι B ἰάσασθαι R 16 ἂν del. Cobet Obs. p. 116 24 ἔβαλον A ἔβαλλον B ἔμελλον vulgo συνέβαλον Kiessling 26 καὶ post

τὰς τιμωρίας, ἃς κατὰ τῶν ἐκλιπόντων ⟨οἱ⟩ περὶ αὐ-
τῶν νόμοι δεδώκασιν, ἀναπράττεσθαι, εἴκειν δὲ τοῖς
δημοτικοῖς μηδὲν ὅ τι μὴ δίκαιον μηδὲ δύναμιν αὐτοῖς
συγκατασκευάζειν πονηράν. Καὶ γὰρ νῦν, ἔφη, πέρα 2
τοῦ μετρίου τρυφῶσι τελῶν ἀφειμένοι, ὧν ἐτέλουν τοῖς
βασιλεῦσι πρότερον, καὶ τῶν εἰς τὸ σῶμα τιμωριῶν,
αἷς ἐκολάζοντο ὑπ᾽ αὐτῶν, ὁπότε μὴ ταχέως ὑπηρετή-
σειάν τι τῶν ἐπιταττομένων, ἐλεύθεροι γεγονότες. ἐὰν
δέ τι παρακινεῖν ἢ νεωτερίζειν προενεχθέντες ἐπιβά-
λωνται, κατείργωμεν αὐτοὺς τῷ σωφρονοῦντι μέρει τῆς
πόλεως καὶ ὑγιαίνοντι πλείονι τοῦ νοσοῦντος φανη-
σομένῳ. ὑπάρχει μέν γ᾽ ἡμῖν οὐ μικρὰ ἰσχὺς πρὸς 3
'96 τὰ πράγματα καὶ ἡ τῶν πατρικίων νεότης ἕτοιμος τὰ
κελευόμενα ποιεῖν· μέγιστον δὲ πάντων ὅπλον καὶ
δυσκαταγώνιστον, ᾧ χρώμενοι ῥαδίως ἐπικρατήσομεν
τῶν δημοτικῶν, τὸ τῆς βουλῆς κράτος, ᾧ δεδιττόμεθα
αὐτοὺς μετὰ τῶν νόμων ἱστάμενοι. ἐὰν δ᾽ ὑποκατα-
κλινώμεθα αὐτοῖς τῆς ἀξιώσεως, πρῶτον αἰσχύνην
ὀφλήσομεν, εἰ παρὸν ἐν ἀριστοκρατίᾳ πολιτεύεσθαι
δήμῳ τὰ κοινὰ ἐπιτρέψομεν· ἔπειτα δ᾽ εἰς κίνδυνον
οὐ τὸν ἐλάχιστον ἥξομεν, εἴ τις ἐκθεραπεύσας αὐτὸν
ἐξουσίαν κρείττονα τῶν νόμων κατασκευάσαιτο τυραν-
νικὸς ἀνήρ, τὴν ἐλευθερίαν αὖθις ἀφαιρεθῆναι. Τοι-

ἐθισμοὺς del. Kiessling, vocem quandam post καὶ excidisse pro certo habeo

1 οἱ om. O add. Casaubonus 4 πέραν B 9 νεωτερίζειν ACmgEb μετεωρίζειν BCDEa 10 καθείργωμεν B 13 καὶ del. Kiessling | ἑτοίμως B 16 δεδιττώμεθα A def. Sylburg 17 ἱσταμένῳ c. Reiske | ὑποκλινώμεθα B 18 αὐτῶν O αὐτοῖς Reiske | πρῶτον μὲν Cobet Obs. p. 116 20 ἔπειτ᾽ ἂν εἰς O ἔπειτα δ᾽ εἰς Kiessling ἔπειτ᾽ εἰς Baumann Obs. gram. de mod. usu p. 33 21 ἥξοιμεν c. Reiske

*αὔτα διαφερομένων τῶν ὑπάτων κατὰ σφᾶς αὐτοὺς καὶ ὁπότε συναχθείη συνέδριον καὶ συλλαμβανόντων πολλῶν ἑκατέρῳ, ἡ μὲν βουλὴ φιλονεικίας καὶ θορύβους καὶ λόγους ἀκόσμους, οἷς ἀλλήλους προὐπηλάκιζον, ἀκούσασα, σωτήριον δὲ βούλευμα οὐδὲν καθισταμένη, διελύετο.*

XXV. *Διατριβομένου δ' εἰς ταῦτα πολλοῦ χρόνου* 109
*ὁ ἕτερος τῶν ὑπάτων Σερουίλιος· ἦν γὰρ ἡ στρατεία*
*κατὰ κλῆρον ἐκείνῳ προσήκουσα· πολλῇ δεήσει καὶ*
*θεραπείᾳ παρασκευασάμενος τὸ δημοτικὸν συνάρασθαι*
*τοῦ πολέμου, δύναμιν ἔχων οὐκ ἐκ καταλόγου προσηναγκασμένην, ἀλλ' ἑκούσιον, ὡς οἱ καιροὶ παρεκάλουν,*
*ἐξῆλθεν ἐπὶ τὸν πόλεμον ἔτι τῶν Οὐολούσκων παρασκευαζομένων καὶ Ῥωμαίους μὲν οὔτε προσδεχομένων*
*μετὰ δυνάμεως ἥξειν ἐπὶ σφᾶς, οὕτω στασιαστικῶς*
*πολιτευομένους καὶ ἐχθρῶς ἔχοντας πρὸς ἀλλήλους,*
*οὔτ' εἰς χεῖρας ἥξειν τοῖς ἐπιοῦσιν οἰομένων· σφίσι*
*δὲ πολλὴν ἐξουσίαν ὑπάρχειν ὁπότε βούλοιντο τοῦ*
2 *πολέμου ἄρχειν. ἐπειδὴ δ' ᾔσθοντο πολεμεῖν δέον*
*αὐτοὶ πολεμούμενοι, τότε δὴ καταπεπληγότες τὸ τῶν*
*Ῥωμαίων τάχος, ἱκετηρίας ἀναλαβόντες ἐκ τῶν πόλεων* 109
*οἱ γεραίτατοι προήεσαν ἐπιτρέποντες τῷ Σερουϊλίῳ*

2 *τὸ συνέδριον* c. Sylburg qui *καὶ* del. 3 *ἑκατέρων* AB *ἑκατέρῳ* DEb | *καὶ θορύβους* post *ἀκόσμους* B 4 **προεπηλάκιζον* O 5 *καταστησαμένη* c. Reiske 8 *στρατιὰ* ABD 11 *ἔχον* 15 *στασιαστικῶς* B *στρατιωτικῶς* ADE 16 *ἔχθρας* B 17 *τοῖς*] *αὐτοῖς* Reiske 18 *βούλοιτο* B 19 *ἤρχοντο* O *ᾔσθοντο* Reiske *ἐπειδὴ δ' ἤρχοντο πολεμεῖσθαι δέον αὐτοὶ πολεμεῖν* c. Sylburg vel *τὸ δέον* expungenda vel *δέον αὐτοὺς πολεμεῖσθαι* legenda c. Portus *ἐπειδὴ δ' ἤρχοντο αὐτοὶ πολεμούμενοι, τότε δὴ πολεμεῖν δέον* c. Schnelle Exerc. crit. p. 34 22 *γεραίτεροι* B | *προσήεσαν* B

χρῆσθαι σφίσιν ὡς ἡμαρτηκόσιν ὅ τι βούλοιτο. ὁ δὲ τροφὰς τῷ στρατεύματι παρ' αὐτῶν λαβὼν ἐσθῆτάς τε καὶ τριακοσίους ⟨υἱοὺς⟩ εἰς ὁμηρείαν ἐκ τῶν ἐπιφανεστάτων οἴκων ἐπιλεξάμενος ᾤχετο, λελύσθαι τὸν πόλεμον ὑπολαβών. ἦν δ' ἄρα τοῦτ' οὐ λύσις, ἀνα- 3 βολὴ δέ τις καὶ παρασκευῆς ἀφορμὴ τοῖς φθασθεῖσι τῷ παρ' ἐλπίδα τῆς ἐφόδου, ἀπελθόντος τε τοῦ τῶν Ῥωμαίων στρατεύματος ἐξήπτοντο πάλιν οἱ Οὐολοῦσκοι τοῦ πολέμου τάς τε πόλεις φραξάμενοι, καὶ εἴ τι ἄλλο χωρίον ἐπιτήδειον ἦν ἀσφάλειαν σφίσι παρασχεῖν διὰ φυλακῆς κρείττονος ἔχοντες· συνήπτοντο δ' αὐτοῖς τοῦ κινδύνου φανερῶς μὲν Ἕρνικες καὶ Σαβῖνοι, κρύφα δὲ καὶ ἄλλων συχνοί. Λατῖνοι δὲ πρεσβείας πρὸς αὐτοὺς ἐπὶ συμμαχίας αἴτησιν ἀφικομένης δήσαντες τοὺς
1098 ἄνδρας εἰς Ῥώμην ἤγαγον. οἷς ἡ βουλὴ τῆς βεβαίου 4 πίστεως χάριν ἀποδιδοῦσα καὶ ἔτι μᾶλλον τῆς εἰς τὸν ἀγῶνα προθυμίας· ἕτοιμοι γὰρ ἦσαν ἑκούσιοι συμπολεμεῖν· ὃ μάλιστα μὲν βούλεσθαι αὐτοὺς ᾤετο, δι' αἰσχύνης δ' ἔχειν αἰτήσασθαι, τοῦτ' αὐτοῖς ἐχαρίσατο, τοὺς ἐν τοῖς πολέμοις ἁλόντας αὐτῶν ἑξακισχιλίων ὀλίγον ἀποδέοντας προῖκα δωρησαμένη καὶ ὡς ἂν μάλιστα κόσμον ἡ δωρεὰ προσήκοντα τῇ συγγενείᾳ λάβοι πάντας αὐτοὺς ἐσθῆσιν ἀμφιέσασα ἐλευθέροις σώμασι πρεπούσαις. τῆς δὲ συμμαχίας οὐδὲν αὐτῇ ἔφη δεῖν τῆς Λατίνων ἱκανὰς λέγουσα εἶναι τὰς οἰκείας τῇ Ῥώμῃ δυνάμεις ἀμύνασθαι τοὺς ἀφισταμένους. ταῦτ' ἐκεί-

3 ἄνδρας τριακοσίους c. Kiessling τριακοσίους υἱοὺς ego 8 οἱ add. B 13 τῶν ἄλλων DE 18 βουλεύεσθαι O corr. Sylburg | verba inde ab ᾤετο usque αὐτοῖς om. BC 19 τούτοις O τοῦτ' αὐτοῖς Reiske 22 ἢ δωρεὰν προσήκοντα τῆς συγγενείας λάβοι B 23 ἐσθήσεσιν BC

*νοις ἀποκριναμένη ψηφίζεται τὸν κατ' Οὐολούσκων πόλεμον.*

XXVI. *Ἔτι δ' αὐτῆς ἐν τῷ βουλευτηρίῳ καθεζομένης καὶ τίνες εἶεν δυνάμεις τὰς ἐξελευσομένας σκο-* 1099
*πούσης, εἰς τὴν ἀγορὰν ἀνὴρ πρεσβύτερος ἐφάνη ῥάκος ἠμφιεσμένος, πώγωνα βαθὺν καθεικὼς καὶ κόμην βοῶν καὶ ἐπικαλούμενος τὴν ἐξ ἀνθρώπων ἐπικουρίαν. συνδραμόντος δὲ τοῦ πλησίον ὄχλου στάς, ὅθεν ἔμελλε πολλοῖς καταφανὴς ἔσεσθαι, ἔφη, Γεννηθεὶς ἐλεύθερος, ἐστρατευμένος τὰς ἐν ἡλικίᾳ στρατείας, καὶ δυεῖν δεούσας τριάκοντα μάχας ἀγωνισάμενος, καὶ ἀριστεῖα πολλάκις εἰληφὼς ἐκ τῶν πολέμων, ἐπειδὴ κατέσχον οἱ τὴν πόλιν εἰς τὰς ἐσχάτας ἄγοντες στενοχωρίας καιροί, χρέος ἠναγκάσθην λαβεῖν ἕνεκα τοῦ διαλῦσαι τὰς εἰσπραττομένας εἰσφοράς, ὡς τὸ μὲν χωρίον οἱ πολέμιοι κατέδραμον, τὰ δὲ κατὰ πόλιν αἱ σιτοδεῖαι κατανάλωσαν, ὅθεν διαλύσαιμί μου τὸ χρέος οὐκ ἔχων, ἀπήχθην δοῦλος ὑπὸ τοῦ δανειστοῦ σὺν τοῖς υἱοῖς δυσίν· ἐπιτάττοντος δὲ τοῦ δεσπότου τῶν οὐ ῥᾳδίων ἔργον τι ἀντειπὼν αὐτῷ πληγὰς ἔλαβον μάστιξι πάνυ*
2 *πολλάς. ταῦτ' εἰπὼν ἐρρίπτει τὸ ῥάκιον καὶ ἐδείκνυε τὸ στῆθος μεστὸν τραυμάτων, τὰ δὲ νῶτα αἵματος ἐκ* 1100
*τῶν πληγῶν ἀνάπλεω. κραυγῆς δὲ καὶ οἰμωγῆς ἐκ τῶν παρόντων γινομένης ἥ τε βουλὴ διελύθη καὶ κατὰ*

4 *τίνας εἶναι δυνάμεις τὰς ἐξελευσομένας* O *τίνες εἶεν δυνάμεις τὰς ἐξ.* Portus *χρὴ* vel *δεῖ* ante *εἶναι* excidisse c. Sylburg 9 *καταφανήσεσθαι* A 10 *στρατιὰς πάσας* B 11 *ἠγωνισμένος* c. Reudler Tiroc. p. 46 13 *στενοχωρίας ἄγοντες* B 14 *ἀναγκασθεὶς* O *ἠναγκάσθην* c. Reiske 17 **διαλύσαι μου* A *διαλῦσαί μου* B *διαλύσαιμί μου* ego 20 *ἔργων ἀντειπὼν* ABD *ἔργων τι ἀ.* R *ἔργον τι ἀ.* Cobet Obs. p. 116 | *λαβεῖν* ABC *λαβὼν* DE *ἔλαβον* c. Reiske 21 *ἐδείκνυ* B

τὴν πόλιν ὅλην δρόμος ἦν τῶν ἀπόρων ⟨τὴν⟩ ἰδίαν
τύχην ἀνακλαιομένων καὶ βοηθεῖν τοὺς πέλας ἀξιούν-
των· ἔκ τε τῶν οἰκιῶν οἱ πρὸς τὰ χρέα δουλωθέντες
⟨ἐξώρμων⟩ κομῶντες, ἁλύσεις ἔχοντες οἱ πλεῖστοι καὶ
πέδας οὐδενὸς ἀντιλαμβάνεσθαι τολμῶντος αὐτῶν, εἰ
δ' ἅψαιτο μόνον, ἐν χειρῶν νόμῳ διασπαραττομένου.
τοσαύτη λύττα τὸν δῆμον ἐν τῷ τότε καιρῷ κατεῖχε, 3
καὶ μετ' οὐ πολὺ μεστὴ τῶν ἐκφυγόντων τὰς ἀνάγκας
ἦν ἡ ἀγορά. ὁ μὲν οὖν Ἄππιος δείσας τὴν ἐφ' ἑαυ-
τὸν ὁρμὴν τοῦ πλήθους, ἐπειδὴ τῶν κακῶν ἦν αἴτιος,
καὶ δι' ἐκεῖνον ἐδόκει ταῦτα γεγονέναι, φεύγων ἐκ τῆς
ἀγορᾶς ᾤχετο. ὁ δὲ Σερουίλιος ῥίψας τὴν περιπόρ-
101 φυρον ἐσθῆτα καὶ προκυλιόμενος τῶν δημοτικῶν ἑκά-
στου μετὰ δακρύων, μόλις αὐτοὺς ἔπεισεν ἐκείνην μὲν
τὴν ἡμέραν ἐπισχεῖν, εἰς δὲ τὴν ἐπιοῦσαν ἥκειν, ὡς
τῆς βουλῆς ἐπιμέλειάν τινα περὶ αὐτῶν ποιησομένης.
ταῦτ' εἰπὼν καὶ τὸν κήρυκα ἀνειπεῖν κελεύσας μηδένα
τῶν δανειστῶν ἐξεῖναι σῶμα πολιτικὸν πρὸς ἴδιον χρέος
ἄγειν, ἕως [ἂν] ἡ βουλὴ περὶ αὐτῶν διαγνοίη, τοὺς
δὲ παρόντας ὅποι βούλοιντο ἀδεῶς ἀπιέναι, διέλυσε
τὸν θόρυβον.

XXVII. Τότε μὲν οὖν ᾤχοντο ἐκ τῆς ἀγορᾶς, τῇ

1 ἰδίαν τύχην O praeter Cmg qui τὴν ἰδίαν τύχην praebet　5 post πέδας verbum ἐξῆλθον, ἐξώρμησαν, ἐξέδραμον vel simile quid omissum esse c. Portus et Sylburg, post οἰκιῶν excidisse ἐξεπήδων c. Reiske (cf. Sintenis Em. Dion. I 23) ἐξέφυγον c. Kiessling, ante κομῶντες v. 4 inserui ἐξώρμων | τολμῶντος ἀντιλαμβάνεσθαι B　6 ἐκ χειρὸς νόμῳ O ἐν χειρὸς νόμῳ Göttling, Röm. Staatsverf. p. 13 | διασπαραττομένους ADE διαπραττομένους BC corr. Stephanus　8 *οὐ μετὰ πολὺ O　9 ἦν om. B　19 ἕως ἂν — διαγνοίη O ἕως διαγνοίη vel ἕως ἂν διαγνῷ Hertlein Hermes X 415 | ἄγειν] ἀπάγειν c. Cobet Obs. p. 116　20 ἀπεῖναι B

δ' ἑξῆς ἡμέρᾳ παρῆν οὐ μόνον ὁ κατὰ πόλιν ὄχλος,
ἀλλὰ καὶ ἐκ τῶν σύνεγγυς ἀγρῶν τὸ δημοτικὸν πλῆ-
θος καὶ ἦν ἐξ ἑωθινοῦ πλήρης ἡ ἀγορά. τῆς δὲ βου-
λῆς συναχθείσης, ἵνα περὶ τούτων βουλεύσειεν, ὅ τι
χρὴ πράττειν, ὁ μὲν Ἄππιος δημοκόπον ἐκάλει τὸν 110
συνάρχοντα καὶ τῆς ἀπονοίας τῶν ἀπόρων ἡγεμόνα,
ὁ δὲ Σερουίλιος ἐκεῖνον αὐστηρὸν καὶ αὐθάδη καὶ
τῶν παρόντων τῇ πόλει κακῶν αἴτιον· τέλος δ' οὐδὲν
2 ἐγίνετο τῶν λόγων. ἐν δὲ τούτῳ Λατίνων ἱππεῖς κατὰ
σπουδὴν ἐλαύνοντες τοὺς ἵππους παρῆσαν εἰς τὴν ἀγο-
ρὰν ἐξεληλυθότας ἀγγέλλοντες τοὺς πολεμίους μεγάλῃ
στρατιᾷ καὶ ὄντας ἐπὶ τοῖς ἑαυτῶν ὁρίοις ἤδη. καὶ
οἱ μὲν ταῦτα, οἱ δὲ πατρίκιοι καὶ τὸ τῶν ἱππέων πλῆ-
θος τῶν τ' ἄλλων, ὅσοι πλούτους ἢ δόξας προγονικὰς
εἶχον, οἷα δὴ περὶ μεγάλων κινδυνεύοντες ὡπλίζοντο
3 διὰ τάχους· ὅσοι δ' ἦσαν αὐτῶν ἄποροι, μάλιστα δ'
οἱ τοῖς δανείοις πιεζόμενοι, οὔθ' ὅπλων ἥπτοντο οὔτ'
ἄλλως παρείχοντο τοῖς κοινοῖς πράγμασιν ἐπικουρίαν
οὐδεμίαν, ἡδόμενοι δὲ καὶ κατ' εὐχὴν δεχόμενοι τὸν
ἔξωθεν πόλεμον, ὡς τῶν παρόντων σφᾶς κακῶν ἐλευ-
θερώσοντα, τοῖς ⟨δὲ⟩ δεομένοις ἀμύνειν ἐπιδεικνύντες
τὰς ἁλύσεις καὶ τὰς πέδας, ἐπικερτομοῦντες ἠρώτων, 110
εἰ τούτων φυλακῆς ἕνεκα τῶν ἀγαθῶν ἄξιον εἴη σφίσι
πολεμεῖν· πολλοὶ δὲ καὶ λέγειν ἐτόλμων, ὡς ἄμει-
νον εἴη Οὐολούσκοις δουλεύειν μᾶλλον ἢ τὰς ὕβρεις
τῶν πατρικίων ὑπομένειν· ἥ τε πόλις οἰμωγῆς καὶ

6 ἀπο⟨νοί⟩ας B | ⟨ἀπό⟩ρων B  16 αὐτῶν post μάλιστα δ' ponendum censet Bücheler  αὐτῶν del. Sylburg  ὅσοι δ' ἦσαν τῶν ἀπόρων c. Grasberger Tess. Herbip. p. 29  21 δὲ del. Reiske  24 δὲ om. B

θορύβου καὶ παντοίων γυναικείων ὀδυρμῶν ἐνεπίμ-
πλατο.

XXVIII. Ταῦθ' ὁρῶντες οἱ βουλευταὶ τὸν ἕτερον
τῶν ὑπάτων Σερουίλιον, ὃς ἐν τῷ παρόντι πιθανώτε-
ρος εἶναι τοῖς πολλοῖς ἐδόκει, βοηθεῖν ἐδέοντο τῇ πα-
τρίδι. ὁ δὲ συγκαλέσας ⟨τὸν δῆμον⟩ εἰς τὴν ἀγορὰν
τοῦ παρόντος καιροῦ τὴν ἀνάγκην ἐπεδείκνυεν οὐκέτι
προσδεχομένην πολιτικὰς φιλονεικίας καὶ ἠξίου νῦν
μὲν ὁμόσε τοῖς πολεμίοις χωρεῖν κοινῇ γνώμῃ χρησα-
μένους καὶ μὴ περιιδεῖν ἀνάστατον τὴν πατρίδα γινο-
μένην, ἐν ᾗ θεοὶ πατρῷοι καὶ θῆκαι προγόνων ἑκάστοις
ἦσαν, ἃ τιμιώτατά ἐστι πᾶσιν ἀνθρώποις· γονέων τε
αἰδῶ λαβεῖν οὐχ ἱκανῶν ἐσομένων ἑαυτοῖς διὰ γῆρας
ἀμύνειν, καὶ γυναικῶν ἔλεον ἃς αὐτίκα μάλα δεινὰς
1104 καὶ ἀφορήτους ὕβρεις ἀναγκασθησομένας ὑπομενεῖν,
μάλιστα δὲ παίδων ἔτι νηπίων οὐκ ἐπὶ τοιαύταις ἐλ-
πίσιν ἀνατραφέντων οἰκτεῖραι λώβας καὶ προπηλακισ-
μοὺς ἀνηλεεῖς· ὅταν δὲ τὸν παρόντα κίνδυνον ἅπαντες 2
ὁμοίαις προθυμίαις χρησάμενοι παραλύσωνται, τότε δὴ
σκοπεῖν, τίνα τρόπον ἴσην καὶ κοινὴν καὶ σωτήριον
ἅπασι τὴν πολιτείαν καταστήσονται, μήτε τῶν πενή-
των ἐπιβουλευόντων ταῖς τῶν πλουσίων οὐσίαις μήτ'

1 ἐπίμπλατο O ἐνεπίμπλατο Cobet Obs. p. 117 3 post τὸν ἕτερον participium excidisse c. Cobet Obs. p. 117 6 τὸν δῆμον sive τὸ πλῆθος excidisse c. Portus 10 γενομένην O γινομένην Hertlein Hermes X 415 11 καὶ ἔθη καὶ AB καὶ θῆκαι DE 12 ἔστιν ἅπασιν O praeter B 14 ἔλεον ἃς O ἔλεον τῶν vulgo ἃς del. editio Kiesslingiana, ὡς c. Kiessling Pr. Bas. p. 17 15 ἀπορρήτους O ἀφορήτους Kiessling Pr. Bas. p. 17 | ἀναγκασθησομένας O ἀναγκασθησομένων Stephanus ἃς — ἀναγκασθησομένας ὑπομενεῖν Meutzner p. 257 19 παραλύσωνται] ἀποκρούσωνται vel ἀπώσωνται c. Sylburg

ἐκείνων προπηλακιζόντων τοὺς ταῖς τύχαις ταπεινοτέρους· ἥκιστα γὰρ εἶναι ταῦτα πολιτικά· ἀλλὰ καὶ τοῖς ἀπόροις ἐπικουρία τις ἔσται πολιτική, καὶ τοῖς συμβάλλουσι τὰ χρέα βοήθεια μετρία τοῖς γοῦν ἀδικουμένοις, καὶ τὸ κράτιστον τῶν ἐν ἀνθρώποις ἀγαθῶν καὶ πάσας φυλάττον ἐν ὁμονοίᾳ τὰς πόλεις, πίστις ἐπὶ συναλλαγαῖς, οὐχ ἅπασα καὶ διὰ παντὸς ἐκ μόνης
3 ἀναιρεθήσεται τῆς Ῥωμαίων πόλεως. Ταῦτα καὶ ὅσα 1105
ἄλλα ἐν τοιούτῳ καιρῷ λεχθῆναι προσῆκε διεξελθὼν τελευτῶν ὑπὲρ τῆς ἰδίας εὐνοίας, ἣν ἔχων διετέλει πρὸς τὸν δῆμον, ἀπελογεῖτο, καὶ ἠξίου συνάρασθαι τῆς στρατείας αὐτῷ ταύτης, ἀνθ' ὧν πρόθυμος εἰς αὐτοὺς ἦν, τῆς μὲν κατὰ πόλιν ἐπιμελείας τῷ συνάρχοντι προσηκούσης, ἑαυτῷ δὲ τῆς ἡγεμονίας τῶν πολέμων ἀποδεδομένης· ταύτας γὰρ τὰς τύχας αὐτοῖς βραβεῦσαι τὸν κλῆρον. ὑπεσχῆσθαι δ' αὐτῷ ἔφη τὴν βουλὴν ἐμπεδώσειν, ὅ τι ἂν διομολογήσηται τῷ πλήθει, αὐτὸν δ' ἐκείνοις, πείσειν τοὺς δημότας μὴ προδώσειν τοῖς πολεμίοις τὴν πατρίδα.

XXVIIII. Ταῦτ' εἰπὼν ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν, ὅσοι ἂν Ῥωμαίων ἐπὶ τὸν κατ' αὐτῶν πόλεμον

3 συμβάλλουσι B συμβαλοῦσι R 11 ἀπολογεῖτο] διελέγετο c. Cobet Obs. p. 117 12 στρατιᾶς B 15 ἀποδιδομένης B 16 αὐτῷ O αὑτῷ Meutzner p. 257 18 αὐτὸν O αὐτὸς Cobet Obs. p. 117, Hertlein Hermes X 415 αὑτὸν Meutzner l. l. | ἐκείνους O ἐκείνοις Sylburg | προδώσειν O προδοῦναι c. Hertlein Hermes X 415 20 ἐκέλευε B 21 ἐπὶ τὸν κατὰ Οὐολούσκων πόλεμον κατ' αὐτῶν O ἐκστρατεύσωσι A στρατεύσωσι B pro κατ' αὐτῶν Gelenius videtur legisse μετ' αὐτοῦ. Lapus vertit 'per se', καταντῶντες c. Reiske, ἐκ ταὐτομάτου στρατεύσωσιν vel αὐτοὶ καθ' ἑαυτοὺς στρατεύσωσιν c. Kiessling Pr. Bas. p. 17 κατὰ Οὐολούσκων deletis κατ' αὐτῶν post ἐπὶ τὸν posuit Kayser Ann. phil. 1866 p. 46

ἐκστρατεύσωσι, τὰς τούτων οἰκίας μηδένα ἐξεῖναι μήτε
106 πωλεῖν μήτ' ἐνεχυράζειν μήτε γένος αὐτῶν ἀπάγειν πρὸς μηδὲν συμβόλαιον μήτε κωλύειν τὸν βουλόμενον τῆς στρατείας κοινωνεῖν. ὅσοι δ' ἂν ἀπολειφθῶσι τῆς στρατείας, τὰς κατὰ τούτων πράξεις ὑπάρχειν τοῖς δανεισταῖς, ἐφ' οἷς ἑκάστοις συνέβαλον. ὡς δὲ ταῦτ' ἤκουσαν οἱ πένητες, αὐτίκα συνέγνωσάν τε καὶ πολλῇ προθυμίᾳ πάντες εἰς τὸν πόλεμον ὥρμηντο, οἱ μὲν ἐλπίσιν ὠφελειῶν ὑπαχθέντες, οἱ δὲ τοῦ στρατηλάτου χάριτι, οἱ δὲ πλεῖστοι τὸν Ἄππιον καὶ τοὺς ἐν τῇ πόλει κατὰ τῶν ὑπομεινάντων προπηλακισμοὺς φεύ-
γοντες. παραλαβὼν δ' ὁ Σερουίλιος τὸ στράτευμα 2
σὺν πολλῇ σπουδῇ ἐλαύνει διαλιπὼν οὐδένα χρόνον, ἵνα συμμίξῃ τοῖς πολεμίοις, πρὶν εἰς Ῥωμαίων χώραν αὐτοὺς εἰσβαλεῖν· καὶ καταλαβὼν περὶ τὸ Πωμεντῖνον χωρίον ἐστρατοπεδευκότας καὶ τὴν Λατίνων χώραν προνομεύοντας, ὅτι παρακαλοῦσιν αὐτοῖς οὐ συνήραντο τοῦ πολέμου, περὶ δείλην ὀψίαν παρὰ λόφον τινὰ ὡς εἴκοσι στάδια τῆς στρατοπεδείας αὐτῶν ἀφεστῶτα τί-
107 θεται τὸν χάρακα· καὶ αὐτοῖς νυκτὸς ἐπιτίθενται Οὐολοῦσκοι ὀλίγους τε δόξαντες εἶναι καὶ ὡς ἐξ ὁδοῦ μακρᾶς κατακόπους προθυμίας τ' ἐνδεεῖς ἔχοντας διὰ τοὺς ἐκ τῶν πενήτων περὶ τὰ χρέα νεωτερισμοὺς ἐν ἀκμῇ μάλιστα δοκοῦντας εἶναι. ὁ δὲ Σερουίλιος ἔτι 3
νυκτὸς ἀπὸ τοῦ χάρακος ἀγωνισάμενος, ἐπεὶ δὲ φῶς

1 μηδενὶ c. Cobet Obs. p. 117 | μήτε ante κατέχειν om. B 6 ἕκαστοι O praeter C, ἑκάστοις Sintenis quoque Em. Dion. II 28 7 τε om. B 11 ἀπομεινάντων B 18 περὶ λόφον O corr. Reiske 23 πρὸς τὰ χρέα Tegge de usu praepos. quaest. p. 12 n. | ἐν ἀκμῇ τότε μάλιστα c. Reiske 25 ἐπειδὴ O ἐπεὶ δὲ Sintenis l. l.

*τε ἤδη ἐγένετο καὶ τοὺς πολεμίους ἔμαθεν ἀτάκτως προνομεύοντας, ἀνοῖξαι κελεύσας πυλίδας ἐκ τοῦ χάρακος ἀδήλως συχνάς, ἀφ᾽ ἑνὸς παραγγέλματος ἐφῆκεν ἐπ᾽ αὐτοὺς τὸ στράτευμα. ἐξαπιναίου δὲ τοῦ δεινοῦ καὶ παρὰ δόξαν τοῖς Οὐολούσκοις προσπεσόντος ὀλίγοι μέν τινες ὑποστάντες πρὸς τῷ χάρακι μαχόμενοι κατεκόπησαν· οἱ δ᾽ ἄλλοι φεύγοντες προτροπάδην καὶ πολλοὺς τῶν σφετέρων ἀπολέσαντες τραυματίαι τε οἱ πλεῖστοι καὶ τὰ ὅπλα ἀπολωλεκότες εἰς τὸν χάρακα*
4 *διεσώζοντο. ἑπομένων δ᾽ αὐτοῖς τῶν Ῥωμαίων ἐκ ποδὸς καὶ περισχόντων τὸ στρατόπεδον, βραχύν τινα χρόνον ἀμυνάμενοι παρέδοσαν τὸν χάρακα πολλῶν ἀνδραπόδων τε καὶ βοσκημάτων καὶ ὅπλων καὶ τῆς εἰς τὸν πόλεμον παρασκευῆς γέμοντα. ἑάλω δὲ σώματα ἐλεύθερα συχνά, τὰ μὲν αὐτῶν Οὐολούσκων, τὰ δὲ* 1108
*τῶν αὐτοῖς συναγωνισαμένων ἐθνῶν, χρήματά τε καὶ ὅσα χρυσὸς καὶ ἄργυρος καὶ ἐσθὴς ὥσπερὰν πόλεως τῆς κρατίστης ἁλούσης πάνυ πολλά· τοῖς στρατιώταις ταῦτ᾽ ἐφιεὶς ὁ Σερουίλιος ὡς ἕκαστος ὠφεληθείη καὶ μηδὲν εἰς τὸ δημόσιον ἀναφέρουσι διανείμασθαι κελεύσας καὶ τὸν χάρακα πυρὶ δούς, ἀναλαβὼν τὰς δυνάμεις ἦγεν ἐπὶ τὴν ἀγχοτάτω Σουέσσαν Πωμεντιανήν.*

3 *συχνὰς*] *πυκνὰς* B | *ἀφῆκεν* B  8 *τε* om. B  12 *ἀμυνόμενοι* O corr. Reiske  14 *ἑάλω δὲ σώματα* B *ἑάλω δὲ καὶ σ.* R  16 *χρήματά τε καὶ* O *χρ. δὲ καὶ* Kiessling  17 *ὅσα*] *οἷα* c. Schenkl Bursiani Ann. Litter. breviarium p. 36  19 *ταῦτ᾽* O *πάντ᾽* c. Kiessling | *ἐφιεὶς* O *ἐφεὶς* c. Kiessling | *ὠφεληθείη* O *ὠφεληθῇ* c. Kayser Ann. phil. 1866 p. 43 qui *διανείμασθαι κελεύσας* del.  20 *ἀναφέρωσι* A *ἀναφέρουσι* B *ἀναφέρειν* c. Kiessling | *διανείμασθαι* post *ὠφεληθείη* posuit Kiessling | *μηδὲν δὲ* A *καὶ μηδὲν* B  22 *Πωμεντίαν*, *ἢ μεγέθει τε* [*γὰρ*] *περιβόλου* dubitanter c. Kiessling

μεγέθει τε γὰρ περιβόλου καὶ πλήθεσιν οἰκητόρων, 109ἔτι δὲ δόξῃ καὶ πλούτῳ πολὺ τῶν ταύτῃ ὑπερέχειν ἐδόκει, καὶ ἦν ὥσπερ ἡγεμὼν τοῦ ἔθνους. περιστρατο- 5 πεδεύσας δ' αὐτὴν καὶ οὔθ' ἡμέρας οὔτε νυκτὸς ἀνακαλῶν τὸν στρατόν, ἵνα μηδένα χρόνον οἱ πολέμιοι διαναπαύσαιντο μήθ' ὕπνον αἱρούμενοι μήτε πολέμου παῦλαν δεχόμενοι, λιμῷ καὶ ἀμηχανίᾳ καὶ σπάνει συμ- 4 μάχων παρατείνας εἷλεν αὐτοὺς ἐν οὐ πολλῷ χρόνῳ καὶ τοὺς ἐν ἥβῃ πάντας κατέσφαξεν. ἐπιτρέψας δὲ καὶ ὅσα ἦν ἐνταῦθα χρήματα τοῖς στρατιώταις φέρειν τε καὶ ἄγειν, ἐπὶ τὰς ἄλλας πόλεις ἀπῆγε τὴν δύναμιν οὐθενὸς οὐκέτι τῶν Οὐολούσκων ἀμύνειν τι δυναμένου.

XXX. Ὡς δὲ τοῖς Ῥωμαίοις τεταπεινωμένα ἦν τὰ τῶν Οὐολούσκων πράγματα, προαγαγὼν τοὺς ὁμήρους αὐτῶν εἰς τὴν ἀγορὰν ὁ ἕτερος τῶν ὑπάτων Ἄππιος Κλαύδιος ἄνδρας τριακοσίους, ἵνα δι' εὐλαβείας ἔχοιεν οἱ προσθέμενοι σφίσι πίστεις ὁμηρειῶν μὴ παρασπονδεῖν, μάστιξί τε ᾐκίσατο πάντων ὁρώντων καὶ τοὺς 110αὐχένας αὐτῶν ἐκέλευσεν ἀποκόψαι. ἀφικομένου τε 2 ἀπὸ τῆς στρατείας οὐ πολλαῖς ὕστερον ἡμέραις τοῦ συνυπάτου καὶ τὸν εἰωθότα δίδοσθαι θρίαμβον ἀπὸ τῆς βουλῆς τοῖς ἀγῶνα λαμπρὸν ἀγωνισαμένοις στρατηγοῖς ἀξιοῦντος λαβεῖν, ἐμποδὼν ἐγένετο στασιαστὴν ἀποκαλῶν καὶ πολιτείας πονηρᾶς ἐραστήν, μάλιστα δ' αὐτοῦ κατηγορῶν, ὅτι ἐκ τῶν τοῦ πολέμου λαφύρων

2 πολὺ ταύτης O πολὺ τῶν ταύτῃ c. Sintenis Em. Dion. II 28 9 κατασφάξας A 12 οὐκέτι οὐθενὸς c. Pflugk 14 ἦν] ἠγγέλη c. Kiessling 15 προάγων O corr. Reiske 16 ὁ add. DE 21 στρατιᾶς B

οὐδεμίαν μοῖραν εἰς τὸ δημόσιον ἀνήνεγκεν, ἀλλ' οἷς αὐτὸς ἐβούλετο κατεχαρίσατο· καὶ ἔπεισε τὴν βουλὴν μὴ δοῦναι τῷ ἀνδρὶ τὸν θρίαμβον. ὁ δὲ Σερουίλιος ὑβρίσθαι δοκῶν ὑπὸ τοῦ συνεδρίου εἰς αὐθάδειαν οὐκ εἰωθυῖαν Ῥωμαίοις ἐτράπετο· καλέσας γὰρ εἰς ἐκκλησίαν τὸν δῆμον ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ καὶ διεξελθὼν τὰ πραχθέντα κατὰ τὸν πόλεμον καὶ τοῦ συνάρχοντος τὸν φθόνον καὶ τῆς βουλῆς τὸν προπηλακισμὸν διηγησάμενος, ἔφη παρὰ τῶν ἑαυτοῦ πράξεων καὶ τοῦ συναγωνισαμένου στρατεύματος ἔχειν τὴν τοῦ πομπεύειν ἐπὶ καλοῖς τε καὶ εὐτυχέσιν ἔργοις ἐξουσίαν.

3 ταῦτ' εἰπὼν στεφανῶσαι τὰς ῥάβδους ἐκέλευσε καὶ 1111
αὐτὸς στεφανωσάμενος ἔχων τὴν θριαμβικὴν ἐσθῆτα προῆγεν εἰς τὴν πόλιν ὑπὸ τοῦ δήμου παντὸς προπεμπόμενος, ἕως εἰς τὸ Καπιτώλιον ἀνέβη καὶ τὰς εὐχὰς ἀπέδωκε καὶ τὰ σκῦλα ἀνέθηκεν. ἐκ δὲ τούτου φθόνον μὲν ἔτι μείζονα παρὰ τῶν πατρικίων ἐπεσπάσατο, οἰκεῖον δ' ἑαυτῷ παρεσκευάσατο τὸ δημοτικόν.

XXXI. Ἐν τοιαύταις δ' ἀκαταστασίαις τῆς πόλεως οὔσης ἐκεχειρία τις ἐν τῷ διὰ μέσου γενομένη θυσιῶν πατρίων ἕνεκα καὶ πανηγύρεις ἐπιλαβοῦσαι λαμπραὶ ταῖς δαπάναις ἐπέσχον τὴν ἐν τῷ παρόντι τοῦ πλήθους διχοστασίαν. ἑορτάζουσι δ' αὐτοῖς ἐπιτίθενται πολλῇ δυνάμει Σαβῖνοι τοῦτον ἐκ πολλοῦ φυλάξαντες τὸν χρόνον, ἀρχομένης ἔτι νυκτὸς ποιησάμενοι τὴν

1 ἀνήγαγεν O ἀνήνεγκεν Tegge Quaestiones de usu praepos. p. 7  7 τὰ αὐτῷ πραχθέντα c. Reiske  11 ἐξουσίαν] εὐτυχίαν BC  12 τὰς ῥάβδους] τοὺς ἄνδρας B στεφανώσασθαι τοὺς ἄνδρας c. Reiske  17 ἔτι om. B  18 δὲ αὐτῷ O δ' αὐτῷ vulgo  20 ἐκκεχειρία B

*ἐπίθεσιν, ἵνα πρὶν αἰσθέσθαι τοὺς ἔνδον ἐπὶ τῇ πόλει*
112 *γένωνται· καὶ ῥᾷστα ἂν ἐκράτησαν αὐτῶν, εἰ μὴ τῶν*
*ψιλῶν τινες ἀποσχισθέντες τῆς φάλαγγος, αὐλαῖς ἐπι-*
*βάλλοντες ἁρπαγῆς ἕνεκα θόρυβον εἰργάσαντο. βοή τε* 2
*γὰρ εὐθὺς ἐγένετο καὶ δρόμος τῶν γεωργῶν εἰς τὸ*
*τεῖχος, πρὶν ἢ ταῖς πύλαις τοὺς πολεμίους προσελθεῖν.*
*ὡς δ' ἔγνωσαν αὐτῶν τὴν ἔφοδον οἱ κατὰ πόλιν θεω-*
*ροῦντες μεταξὺ καὶ τοὺς στεφάνους ἐπικείμενοι κατα-*
*λιπόντες τοὺς ἀγῶνας ἐπὶ τὰ ὅπλα ὥρμησαν· καὶ φθάνει*
*τῷ Σερουιλίῳ συναχθεῖσα δύναμις αὐτοκέλευστος ἱκανή,*
*ἣν. ἐκεῖνος ἔχων συντεταγμένην, προσπίπτει τοῖς πο-*
*λεμίοις ὑπό τε ἀγρυπνίας καὶ κόπου τεταλαιπωρηκόσι*
*καὶ οὐ προσδεχομένοις τὴν τῶν Ῥωμαίων ἔφοδον. ὡς* 3
*δὲ συνέμιξαν εἰς χεῖρας, ἐγένετο μάχη τὸ μὲν ἐν τάξει*
113 *καὶ κόσμῳ διὰ τὴν σπουδὴν ἑκατέρων ἀφῃρημένη, οἳ*
*δ' ὡς ἀπὸ τύχης τινὸς ἢ φάλαγξ φάλαγγι ἢ λόχος*
*λόχῳ ἢ ἀνὴρ ἀνδρὶ συνέπεσον, ἱππεῖς τε καὶ πεζοὶ*
*ἅμα πεφυρμένοι ἐμάχοντο. ἀρωγοὶ δ' αὐτοῖς ἑκατέρω-*
*θεν ἐπῄεσαν οὐ διὰ μακροῦ τῶν πόλεων οὐσῶν, οἳ*
*τὸ κάμνον ἀναθαρρύνοντες ἐπὶ πολὺν χρόνον ἀντέχειν*
*ταῖς ταλαιπωρίαις ἐποίουν. ἔπειτα οἱ Ῥωμαῖοι προσ-*
*γενομένης σφίσι τῆς ἵππου πάλιν νικῶσι τοὺς Σαβί-*

1 *πρὶν αἰσθέσθαι* A *μὴ προαισθέσθαι* B | *ἐπὶ*] *ἐν* c. Reiske | *γένηται* BC 6 *προελθεῖν* B 7 *αὐτῶν τὴν ἔφοδον* om. BC | *κατὰ τὴν πόλιν* B 13 *τῶν* add. B 14 *συνέτειναν* A *συν-έμιξαν* B 15 **οἱ δὲ* O *οἳ δ'* ego *οἱ ἀμφότεροι* c. Sintenis Em. Dion. II 28 17 *συνεπλέκοντο* A *συνέπεσον* B 18 *ἅμα πεφυρμένοι* c. Kiessling cf. Schenkl Bursiani Ann. Litter. breviar. p. 36 qui *κόσμῳ, οἱ δὲ διὰ τὴν σπουδὴν ⟨τῶν⟩ ἑτέρων ἕκαστος ἀφῃρημένος, ὡς ἀπὸ τύχης τινὸς [ἢ φάλαγξ φάλαγγι ἢ λόχῳ λόχος ἢ] ἀνὴρ ἀνδρὶ συνέπεσον* eqs. scribendum esse censet; Meutzner Ann. phil. 1882 p. 258 hariolatur

νους, καὶ πολλοὺς ἀποκτείναντες ἀνέστρεψαν εἰς τὴν πόλιν ἄγοντες αἰχμαλώτους πάνυ συχνούς. τούς τε κατὰ τὴν πόλιν ὄντας Σαβίνων, οἳ κατὰ θέας πρόφασιν ἀφιγμένοι προκαταλήψεσθαι τοῖς ἐπιοῦσι τὰ ἐρύματα τῆς πόλεως ἔμελλον, ὥσπερ αὐτοῖς συνετέτακτο, ἀναζητοῦντες εἰς τὰ δεσμωτήρια κατετίθεντο. τὰς δὲ θυσίας, αἷς ὁ πόλεμος ἐμποδὼν ἐγένετο, διπλασίας τῶν προτέρων ψηφισάμενοι αὖθις ἐν εὐπαθείαις ἦσαν.

XXXII. Ἔτι δὲ πανηγυρίζουσιν αὐτοῖς πρεσβευταὶ 111
παρῆσαν ἐξ ἔθνους Ἀρούγκων, οἳ τῆς Καμπανῶν χώρας τὰ κάλλιστα πεδία κατεῖχον. οὗτοι καταστάντες ἐπὶ τὴν βουλὴν ἠξίουν τὴν Οὐολούσκων τῶν καλουμένων Ἐχετρανῶν χώραν, ἣν ἀφελόμενοι τοὺς Ἐχετρανοὺς Ῥωμαῖοι κληρούχοις εἰς φυλακὴν τοῦ ἔθνους ἐκπεμφθεῖσι διένειμαν, ἀποδιδόναι σφίσι καὶ τὴν φρουρὰν ἀπαγαγεῖν ἐξ αὐτῆς· ἐὰν δὲ μὴ ποιήσωσιν, Ἀρούγκους ἥξοντας ἐπὶ τὴν Ῥωμαίων ὀλίγου χρόνου καὶ δίκας ληψομένους ὅσων διέθεντο τοὺς ὁμόρους κακῶν ἐκδέ-
2 χεσθαι. Ῥωμαῖοι δ' αὐτοῖς τάδε ἀπεκρίναντο· Ἀπαγγέλλετε, ὦ πρέσβεις, Ἀρούγκοις, ὅτι ἡμεῖς οἱ Ῥωμαῖοι δικαιοῦμεν ὅσα κτᾶταί τις ἀρετῇ πολεμίους ἀφελόμενος, ταῦτα τοῖς ἐγγόνοις ὡς οἰκεῖα παραδιδόναι. πόλεμον δ' οὐ δέδιμεν τὸν Ἀρούγκων οὔτε πρῶτον οὔτε δεινότατον ἐσόμενον· ἀλλ' ἐν ἔθει ἡμῖν ὑπάρχει πᾶσι μάχεσθαι περὶ τῆς ἡγεμονίας, καὶ ἀρετῆς συν-

10 οἳ τῆς] καὶ BC 18 διέθεντο B διέθηκαν c. Reiske | ἐκδέχεσθαι add. Cmg 23 τὸν Ἀρούγκων B τῶν Ἀρούγκων R | δεινὸν B 25 *μάχεσθαι περὶ τῆς ἡγεμονίας καὶ ἀρετῆς ἐν ἀγωνισμῷ τε ἐσόμενον O μ. π. τ. ἡγεμονίας· καὶ ἀρετῆς ἐναγώνισμα τελείας ἐσόμενον c. Reiske ἀγώνισμόν τιν' ἐσόμενον

115 ἀγώνισμά τι ἐσόμενον δρῶντες αὐτὸν ἀκαταπλήκτως
δεξόμεθα. μετὰ ταῦτ' Ἀροῦγκοί τε πολλῇ στρατιᾷ 3
ὁρμηθέντες ἐκ τῆς ἑαυτῶν, καὶ Ῥωμαῖοι τὰς οἰκείας
δυνάμεις ἔχοντες ἡγουμένου Σερουιλίου, συντυγχάνου-
σιν ἀλλήλοις ἀγχοῦ πόλεως Ἀρικείας, ἣ διέχει σταδίους
ἑκατὸν εἴκοσι τῆς Ῥώμης· καὶ στρατοπεδεύονται ἑκά-
τεροι ἐν ὄρεσιν ὀχυροῖς ὀλίγον ἀλλήλων διεστῶτες.
ἐπεὶ δὲ τοὺς χάρακας ἐκρατύναντο, προῆλθον εἰς τὸ
πεδίον ἀγωνιούμενοι, καὶ συμπεσόντες ἐξ ἑωθινῆς μέ-
χρις ἡμέρας μεσούσης ἀντεῖχον, ὥστε πολὺν ἐξ ἀμφο-
τέρων γενέσθαι φόνον. φιλοπόλεμον γὰρ δὴ τὸ τῶν
Ἀρούγκων ἔθνος ἦν, καὶ τῷ μεγέθει τε καὶ ῥώμῃ καὶ
ὄψεως δεινότητι πολὺ τὸ θηριῶδες ἐχούσῃ φοβερώτατον.

XXXIII. Ἐν τούτῳ λέγεται τῷ πολέμῳ τοὺς ἱππεῖς
τῶν Ῥωμαίων κρατίστους γενέσθαι, καὶ τὸν ἡγεμόνα
αὐτῶν Αὖλον Ποστόμιον Ἄλβον, ὃς ἔσχε τὴν δικτά-
116 τορα ἀρχὴν ἐν τῷ πρόσθεν ἐνιαυτῷ. τὸ μὲν γὰρ
χωρίον, ἐν ᾧ ἡ μάχη ἐγένετο, ἥκισθ' ἱππάσιμον ἦν
⟨καὶ⟩ κολωνούς τε πετρώδεις καὶ φάραγγας βαθείας
εἶχεν, ὥστε μηδὲν ἑκατέροις τὴν ἵππον οἵαν τ' εἶναι
προσωφελεῖν. ὁ δὲ Ποστόμιος παρακελευσάμενος τοῖς 2
ἀμφ' αὐτὸν ἀπὸ τῶν ἵππων καταβῆναι καὶ ποιήσας
στῖφος ἀνδρῶν ἑξακοσίων, ἐν οἷς μάλιστα ἔκαμνε τοῖς
Ῥωμαίοις κατὰ πρανοῦς ὠθουμένοις χωρίου ἡ φάλαγξ,

c. Meutzner p. 260 cf. Schenkl p. 36 περὶ τῆς ἡγεμονίας, καὶ ἀρετῆς συναγώνισμά τι ἐσόμενον eqs. ego
4 ἐντυγχάνουσιν B 5 Ἐρικείας O corr. Glareanus 7 ἀλλήλοις B 9 ἑωθινῆς AB ἑωθινοῦ R 11 δὴ om. B 12 Ἀρούσκων B 15 τοὺς ἡγεμόνας O τὸν ἡγεμόνα Stephanus 16 Ποστούμιον AB | Ἄλβαν O corr. Sylburg | δικτάτορος c. Stephanus 19 *καὶ ante κολωνοὺς addidi 20 εἶχον O ἔχον Reiske | οἷαν ποτ' οἷαν τ' Reiske

ἐν τούτοις συνάπτει τοῖς πολεμίοις, καὶ αὐτίκα συνίστησιν αὐτῶν τὰς τάξεις. ὡς δ᾽ ἅπαξ ἀνεκόπησαν οἱ βάρβαροι, θάρσος ἐνέπεσε τοῖς Ῥωμαίοις, καὶ φιλονεικία τοῖς πεζοῖς πρὸς τοὺς ἱππεῖς· καὶ καθ᾽ ἓν ἀμφότεροι πυργηδὸν ἐξωθοῦσι τὸ δεξιὸν κέρας τῶν πολεμίων ἕως τοῦ λόφου· καὶ οἱ μὲν τοῖς περὶ τὸν χάρακα φεύγουσιν ἑπόμενοι πολλοὺς ἀπέκτειναν, οἱ δὲ τοῖς ἔτι
3 μαχομένοις κατὰ νώτου ἐπῆγον. τρεψάμενοι δὲ κἀκείνους εἰς φυγὴν ἐπίπονόν τε καὶ βραδεῖαν τὴν ἀποχώρησιν ποιουμένους πρὸς ὀχθώδη χωρία ἐδίωκον, τέ- 111
νοντάς τε ὑποκόπτοντες ποδῶν καὶ τὰς ἰγνῦς πλαγίοις τοῖς ξίφεσι διαιροῦντες, ἕως ἐπὶ τὸν χάρακα αὐτῶν ἀφίκοντο. βιασάμενοι δὲ καὶ τούτου τοὺς φύλακας οὐ πολλοὺς ὄντας ἐκράτησαν τοῦ στρατοπέδου καὶ διήρπασαν· ὠφελείας μέντοι οὐ πολλὰς εὗρον, ὅτι μὴ ὅπλα καὶ ἵππους, καὶ εἴ τι ἄλλο πολεμιστήριον χρῆμα ἦν. ταῦτα οἱ περὶ Σερουίλιον καὶ Ἄππιον ὕπατοι ἔπραξαν.

XXXIIII. *Μετὰ ταῦτα* παραλαμβάνουσι τὴν ὑπατικὴν ἀρχὴν Αὖλος Οὐεργίνιος Καιλιμοντανὸς καὶ Τῖτος Οὐετούριος Γέμινος, ἄρχοντος Ἀθήνησι Θεμιστοκλέους, ἑξηκοστῷ καὶ διακοσιοστῷ μετὰ τὴν κτίσιν ἔτει, μελλούσης εἰς τοὐπιὸν τῆς ἑβδομηκοστῆς καὶ δευτέρας ὀλυμπιάδος, ἣν ἐνίκα δεύτερον Τισικράτης Κροτωνιά-

1 ἐν τούτῳ O corr. Reiske 2 ἅπαξ] ἅπασιν B 5 πυργηδὸν] φύρδην vel πεφυρμένοι c. Kiessling 6 περὶ] ἐπὶ c. Sylburg πρὸς Reiske 8 ἐπῆγον] ἐπέκειντο c. dubitanter Kiessling 9 ἐπίπονον] ἔπιπτον B 11 ἀποκόπτοντες B 16 πολεμητήριον AB 20 μοντανὸς O καιλιμοντανὸς Sigonius 21 οὐέμιος γεμίνιος O corr. Sylburg 23 πεντηκοστῆς B 24 στησίκρατος ὁ B

της. ἐπὶ τούτων Σαβῖνοι πάλιν ἐπὶ Ῥωμαίους στρα-
118τιὰν ἐξάγειν μείζονα παρεσκευάζοντο, καὶ Μεδυλλῖνοι
Ῥωμαίων ἀποστάντες πρὸς τὸ Σαβίνων ἔθνος ὅρκους
ἐποιήσαντο περὶ συμμαχίας. πυνθανόμενοι δὲ τὴν διά- 2
νοιαν αὐτῶν οἱ πατρίκιοι παρεσκευάζοντο διὰ ταχέων
ἐξιέναι πανστρατιᾷ· τὸ δὲ δημοτικὸν οὐχ ὑπήκουεν
αὐτοῖς, ἀλλ' ἐμνησικάκουν τῆς ψευσθείσης αὐτοῖς πολ-
λάκις ὑποσχέσεως περὶ τῶν ἐπικουρίας δεομένων ἀπό-
ρων, τἀναντία ἐπαγόντων τῶν ἐπ' ἐκείνοις ψηφιζομέ-
νων. κατ' ὀλίγους δὲ συλλεγόμενοι ὅρκοις ἀλλήλους
κατελάμβανον ὑπὲρ τοῦ μηκέτι συνάρασθαι τοῖς πατρι-
κίοις πολέμου μηδενὸς καθ' ἕνα τῶν ἀπόρων κατι-
119σχυόμενοι κοινῇ καὶ πρὸς τοὺς ἐντυγχάνοντας βοηθή-
σαντες. καὶ ἐγίνετο πολλαχῇ μὲν καὶ ἄλλῃ τὸ συνώμοτον
ἐν ἀψιμαχίαις λόγων τε καὶ ἔργων ἐμφανές, μάλιστα
δ' ἐδήλωσε τοῖς ὑπάτοις, ἐπειδὴ οὐ προσῄεσαν οἱ κα-
λούμενοι πρὸς τὴν στρατολογίαν. συναρπάσαι ⟨γὰρ⟩ 3
τινὰ τῶν ἐκ τοῦ δήμου κελευσάντων οἱ πένητες ἀθρόοι

2 μεδυλληνοὶ A μεδυλῖνοι B 9 *ἀντιδιεπαγόντων O | *ὑπ' ἐκείνοις AB ὑπὲρ ἐκείνοις DE locum hunc foedissime corruptum ab ingenio restitui non posse Reiske censet οὐδὲν δ' ἐπὶ τέλος ἀγόντων τῶν ὑπὲρ ἐκείνης ψηφιζομένων Sylburg καὶ ἀντέπραττον τοῖς ὑπ' ἐκείνων ψηφιζομένοις c. Kayser Ann. phil. 1866 p. 43 ἀντία (vel ἐναντία) δὲ πασχόντων τῶν ὑπὸ δεινοῖς ψ. c. Meutzner p. 260; ⟨ὡς⟩ ἀντία διεπιτελούντων ⟨αὐτῶν⟩ τῶν ὑπ' ἐκείνων ψ. Schenkl p. 36, τἀναντία ἐπαγόντων τῶν ἐπ' ἐκείνοις ψηφιζομένων ego 11 συνελάμβανον B | συναρεῖσθαι c. Cobet Obs. p. 118 12 καθένα τὲ — κατισχόμενοι O quod def. Meutzner p. 261 καθ' ἕνα τε τοῖς τῶν ἀπόρων κατασχομένοις κοινῇ vel καθ' ἕνα τε τῶν ἀπόρων οἱ κατισχυόμενοι Portus καὶ ἑκάστῳ — κατισχυομένῳ c. Kiessling 13 καὶ post κοινῇ om. DE 14 βοηθήσαντες AC βοηθήσαντος B βοηθήσοντες DE βοηθῆσαι Kiessling; καθ' ἕνα τῶν ἀπόρων κατισχυόμενοι — βοηθήσαντες ego 17 ἀπολογίαν O στρατολογίαν Camerarius | γὰρ add. Sylburg 18 καλεσάντων B

συστραφέντες τόν τε φερόμενον ἀφῃροῦντο καὶ τοὺς
ὑπηρέτας τῶν ὑπάτων οὐ μεθιεμένους αὐτοὶ παίοντες
ἀπήλαυνον, καὶ οὔτε ἱππέων οὔτε πατρικίων, ὅσοι
παρόντες τὰ γινόμενα κωλύειν ἠξίουν, ἀπείχοντο μὴ
οὐ παίειν· καὶ δι' ὀλίγου πᾶσα ἡ πόλις ἦν ἀκοσμίας
πλήρης καὶ θορύβου. ἅμα δὲ τῇ στάσει τῇ κατὰ τὴν 112
πόλιν αὐξομένῃ καὶ τὰ τῶν πολεμίων πρὸς καταδρομὴν
παρασκευαζόμενα μείζω τὴν ἐπίδοσιν ἐλάμβανεν. Οὐο-
λούσκων δὲ πάλιν ἀπόστασιν βουλευσαμένων καὶ τῶν
καλουμένων Αἰκανῶν πρεσβεία [τε] ἀπὸ πάντων τῶν
Ῥωμαίοις ὑπηκόων παρῆν ἀξιούντων σφίσι συμμαχεῖν
4 ἐν τρίβῳ τοῦ πολέμου κειμένοις. Λατῖνοι μὲν γὰρ
ἔφασκον Αἰκανοὺς ἐμβαλόντας εἰς τὴν χώραν αὐτῶν
λεηλατεῖν τοὺς ἀγροὺς [αὐτῶν,] καὶ πόλεις τινὰς ἤδη
διηρπακέναι· οἱ δ' ἐν Κρουστομερείᾳ φρουροὶ πλησίον
εἶναι Σαβίνους ἀποφαίνοντες καὶ πολλῇ χρωμένους
προθυμίᾳ τὸ φρούριον πολεμεῖν· ἄλλοι δέ τι ἄλλο
κακὸν ἀπαγγέλλοντες γεγονὸς ἢ γενησόμενον καὶ βοή-
θειαν διὰ ταχέων αἰτησόμενοι. παρεγένοντο δ' ἐπὶ τὸ
συνέδριον καὶ παρ' Οὐολούσκων πρέσβεις, ἀξιοῦντες 112
ἀπολαβεῖν ἣν ἀφῃρέθησαν ὑπ' αὐτῶν χώραν, πρὶν
ἄρξασθαι πολέμου.

XXXV. Συναχθείσης δὲ περὶ τούτου βουλῆς, κλη-

2 αὐτοὶ] αὐτοῦ c. dubitanter Kiessling 4 τοῦ μὴ παίειν B 7 pro *κατασκευὴν Sylburg ἀπόστασιν vel ἐπίθεσιν, Reiske κατάπληξιν scrib. esse censet, καταδρομὴν ego προκατασκευαζόμενα c. Kiessling 9 δὲ πάλιν O τε π. Kiessling γὰρ π. Reiske 10 post Αἰκανῶν lacunam, in qua Sabinorum mentio intercidisse videretur, sign. Kiessling | τε uncis inclusi, sed verba τῶν καλουμένων et τε corrupta videntur 14 αὐτῶν del. Reiske 19 αἰτησόμενοι παρεγένοντο . παρεγένοντο δὲ c. Reiske 21 ὑπ'] παρ' B 23 καὶ κληθεὶς O corr. Sylburg

θεὶς πρῶτος ὑπὸ τῶν ὑπάτων Τῖτος Λάρκιος, ἀξιώσει τε προὔχειν δοκῶν καὶ φρονῆσαι τὰ δέοντα ἱκανώτατος, προελθὼν ἔλεξεν· Ἐμοί, ὦ βουλή, ἃ μὲν οἱ ἄλλοι δοκοῦσιν εἶναι φοβερὰ καὶ ταχείας δεόμενα βοηθείας, οὔτε φοβερὰ εἶναι δοκεῖ οὔτε πάνυ κατεπείγοντα, πῶς χρὴ τοῖς συμμάχοις ἐπικουρῆσαι ἢ καθ' ὅν τινα τρόπον τοὺς πολεμίους ἀμύνασθαι· ἃ δ' οὔτε μέγιστα τῶν κακῶν νομίζουσιν οὔτε ἀναγκαῖα ἐν τῷ παρόντι, ἀμελείᾳ τε αὐτὰ ὡς οὐδὲν ἡμᾶς βλάψοντα παραδόντες ἔχουσι, ταῦτα φοβερώτατά μοι φαίνεται, καὶ εἰ μὴ ταχέως αὐτὰ ἐπιστήσομεν, ἐσχάτης ἀνατροπῆς καὶ συγχύσεως τῶν κοινῶν αἴτια, ἥ τε τῶν δημοτῶν ἀπείθεια τῶν οὐκ ἀξιούντων τὰ ἐπιταττόμενα ὑπὸ τῶν ὑπάτων πράττειν, καὶ ἡμῶν αὐτῶν ἡ πρὸς τὸ ἀνήκοον αὐτῶν
122 καὶ τὸ ἐλευθεριάζον χαλεπότης. οἶμαι δὲ μηδὲν ἡμᾶς 2
δεῖν ἐν τῷ παρόντι σκοπεῖν, εἰ μὴ ὅπως ἐξαιρεθήσεται ταῦτ' ἐκ τῆς πόλεως, καὶ μιᾷ πάντες γνώμῃ τὰ κοινὰ πρὸ τῶν ἰδίων αἱρούμενοι πολιτευσόμεθα. ὁμονοοῦσα μὲν γὰρ ἡ τῆς πόλεως δύναμις ἱκανὴ ἔσται καὶ φίλοις ἀσφάλειαν παρασχεῖν καὶ ἐχθροῖς δέος, στασιάζουσα δ' ὥσπερ νῦν τούτων οὐδέτερον ἂν δύναιτο διαπράξασθαι. θαυμάσαιμι δ' ἄν, εἰ μὴ καὶ ἑαυτὴν διεργά-

3 προςελθὼν B προελθὼν R παρελθὼν Hertlein Hermes X 414 5 ὡς O πῶς Kiessling(?) 8 ἐπὶ τῷ παρόντι O ἐν τῷ π. Cobet Obs. p. 116 10 φοβερώτερα B 11 ἐπισχήσομεν c. Kiessling 12 δημοτικῶν A δημοτῶν B verba inde a syllaba τικων usque ad ὑπὸ om. A 17 ἅπαντες O 18 αἱρούμεθα B αἱρούμενοι R πολιτευόμεθα ABa πολιτεύματα Bb αἱρούμενοι πολιτευσόμεθα vel πολιτεύματα αἱρήσομεν vel αἱρησόμεθα c. Sylburg ἑλούμεθα πολιτεύματα Sintenis Em. Dion. II 30 21 διαπράξεσθαι B 22 διεξεργάσαιτο AB corr. Reiske

σαιτο καὶ παράσχοι τοῖς ἐχθροῖς δίχα πόνου τὸ κράτος· ὅ, μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς, οὐκ εἰς μακρὰν οἴομαι τοιαῦτα πολιτευομένων ὑμῶν γενήσεσθαι.

XXXVI. Διῳκίσμεθα γὰρ ὡς ὁρᾶτε καὶ δύο πόλεις ἔχομεν, τὴν μὲν [μίαν] ὑπὸ πενίας τε καὶ ἀνάγκης ἀρχομένην, τὴν δ' ὑπὸ κόρου καὶ ὕβρεως. αἰδὼς δὲ καὶ κόσμος καὶ δίκη, ὑφ' ὧν ἅπασα πολιτικὴ κοινωνία σώζεται, παρ' οὐδετέρᾳ μένει τῶν πόλεων. τοιγάρτοι χειρὶ τὸ δίκαιον ἤδη παρ' ἀλλήλων λαμβάνομεν κἂν 112
τῷ βιαιοτέρῳ τίθεμεν τὸ δικαιότατον, ὥσπερ τὰ θηρία, τὸ ἀντίπαλον ἐξολέσαι μετὰ τοῦ σφετέρου κακοῦ βουληθέντες, ἢ τὸ ἑαυτοῖς ἀσφαλὲς φυλάττοντες μετὰ τοῦ
2 διαφόρου κοινῇ σεσῶσθαι. ὧν ἐγὼ ὑμᾶς ἀξιῶ πολλὴν πρόνοιαν ποιήσασθαι βουλὴν ὑπὲρ αὐτῶν τούτων καθίσαντες, ἐπειδὰν ἀπολύσητε τὰς πρεσβείας. ἃ δὲ ταῖς πρεσβείαις ἀποκρίνασθαι ἐν τῷ παρόντι παραινεῖν ἔχω, ταῦτ' ἐστιν· ἐπειδὴ Οὐολοῦσκοι μὲν ἀπαιτοῦσιν ἡμᾶς ἃ ὅπλοις κρατήσαντες ἔχομεν καὶ πόλεμον ἀπειλοῦσι μὴ πειθομένοις, τάδε λέγωμεν, ὅτι Ῥωμαῖοι καλλίστας ὑπολαμβάνομεν κτήσεις εἶναι καὶ δικαιοτάτας, ἃς ἂν κατάσχωμεν πολέμου λαβόντες κατὰ νόμον, καὶ οὐκ ἂν ὑπομείναιμεν μωρίᾳ τὴν ἀρετὴν ἀφανίσαι· παραδόντες

6 *μίαν uncis inclusi 7 ἀρχομένην] ἀγομένην vel φερομένην c. Smit Obs. p. 25 8 ἡ πᾶσα O ἅπασα Kiessling 9 πόλεων vocem et quae sequuntur prior manus scripsit 11 δικαιότερον c. Kiessling 13 ἐν αὐτοῖς AB ἑαυτοῖς Reiske 20 λέγομεν AB 21 εἶναι om. B | ἃς ἂν AC ἃ ἂν B ἃς DE 22 *πολέμῳ λαβόντες καὶ νόμῳ O πολέμου λαβόντες νόμῳ deleta καὶ voce Cobet Obs. p. 116 πολέμου λαβόντες κατὰ νόμον ego | αὐτὰ O ἃς sine ἂν et hoc loco αὐτὰς Reiske

124 ⟨δὲ⟩ ταῦτα τοῖς ἀπολωλεκόσι⟨ν ὧν⟩ κοινωνητέον τε
παισὶ καὶ τοῖς ἐκ τούτων γενομένοις καταλιπεῖν ⟨ἀεὶ⟩
ἀγωνιούμεθα, τῶν νῦν γε ὑπαρχόντων ἤδη στερησό-
μεθα καὶ ἑαυτοὺς ὅσα πολεμίους βλάψομεν. Λατίνων 3
δὲ τὸ εὔνουν ἐπαινέσαντες ἀναθαρσύνωμεν τὸ δεδιὸς
ὡς οὐκ ἐγκαταλείψομεν αὐτούς, ἕως ἂν τὸ πιστὸν φυ-
λάσσωσιν, ἐν οὐδενὶ δεινῷ γενομένους δι' ἡμᾶς, ἀλλὰ
δύναμιν ἱκανὴν ἀμύνειν αὐτοῖς πέμψομεν οὐ διὰ μα-
κροῦ. ταύτας ἡγοῦμαι κρατίστας τε καὶ δικαιοτάτας
ἔσεσθαι τὰς ἀποκρίσεις. ἀπαλλαγεισῶν δὲ τῶν πρε-
σβειῶν πρώτην φημὶ χρῆναι βουλὴν τοῖς κατὰ τὴν
πόλιν θορύβοις ἡμᾶς ἀποδοῦναι καὶ ταύτην οὐκ εἰς
μακράν, ἀλλὰ τῇ ἐπιούσῃ ἡμέρᾳ.

125 XXXVII. Ταύτην ἀποφηναμένου τὴν γνώμην Λαρ-
κίου καὶ πάντων ἐπαινεσάντων, τότε μὲν αἱ πρεσβεῖαι
λαβοῦσαι τὰς εἰρημένας ἀποκρίσεις ἀπηλλάγησαν· τῇ
δ' ἑξῆς ἡμέρᾳ συναγαγόντες τὴν βουλὴν οἱ ὕπατοι
περὶ τῆς ἐπανορθώσεως τῶν πολιτικῶν θορύβων προὔ-
θεσαν σκοπεῖν. πρῶτος οὖν ἐρωτηθεὶς γνώμην Πό-
πλιος Οὐεργίνιος, ἀνὴρ δημοτικός, τὴν διὰ μέσου πο-

1 verba corrupta in libris sic exstant: *κοινωνητέον τε πᾶσι καὶ τοῖς ἐκ τούτων γενομένοις καταλιπεῖν ἀγωνιούμεθα· νῦν δὲ ὑπαρχόντων στερησόμεθα* eqs.; post *ἀγωνιούμεθα* legitur *τε* in B quod erasum a Bb est, pro *πᾶσι* Reiske *παισί*, pro *γενομένοις* Portus *γενησομένοις* scribendum esse coniecit. In his verbis emendandis frustra Portus Sylburg Reiske desudarunt, quorum coniecturas parum probabiles afferre non iuvat, neque Kayser Ann. phil. 1866 p. 44 neque Meutzner Ann. phil. 1882 p. 261, nisi quod recte *νῦν γε* pro *νῦν δὲ* scripsit, neque Schenkl Bursiani Ann. Litt. breviar. p. 37 quid verum esset cognoverunt; post *ἀφανίσαι* distinguendum, *δὲ* et *ὧν*, fortasse *ἀεὶ* addenda, pro *αὐτὰ* scribendum esse *ταῦτα* equidem proposuerim  6 *ὡς* om. B | *ἐγκαταλείψομεν* Reiske  7 *δι' ὑμᾶς* B  8 *πέμψομεν* O *πέμψοντες* Portus  14 *Μαρκίου* O corr. Stephanus

*ρευόμενος ὁδὸν ἔλεξεν· Ἐπειδὴ τὸ δημοτικὸν πλῆθος ἐν τῷ παρελθόντι ἐνιαυτῷ προθυμίαν πλείστην εἰς τοὺς ὑπὲρ τῆς πόλεως ἀγῶνας ἐπεδείξατο, Οὐολούσκοις καὶ Ἀρούγκοις πολλῇ στρατιᾷ ἐπιοῦσιν ἀντιταξάμενον μεθ' ἡμῶν, οἴομαι δεῖν τοὺς συναραμένους ἡμῖν τότε καὶ τῶνδε τῶν πολέμων μετασχόντας ἀφεῖσθαι καὶ μηδενὸς αὐτῶν μήτε τὸ σῶμα μήτε τὴν οὐσίαν ὑπὸ τῶν δανειστῶν κρατεῖσθαι· τὸ δ' αὐτὸ δίκαιον εἶναι καὶ γονεῦσι τοῖς τούτων ἄχρι καὶ πάππων, καὶ παισὶν ἕως ἐγγόνων· τοὺς δ' ἄλλους ἀγωγίμους εἶναι τοῖς*
2 *δεδανεικόσιν, ὡς ἑκάστοις συνέβαλον. Μετὰ δὲ ταῦτα Τῖτος Λάρκιος εἶπεν· Ἐμοὶ δ', ὦ βουλή, δοκεῖ κρά-* 112
*τιστον μὴ μόνον τοὺς ἐν τοῖς πολέμοις ἀγαθοὺς γενομένους, ἀλλὰ καὶ τὸν ἄλλον ἅπαντα δῆμον ἐλεύθερον τῶν συμβολαίων ἀφεῖσθαι. μόνως γὰρ ἂν οὕτως ὅλην τὴν πόλιν ὁμονοοῦσαν ἐργασαίμεθα. Τρίτος δὲ παρελθὼν Ἄππιος Κλαύδιος ⟨ὁ⟩ τὴν ὕπατον ἀρχὴν τῷ παρελθόντι ἔτει σχὼν ἔλεξεν·*

XXXVIII. *Ἀεὶ μέν, ὦ βουλή, ὁσάκις ὑπὲρ τούτων προὐτέθη λόγος, ἐπὶ τῆς αὐτῆς εἰμὶ γνώμης, μὴ ἐπιτρέπειν τῷ δήμῳ μηδὲν τῶν ἀξιουμένων, ὅ τι μὴ νόμιμον μηδὲ καλόν, μήτε τὸ φρόνημα τῆς πόλεως ἐλαττοῦν, καὶ οὐδὲ νῦν μεταγινώσκω τῶν ἐξ ἀρχῆς μοι φανέντων οὐδέν· ἦ πάντων ἂν εἴην ἀνθρώπων ἀφρονέστατος, εἰ πέρυσι μὲν ὕπατος ὢν ἀντιπράττοντός μοι τοῦ συνυπάτου καὶ τὸν δῆμον ἐπισείοντος ἀντ-*

3 *ἀπεδείξατο* Ba 4 *Αὐρούσκοις* B 5 *ἐφ' ὑμῶν* O *μεθ' ὑμῶν* Sylburg 10 *ἕως ἐκγόνων* A *ἕως ἡμῶν* Ba *ἕως ἐγγόνων* Bb *ἕως ἐγγόνων ἡμῶν* C 13 *ἄνδρας* ante *ἀγαθοὺς* inserendum esse c. Cobet Obs. p. 118 15 *μόνω — οὕτω* A *16 ἀπεργασαίμεθα* c. Kiessling 17 *ὁ* add. Reiske

*ἔσχον καὶ διέμεινα ἐπὶ τῶν ἐγνωσμένων οὔτε φόβῳ
ἀποτραπεὶς οὔτε δεήσει οὔτε χάρισιν εἴξας, νῦν δ'
ἰδιώτης ὢν ῥίψαιμι ἐμαυτὸν καὶ τὴν παρρησίαν κατα-
προδοίην· εἴτε μου τὸ ἐλεύθερον τῆς ψυχῆς ὑμῶν* 2
*ἕκαστος βούλεται ἀποκαλεῖν εὐγενὲς εἴτε αὔθαδες, ὅσον*
127 *ἂν ζῶ χρόνον οὐκ ἀποστήσομαι τοῦ ἤδη καλῶς
δεδογμένου, καὶ οὐδέποτε εἰσάξω χαριζόμενος τοῖς
κακοῖς χρεῶν ἀποκοπάς, ἀλλὰ καὶ πρὸς τοὺς εἰσάγον-
τας αὐτὰς ἁπάσῃ προθυμίᾳ χρώμενος ὁμόσε χωρήσω,
λογιζόμενος, ὅτι πᾶσα κακία καὶ διαφθορὰ καὶ συλ-
λήβδην ἀνατροπὴ πόλεως ἀπὸ χρεοκοπίας ἄρχεται. καὶ* 3
*εἴτε τις ἀπὸ τοῦ φρονίμου εἴτε διὰ μανίας τινός,
ἐπειδὴ οὐ τὸ ἴδιον ἀσφαλές, ἀλλὰ τὸ τῆς πόλεως ἀξιῶ
σκοπεῖν, εἴτε ὁπωσδήποτε οἰήσεται τάδε λέγεσθαι,
συγχωρῶ αὐτῷ νομίζειν, ὅπως βούλεται, μέχρι δὲ παν-
τὸς ἐναντιώσομαι τοῖς μὴ τὰ πάτρια πολιτεύματα εἰση-
γησομένοις. ἐπειδὴ δ' οὐ τὰ χρέα ἀπαιτοῦσιν οἱ καιροί,
μεγάλην δὲ βοήθειαν, ὃ μόνον ἔσται τῆς διχοστασίας
φάρμακον ἐν τῷ παρόντι φράσω· δικτάτορα ἕλεσθε*
128 *κατὰ τάχος, ὃς ἀνευθύνῳ χρώμενος ἐξουσίᾳ καὶ βου-
λὴν καὶ δῆμον ἀναγκάσει τὰ κράτιστα τῷ κοινῷ φρο-
νεῖν· ἄλλη γὰρ οὐκ ἔσται τηλικούτου κακοῦ λύσις.*

XXXVIIII. *Ταῦτ' εἰπόντος Ἀππίου καὶ τῶν νέων
ἐπιθορυβησάντων ὡς τὰ δέοντα εἰσηγουμένου, Σερου-*

6 verba *οὐκ ἀποστήσομαι τοῦ ἤδη καλῶς δεδογμένου* om. ABC, praebent CmgDE 7 *καὶ* del. Kiessling, ante *ὅσον* transponit Sylburg illis verbis omissis 12 *φρον⟨ι⟩μου* B *φρονίμου τινὸς* O *ἀπὸ νοῦ φρονίμου εἴτε νὴ Δία μανίας τινὸς* c. Reiske 15 *συγχωρῶν* c. Reiske 16 *τοῖς τὰ μὴ πάτρια* c. Cobet p. 119 | *εἰςηγησαμένοις* O *εἰςηγησομένοις* c. Portus 19 *ἕλεσθαι* O corr. Sintenis Em. Dion. II 30 20 *ἀνυπευθύνῳ* c. Sylburg

ίλιός τ' ἀντιλέξων ἀνέστη καὶ ἄλλοι τινὲς τῶν πρεσβυτέρων· ἡττῶντο δ' ὑπὸ τῶν νεωτέρων ἐκ παρασκευῆς τ' ἀφικνουμένων καὶ βίᾳ πολλῇ χρωμένων, καὶ πέρας ἐνίκησεν ἡ Ἀππίου γνώμη.
2 καὶ μετὰ ταῦτα οἱ ὕπατοι κοινῇ γνώμῃ χρησάμενοι τῶν πλείστων οἰομένων τὸν Ἄππιον ἀποδειχθήσεσθαι δικτάτορα, ὡς μόνον ἐπικρατῆσαι τῆς προστασίας δυνησόμενον, ἐκεῖνον μὲν ἀπήλασαν, Μάνιον δ' Οὐαλέριον ἀδελφὸν Ποπλίου Οὐαλερίου τοῦ πρώτου ὑπατεύσαντος καὶ δημοτικώτατον δοκοῦντα ἔσεσθαι καὶ ἄνδρα γηραιὸν ἀπέδειξαν, αὐτὸ τὸ φοβερὸν οἰόμενοι τῆς ἐξουσίας 11 ἀποχρῆναι, ἀνδρὸς δὲ τὰ πάντα ἐπιεικοῦς τοῖς πράγμασι δεῖν, ἵνα μηδὲν ἐξεργάσηται νεώτερον.

XXXX. Παραλαβὼν δὲ τὴν ἀρχὴν Οὐαλέριος καὶ προσελόμενος ἱππάρχην Κόιντον Σερουίλιον, ἀδελφὸν τοῦ συνυπατεύσαντος Ἀππίῳ Σερουιλίου, παρήγγειλε τὸν δῆμον εἰς ἐκκλησίαν παρεῖναι. συνελθόντος δ' ὄχλου συχνοῦ τότε πρῶτον, ἐξ οὗ τὴν ἀρχὴν ὁ Σερουίλιος ἀπέθετο καὶ ὁ δῆμος ἀγόμενος ἐπὶ τὰς στρατείας εἰς φανερὰν ἀπόνοιαν ἐτράπετο, προελθὼν ἐπὶ τὸ βῆμα ἔλεξεν· Ὦ πολῖται, εὖ ἴσμεν, ὅτι βουλομένοις ὑμῖν ἐστιν ἀεί τινας ἐκ τοῦ Οὐαλερίων γένους ἄρχειν ὑμῶν, ὑφ' ὧν ἐλεύθεροι τυραννίδος χαλεπῆς γεγόνατε καὶ οὐδενὸς τῶν μετρίων ἀτυχήσειν τάχ' ἂν ἐπιμείναιτε 11

2 ἡττῶντο δὲ τῶν B ἤ. δὲ ὑπὸ τῶν R 7 προστασίας O διχοστασίας c. Sylburg 11 αὐτὸ AB | φοβερὸν B φανερὸν A 15 προελόμενος O προσελόμενος Sylburg 16 Σερουιλίῳ O corr. Sylburg 19 ἀγόμενος] ἀναγκαζόμενος c. Kiessling 20 ἐλθὼν O προελθὼν Kiessling 24 *ἀτυχήσειν ἢ τάχα μίαν ἄτε O ἢ τάχα τε μιάνατε C ἀ. οὐδὲ πάσχειν βίαν προσδοκᾶτε c. Reiske ἀ. ἢ μὴν τάχα μέλλετε c. Meutzner Ann. phil. 1882 p. 262 τάχ' ἂν ἐπιμείναιτε ego

ὑμᾶς αὐτοὺς ἐπιτρέψαντες τοῖς ἁπάντων δημοτικωτάτοις δοκοῦσι καὶ οὖσιν. ὥστ' οὐ διδαχῆς ὑμῖν δεομένοις 2 ὅτι βεβαιώσομεν τῷ δήμῳ τὸ ἐλεύθερον, οἷπερ καὶ ἐξ ἀρχῆς αὐτὸ ἐδώκαμεν, οἱ λόγοι ἔσονται, ἀλλὰ παρακλήσεως μετρίας, ἵνα πιστεύητε ἡμῖν, ὅ τι ἂν ὑποσχώμεθα, ἐμπεδώσειν. ἡλικίας γάρ, ἣ τὸ φενακίζειν ἥκιστα ἐπιδέχεται, ἐπὶ τὸ τέλειον ἥκομεν, καὶ ἀξιώσεως, ἣ τοῦ ῥᾳδιουργεῖν ἐλάχιστον φέρεται μέρος, ἀρκούντως ἔχομεν, χρόνον τε οὐχ ἑτέρωθί που τὸν λειπόμενον βιοτεύειν μέλλομεν, ἀλλ' ἐν ὑμῖν δίκας, ὧν ἂν ἐξαπατῆσαι δοκῶμεν, ὑφέξοντες. ταῦτα μὲν οὖν, 3 ὥσπερ ἔφην, ὡς οὐ μακρῶν δεόμενος λόγων πρὸς εἰδότας, ἐάσω. ὃ δέ μοι δοκεῖτε παθόντες ὑφ' ἑτέρων εἰκότως ἐπὶ πάντων ὑποπτεύειν, ὁρῶντες αἰεί τινα τῶν παρακαλούντων ὑμᾶς ἐπὶ τοὺς πολέμους ὑπάτων 131 ὑπισχνούμενον, ὧν ἂν δέησθε, παρὰ τῆς βουλῆς διαπράξεσθαι, μηδὲν δ' ἐπὶ τέλος ἄγοντα τῶν ὁμολογηθέντων· τοῦτο ὡς οὐ δικαίως ἂν ὑποπτεύοιτε καὶ περὶ ἐμοῦ, δυσὶν ἂν τοῖσδε μάλιστα πιστωσαίμην, τῷ τε μὴ ἂν ἐμοὶ τὴν βουλὴν εἰς τοῦτο τὸ λειτούργημα, ἑτέρων ὄντων [τῶν] ἐπιτηδειοτέρων, τῷ φιλοδημοτάτῳ δοκοῦντι εἶναι καταχρήσασθαι· καὶ τῷ μὴ ἂν αὐτοκράτορι κοσμῆσαι ἀρχῇ, δι' ἣν τὰ δόξαντά μοι κράτιστα εἶναι καὶ δίχ' ἐκείνης ἐπικυροῦν δυνήσομαι.

1 ἐπιστρέψαντες B (σ eras.) 2 ὥστ'] ὡς B | ἡμῖν AB | δεομένοις O δεόμενοι Kiessling 6 ὑπεσχόμεθα AB 7 ante ἐπιδέχεται in ras. 3—4 litt. B | ἐπὶ τὸ λειον Aa ἐπὶ τὸ τέλειον Ab ἐπὶ τέλειον A 9 ποι B 14 ante ἐπὶ 2 litt. erasae videntur 15 πολεμίους O corr. Sylburg | ὑπισχνούμενον μὲν Cobet Obs. p. 119 16 διαπράξασθαι A 18 ὑποπτεύητε O corr. Reiske 21 τῶν del. Pflugk 24 *δίχα O | ἐπικουρεῖν O corr. Portus

XXXXI. *Οὐ γὰρ δήπου συνεξαπατᾶν ὑμᾶς ἐπιστάμενον τὴν ἀπάτην καὶ βουλευσάμενόν ⟨με⟩ μετὰ ταύτης συγκακουργεῖν ὑπολαμβάνετε. εἰ γὰρ ταῦτα ὑμῖν εἰσέρχεται περὶ ἐμοῦ ὡς ἁπάντων ἀνθρώπων κακουργοτέρου, ...... ὅ τι βούλεσθε χρώμενοί μοι ταύτης μὲν τῆς ὑποψίας ἐμοὶ πειθόμενοι τὰς ψυχὰς ἐλευθερώσατε, ἐπὶ δὲ τοὺς πολεμίους τὴν ὀργὴν μετάθετε ἀπὸ τῶν φίλων, οἳ πόλιν τε ὑμᾶς ἀφελούμενοι ἥκουσι* 113E
*καὶ ἀντ' ἐλευθέρων δούλους ποιήσοντες καὶ τἆλλα, ὅσα δεινὰ ἐν ἀνθρώποις νενόμισται, διαθεῖναι σπεύ-*
2 *δοντες οὐ πόρρω τῆς χώρας εἶναι ἀγγέλλονται. προθύμως οὖν ἀπολύσασθε ⟨τὰς διαβολὰς⟩ καὶ δείξατε αὐτοῖς, ὅτι καὶ στασιάζουσα ἡ Ῥωμαίων δύναμις κρείττων ἑτέρας ἐστὶν ὁμονοούσης· ἢ γὰρ οὐχ ὑπομενοῦσιν ὑμᾶς ἐπιόντας ὁμοθυμαδὸν ἢ δίκας ὑφέξουσι τῆς τόλμης ἀξίας· ἐνθυμήθητε γάρ, ὅτι Οὐολοῦσκοι καὶ Σαβῖνοί εἰσιν, ὧν πολλάκις ἐκρατήσατε μαχομένων, οἱ τὸν πόλεμον ἐπάγοντες ὑμῖν, οὔτε σώματα νῦν μείζονα λαβόντες οὔτε ψυχὰς τῶν προτέρων ἀλκιμωτέρας κτησάμενοι, ἀλλ' ὡς ⟨ἐχθρῶς⟩ πρὸς ἀλλήλους ἐχόντων*

1 *ἐμὲ* post *ὑμᾶς* add. Cobet Obs. p. 119  2 **με* ante *μετὰ* inserui  4 *κακουργοτέρου* O *κακουργοτάτῳ* Reiske *κακουργοτάτου οὐκ ἂν φθάνοιτε ὅτε βούλεσθε χρώμενοι* idem scribi posse arbitratur, lacunam ante *ὅτι* statuendam esse c. Kiessling, *κακουργοτέρου, ταύτην ἀφέλησθέ του τὴν ἀρχὴν* c. Meutzner p. 263  5 *εἰ δὲ μὴ* inserit ante *ταύτης* Smit Obs. p. 25 *ταύτης μὲν οὖν* c. Reiske  11 *πρόσω* Ba  12 **ἀποδέξασθε* B *ἀποδύσασθε* R quod def. Kayser Ann. phil. 1866 p. 46 *ἀγωνίσασθε* Cobet Obs. p. 119 *ἐνδύσασθε* Smit l. l. *ὑποδύσασθε* Schenkl Bursiani Litter. Annal. breviarium p. 37 *ἀπολύσασθε* Meutzner p. 263 *ἀπολύσασθε τὰς διαβολὰς* ego  17 *μαχόμενοι* Cobet l. l.  20 post *ὡς* deesse Sylburgio videtur *στασιαστικῶς, διαφόρως, πολεμίως, ἐχθρῶς* vel simile; *ἀλλοίως* Reiske, *ἀλλοτρίως* Kiessling inseruerunt, *ὧς* scrib. Meutzner p. 263

καταφρονήσαντες ὑμῶν. ὅταν δὲ τοὺς πολεμίους τιμωρήσησθε, ἐγγυῶμαι ὑμῖν τὴν βουλὴν ἐγὼ τάς τε ὑπὲρ τῶν χρεῶν φιλονεικίας καὶ ὅ τι ἂν ἄλλο παρ' αὐτῆς αἰτῆσθε μέτριον, ἀξίως τῆς ἀρετῆς, ἣν ἂν παράσχησθε ἐν τῷ πολέμῳ, βραβεύσειν. τέως δ' ἀφείσθω 3
1133 πᾶσα μὲν οὐσία, πᾶν δὲ σῶμα, πᾶσα δ' ἐπιτιμία πολίτου Ῥωμαίου ἀρρυσίαστος ἀπό τε δανείου καὶ ἄλλου παντὸς συμβολαίου. τοῖς δὲ προθύμως ἀγωνισαμένοις κάλλιστος μὲν στέφανος πόλις ἥδε ἡ γειναμένη στᾶσα ὀρθή, καλὸς δὲ καὶ ὁ παρὰ τῶν συνόντων ἔπαινος ὑπάρξει· καὶ ὁ παρ' ἡμῶν κόσμος ἱκανὸς οἶκόν τ' ἐπανορθῶσαι χρήμασι καὶ γένος ἐπιλαμπρῦναι τιμαῖς. παράδειγμά τε ὑμῖν ἀξιῶ γενέσθαι τοὐμὸν εἰς τοὺς κινδύνους πρόθυμον· ὑπεραγωνιοῦμαι γὰρ ὡς ὁ κράτιστα ἐρρωμένος ὑμῶν.

XXXXII. Ταῦτ' εἰπόντος αὐτοῦ πᾶς ὁ δῆμος ἄσμενος ἀκούσας ὡς οὐδὲν ἔτι φενακισθησόμενος ὑπέσχετο συνάρασθαι τοῦ πολέμου, καὶ γίνεται δέκα στρατιωτικὰ τάγματα, ἐξ ἀνδρῶν τετρακισχιλίων ἕκαστον. τούτων τρία μὲν ἑκάτερος τῶν ὑπάτων ἔλαβε καὶ τῶν
1134 ἱππέων ὅσον ἑκάστῳ προσεμερίσθη· τὰ δὲ τέτταρα καὶ τοὺς λοιποὺς ἱππεῖς ὁ δικτάτωρ. καὶ αὐτίκα παρασκευασάμενοι ᾤχοντο διὰ τάχους ἐπὶ μὲν Αἰκανοὺς Τῖτος Οὐετούριος, ἐπὶ δ' Οὐολούσκους Αὖλος Οὐεργίνιος,

5 βραβεύειν A | φιλανθρωπίας c. dubitanter Kiessling 7 ῥωμαίων B ῥωμαίου A? et Sylburg 9 στᾶσα B et Reiske πᾶσα R 10 συνόντων] συνειδότων c. Kiessling 13 *τὸ ἐμὸν O 18 συνάρασθαι O συναρεῖσθαι Cobet Obs p. 120 Hertlein Hermes X 415 | τοὺς πολέμους Ba | καὶ γίνεται δέκα A γίνεται δὲ καὶ — τάγματα δέκα B 21 ἕκαστος O ἑκάτερος Cobet l. l.

αὐτὸς δ' ὁ δικτάτωρ Οὐαλέριος ἐπὶ Σαβίνους, τὴν δὲ πόλιν ἅμα τοῖς γεραιτέροις καὶ ὀλίγῳ τινὶ στρατεύματι
2 ἀκμαίῳ Τῖτος Λάρκιος ἐφύλαττεν. ὁ μὲν οὖν Οὐολούσκων πόλεμος ταχεῖαν τὴν κρίσιν ἔλαβε· πλήθει γὰρ ὑπεραίρειν πολὺ νομίσαντες τῶν προτέρων κακῶν ἀναμνησθέντες, ἀγωνισταὶ ταχίους ἢ φρονιμώτεροι ἀναγκασθέντες γενέσθαι θᾶττον πρῶτοι ὥρμησαν ἐπὶ τοὺς Ῥωμαίους, ἡνίκα ὤφθησαν ἐν συνόψει στρατοπεδεύσαντες. γενομένης δὲ μάχης καρτερᾶς πολλὰ μὲν δράσαντες γενναῖα, πλείω δὲ τὰ δεινὰ ὑπομείναντες εἰς φυγὴν τρέπονται, καὶ ὅ τε χάραξ αὐτῶν ἑάλω καὶ πόλις ἐπιφανὴς ἐκ πολιορκίας παρέστη· Οὐέλιτραι δ'
3 ὄνομα αὐτῇ. ὁμοίως δὲ καὶ τὸ Σαβίνων φρόνημα ἐν ὀλίγῳ πάνυ ἐταπεινώθη χρόνῳ μιᾷ παρατάξει ἐξ ἀμφοτέρων βουληθέντων ⟨ἐπικρατεῖν⟩. ἔπειτα ἥ τε χώρα 113≡
προὐνομεύθη, καὶ πολίχναι τινὲς ἑάλωσαν, ἐξ ὧν πολλὰ καὶ σώματα καὶ χρήματα οἱ στρατιῶται ἔλαβον. Αἰκανοὶ δὲ τὰ τῆς ἀσθενείας ἑαυτῶν ὑφορῶντες· ἐπεὶ τὰ τῶν συμμάχων τέλος ἔχοντα ἐπύθοντο, χωρίοις τ' ἐχυροῖς ἐπεκάθηντο καὶ εἰς μάχας οὐ προῄεσαν, τάς τ' ἀποχωρήσεις, ὅπῃ ἐδύναντο, δι' ὀρῶν ἢ δρυμῶν κρυ-

1 *Οὐαλέριος* del. Kiessling 5 *καὶ τῶν* Kiessling 6 *ἀναγκασθέντες* del. Sintenis Em. Dion. II 27, *γενόμενοι* pro *γενέσθαι*, *πρότεροι* pro *πρῶτοι* scribenda esse idem censet cf. Kayser Ann. phil. 1866 p. 42 14 **παρατάξει ἐξ ἀμφοτέρων βουληθέντων* O *π. ἀμφοτέρων νουθετηθέντων* vel *π. δ' ἀμφοτέρων νουθετηθέντων ἔπειτα* eqs. c. Sintenis Em. Dion. II 27 *ἐξ ἀμφοτέρων καταβληθέντων ἔπειτα* c. Meutzner p. 264 *βουληθέντων ἐπικρατεῖν. ἔπειτα* eqs. ego 16 **προενομεύθη* O 21 *ὑποχωρήσεις* c. Sylburg | *κούφας* A *κορυφαῖς* B *κορυφῶν* vulgo *κρυφαίους* Reiske *κρυφαίας* Sintenis Em. Dion. I 18, *κρύφα* Cobet Nov. Lect. p. 446 et Sintenis Em. Dion. III 18, sed cf. *Meineke* Philologus tom. XIV (1859) p. 10

φαίας ἐποιοῦντο, καὶ διέτριψαν μὲν ἄχρι τινὸς διαφέροντες τὸν πόλεμον· οὐ μέντοιγε διασώσασθαι ἀθῷον τὴν στρατιὰν ἐδυνήθησαν ἐπιθεμένων αὐτοῖς τῶν Ῥωμαίων ἐν χωρίοις κρημνώδεσι τολμηρῶς καὶ λαβόντων τὸ στρατόπεδον κατὰ κράτος. ἔπειτα φυγή τ' αὐτῶν ἐκ τῆς Λατίνων γῆς ἐγένετο καὶ παραδόσεις τῶν πόλεων, ἃς ἔτυχον αὐτῶν τῇ πρώτῃ ἐφόδῳ καταλαβόμενοι, εἰσὶ δ' ὧν καὶ ἐκ φιλονεικίας οὐκ ἐκλιπόντων τὰς ἄκρας ἁλώσεις.

136 XXXXIII. Οὐαλέριος δὲ κατὰ νοῦν χωρήσαντος αὐτῷ τοῦ πολέμου τὸν εἰωθότα θρίαμβον ἀπὸ τῆς νίκης καταγαγὼν ἀπέλυσε τὸν δῆμον ἀπὸ τῆς στρατείας, οὔπω τῆς βουλῆς καιρὸν εἶναι νομιζούσης, ἵνα μὴ τὰς ὑποσχέσεις ἀπαιτοῖεν οἱ ἄποροι· εἰς δὲ τὴν δορίκτητον, ἣν Οὐολούσκους ἀφείλοντο, κληρούχους ἀπέστειλεν ἐπιλέξας ἄνδρας ἐκ τῶν ἀπόρων, οἵ τήν τε πολεμίαν φρουρήσειν ἔμελλον καὶ τὸ ἐν τῇ πόλει στασιάζον ἔλαττον ἀπολείψειν. ταῦτα διοικησάμενος ἠξίου 2 τὴν βουλὴν τὰς ὑποσχέσεις αὐτῷ βεβαιῶσαι κεκομισμένην τὸ παρὰ τοῦ πλήθους πρόθυμον ἐν τοῖς ἀγῶσιν. ὡς δ' οὐ προσεῖχεν αὐτῷ τὸν νοῦν, ἀλλ', ὅπερ πρότερον ἠναντιοῦτο, τῇ γνώμῃ συστρέψαντες ἑαυτοὺς νέοι καὶ βίαιοι καὶ πλήθει τῶν ἑτέρων ἐπικρατοῦντες
137 καὶ τότε ἀντέπραττον καὶ πολλῇ καταβοῇ ἐχρῶντο, τὴν οἰκίαν αὐτοῦ δημοκόλακα ἀποφαίνοντες καὶ νόμων

4 τολμηροῖς Ba  6 ἐκ τῆς Λατίνων in ras. Ba, erasum videtur τῇ πρώτῃ ἐφόδῳ | τῶν add. B  8 ἔστι δὲ B  9 ἅλωσις O corr. Reiske  15 δορύκτητον O  18 ἀπολείψειν O ἀποδείξειν c. Kiessling  21 οἵπερ — ἠναντιοῦντο c. Sylburg 25 αὐτῶν O αὐτοῦ Bücheler

*αὐτὸς δ' ὁ δικτάτωρ Οὐαλέριος ἐπὶ Σαβίνους, τὴν δὲ πόλιν ἅμα τοῖς γεραιτέροις καὶ ὀλίγῳ τινὶ στρατεύματι*
2 *ἀκμαίῳ Τῖτος Λάρκιος ἐφύλαττεν. ὁ μὲν οὖν Οὐολούσκων πόλεμος ταχεῖαν τὴν κρίσιν ἔλαβε· πλήθει γὰρ ὑπεραίρειν πολὺ νομίσαντες τῶν προτέρων κακῶν ἀναμνησθέντες, ἀγωνισταὶ ταχίους ἢ φρονιμώτεροι ἀναγκασθέντες γενέσθαι θᾶττον πρῶτοι ὥρμησαν ἐπὶ τοὺς Ῥωμαίους, ἡνίκα ὤφθησαν ἐν συνόψει στρατοπεδεύσαντες. γενομένης δὲ μάχης καρτερᾶς πολλὰ μὲν δράσαντες γενναῖα, πλείω δὲ τὰ δεινὰ ὑπομείναντες εἰς φυγὴν τρέπονται, καὶ ὅ τε χάραξ αὐτῶν ἑάλω καὶ πόλις ἐπιφανὴς ἐκ πολιορκίας παρέστη· Οὐέλιτραι δ'*
3 *ὄνομα αὐτῇ. ὁμοίως δὲ καὶ τὸ Σαβίνων φρόνημα ἐν ὀλίγῳ πάνυ ἐταπεινώθη χρόνῳ μιᾷ παρατάξει ἐξ ἀμφοτέρων βουληθέντων ⟨ἐπικρατεῖν⟩. ἔπειτα ἥ τε χώρα προὐνομεύθη, καὶ πολίχναι τινὲς ἑάλωσαν, ἐξ ὧν πολλὰ καὶ σώματα καὶ χρήματα οἱ στρατιῶται ἔλαβον. Αἰκανοὶ δὲ τὰ τῆς ἀσθενείας ἑαυτῶν ὑφορῶντες· ἐπεὶ τὰ τῶν συμμάχων τέλος ἔχοντα ἐπύθοντο, χωρίοις τ' ἐχυροῖς ἐπεκάθηντο καὶ εἰς μάχας οὐ προήεσαν, τάς τ' ἀποχωρήσεις, ὅπῃ ἐδύναντο, δι' ὀρῶν ἢ δρυμῶν κρυ-*

1 *Οὐαλέριος* del. Kiessling 5 *καὶ τῶν* Kiessling 6 *ἀναγκασθέντες* del. Sintenis Em. Dion. II 27, *γενόμενοι* pro *γενέσθαι*, *πρότεροι* pro *πρῶτοι* scribenda esse idem censet cf. Kayser Ann. phil. 1866 p. 42 14 **παρατάξει ἐξ ἀμφοτέρων βουληθέντων* O *π. ἀμφοτέρων νουθετηθέντων* vel *π. δ' ἀμφοτέρων νουθετηθέντων ἔπειτα* eqs. c. Sintenis Em. Dion. II 27 *ἐξ ἀμφοτέρων καταβληθέντων ἔπειτα* c. Meutzner p. 264 *βουληθέντων ἐπικρατεῖν. ἔπειτα* eqs. ego 16 **προενομεύθη* O 21 *ὑποχωρήσεις* c. Sylburg | *κούφας* A *κορυφαῖς* B *κορυφῶν* vulgo *κρυφαίους* Reiske *κρυφαίας* Sintenis Em. Dion. I 18, *κρύφα* Cobet Nov. Lect. p. 446 et Sintenis Em. Dion. III 18, sed cf. Meineke Philologus tom. XIV (1859) p. 10

39 νατός ἐστιν ἔργῳ ἐπεξελθεῖν, καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν τοῦ κοινοῦ πρόνοια ἰδίᾳ πρὸς ἑκάτερον μέρος ἀπέχθεια φαινομένη. τῇ τε γὰρ βουλῇ δι' αἰτίας εἰμὶ ὡς τὸ ὑμέτερον πλῆθος θεραπεύων καὶ πρὸς ὑμᾶς διαβέβλημαι, ὡς ἐκείνῃ μᾶλλον τὴν εὔνοιαν ἀποδεικνύμενος.

XXXXIIII. Εἰ μὲν οὖν ὁ δῆμος εὖ προπαθὼν ἐξέλιπε τὰς δι' ἐμοῦ τῇ βουλῇ γενομένας ὑποσχέσεις, ἐκεῖνά μοι ἀπολογητέα ἦν, ὅτι ἐψεύσασθε ὑμεῖς, ἐν ἐμοὶ δ' οὐδὲν κακούργημα ἦν· ἐπεὶ δὲ τὰ παρὰ τῆς βουλῆς ὁμολογηθέντα οὐ γέγονεν ὑμῖν ἐπιτελῆ, πρὸς τὸν δῆμον ὁ λόγος ἤδη ἀναγκαῖος γίγνεταί μοι, ὅτι οὐκ ἐμοὶ συνδοκοῦντα πεπόνθατε, ἀλλ' ὁμοίως πεφενακίσμεθα καὶ παραλελογίσμεθα ἀμφότεροι, καὶ μᾶλλον ὑμῶν ἐγώ,
140 ὅς γε οὐχ ἃ κοινῇ ἠπάτημαι μετὰ πάντων μόνον ἀδικοῦμαι, ἀλλὰ καὶ ὅσα ἰδίᾳ κακῶς ἀκήκοα, ὡς δὴ τά τε παρὰ τῶν πολεμίων ἁλόντα οὐ μετὰ κοινῆς γνώμης τοῦ συνεδρίου τοῖς ἀπόροις ὑμῶν βουλόμενος ἰδίαν ὠφέλειαν περιποιήσασθαι παρασχὼν καὶ τὰς τῶν πολιτῶν οὐσίας δημεύειν ἀξιῶν ἐκείνης γε κωλυούσης καὶ μὴ παρανομεῖν, στρατιάς τ' ἐναντιουμένων τῶν βουλευτῶν ἀφεικώς, δέον ὑπὸ ταῖς ἀγραυλίαις καὶ πλά-

3 φερομένη O φαινομένη Stephanus 7 ἐξέλειπε Ba 8 ἐκεῖνά O ἐκείνῃ c. Sintenis Em. Dion. II 30 ἐκεῖ — ἀπολογητέον ἂν ἦν c. Meutzner p. 265, ἐκεῖνα — ἀπολογητέ' ἂν ἦν Schenkl p. 37 cf. Reudler Obs. p. 46, sed ἂν falsissimum est 10 ἐπειδὴ Ba 13 συνδοκοῦν ταῦτα c. Cobet Obs. p. 120 18 βουλόμενος om. B 19 ποιήσασθαι O περιποιήσασθαι Reiske 20 ἀξιῶν ἧς γε O ἀ. ἐκείνης γε Sylburg ἀ. αὐτῆς γε Schaller, ἀ. τῆς βουλῆς γε Kiessling | *ἢ μὴ O ἢ del. Schmitz de Dion. Hal. locis p. 24 καὶ ego; cf. Baumann Obs. gramm. p. 50

2 ναις ἐν τῇ πολεμίᾳ κατέχειν ὑμᾶς. ὠνείδισται δέ μοι καὶ ἡ τῶν κληρούχων εἰς Οὐολούσκους ἐκπομπή, ὅτι γῆν πολλὴν καὶ ἀγαθὴν οὐ τοῖς πατρικίοις οὐδὲ τοῖς ἱππεῦσιν ἐχαρισάμην, ἀλλὰ τοῖς ἀπόροις ὑμῶν διένειμα· καὶ ὃ μάλιστά μοι τὴν πλείστην ἀγανάκτησιν παρέσχεν, ὅτι πλείους ἢ τετρακόσιοι ἄνδρες ἐκ τοῦ δήμου τοῖς ἱππεῦσι προσκατελέγησαν ἐπὶ τῆς στρατολογίας βίων
3 εὐπορήσαντες. εἰ μὲν οὖν ἀκμάζοντί μοι τὸ σῶμα 1141
ταῦτα προσέπεσε, δῆλον ἂν ἔργῳ ἐποίησα τοῖς ἐχθροῖς, οἷον ὄντα με ἄνδρα προὐπηλάκισαν· ἐπειδὴ δ' ὑπὲρ ἑβδομήκοντα ἔτη γέγονα καὶ οὐ δυνατὸς ἔτι ἀμύνειν ἑαυτῷ εἰμι ὁρῶ τε, ὅτι οὐκ ἂν ἔτι ὑπ' ἐμοῦ παύσαιτο ἡ στάσις ὑμῶν, ἀποτίθεμαι τὴν ἀρχὴν καὶ ἐπὶ τοῖς βουλομένοις τὸ σῶμα ἐμαυτοῦ ποιῶ, εἴ τι οἴονται ὑπ' ἐμοῦ ἐξηπατῆσθαι, χρήσασθαί μοι ὅτι ἂν δικαιῶσι.

XXXXV. Ταῦτ' εἰπὼν τὸ μὲν δημοτικὸν ἅπαν εἰς συμπάθειαν ὑπηγάγετο, καὶ προὔπεμψαν αὐτὸν ἐκ τῆς ἀγορᾶς ἀπιόντα· τὴν δὲ βουλὴν ἔτι χαλεπωτέραν αὐτῷ γενέσθαι παρεσκεύασεν. εὐθὺς δὲ μετὰ τοῦτο τάδε ἐγίνετο· οἱ μὲν πένητες οὐκέτι κρύφα οὐδὲ νύκτωρ ὡς πρότερον, ἀλλ' ἀναφανδὸν ἤδη συνιόντες ἐβούλευον ἀπόστασιν ἐκ τῶν πατρικίων· ἡ δὲ βουλὴ κωλύειν διανοουμένη τοῖς ὑπάτοις ἐπέταξε μήπω λύειν τὰ στρατεύματα. τῶν γὰρ τριῶν ταγμάτων ⟨ἑκάτερος⟩ ἔτι 1142
κύριος ἦν τοῖς στρατιωτικοῖς ὅρκοις κατειργομένων καὶ οὐδεὶς ἀπολείπεσθαι τῶν σημείων ἠξίου· τοσοῦτον

12 ἑμαυτῷ c. Hertlein Hermes X p. 414 | ὁρῶν O ὁρῶ Sylburg 22 ἐκ τῆς πατρίδος c. Bücheler | ἀπὸ τῶν πατρικίων c. Cobet Obs. p. 120 24 τῶν γὰρ ἱερῶν O τῶν γὰρ τριῶν c. Niebuhr Hist. Rom. tom. II not. 1331 | ἑκάτερος ἔτι κύριος c. Kiessling 25 στρατιω⟨τικ⟩οῖς B

ἴσχυσεν ὁ τῶν ὅρκων ἐν ἑκάστῳ φόβος. πρόφασις δὲ κατεσκευάσθη τῆς στρατείας, ὡς Αἰκανῶν καὶ Σαβίνων συνεληλυθότων εἰς ἓν ἐπὶ τῷ κατὰ Ῥωμαίων πολέμῳ.
ὡς δὲ προῆλθον ἔξω τῆς πόλεως οἱ ὕπατοι τὰς δυνά- 2
μεις ἔχοντες καὶ τὰς παρεμβολὰς οὐ πρόσω ἀπ' ἀλλήλων ἔθεντο, συνελθόντες οἱ στρατιῶται εἰς ἓν ἅπαντες, ὅπλων τε καὶ σημείων ὄντες κύριοι, Σικιννίου τινὸς Βελλούτου παροξύναντος αὐτοὺς ἀφίστανται τῶν ὑπάτων ἁρπάσαντες τὰ σημεῖα· τιμιώτατα γὰρ Ῥωμαίοις ταῦτ' ἐπὶ στρατείας καὶ ὥσπερ ἱδρύματα θεῶν ἱερὰ νομίζονται· λοχαγούς τε ἑτέρους καὶ περὶ πάντων ἄρχοντα τὸν Σικίννιον ἀποδείξαντες, ὄρος τι καταλαμβάνονται πλησίον Ἀνίητος ποταμοῦ κείμενον, οὐ πρόσω τῆς Ῥώμης, ὃ νῦν ἐξ ἐκείνου Ἱερὸν ὄρος καλεῖται.
τῶν δ' ὑπάτων καὶ λοχαγῶν μετακαλούντων αὐτοὺς 3
143 ἅμα δεήσει καὶ οἰμωγῇ καὶ πολλὰ ὑπισχνουμένων ἀπεκρίνατο ὁ Σικίννιος· Τίνα γνώμην ἔχοντες, ὦ πατρίκιοι, οὓς ἀπηλάσατε ἐκ τῆς πατρίδος καὶ ἀντ' ἐλευθέρων δούλους ἐποιήσατε, νῦν μετακαλεῖτε; ποίᾳ δὲ πίστει τὰς ὑποσχέσεις ἡμῖν ἐμπεδώσετε, ἃς πολλάκις ἤδη ψευσάμενοι ἐλέγχεσθε; ἀλλ' ἐπειδὴ μόνοι τὴν πόλιν ἀξιοῦτε κατέχειν, ἄπιτε μηδὲν ὑπὸ τῶν πενήτων καὶ ταπεινῶν ἐνοχλούμενοι· ἡμῖν δ' ἀρκέσει πᾶσα γῆ, ἐν ᾗ ἂν τὸ ἐλεύθερον ἔχωμεν, ὁποία ποτ' ἂν ᾖ, νομίζεσθαι πατρίς.

1 ἴσχυεν c. Cobet Obs. p. 120 3 ⟨ἐπ⟩εληλυθότων Ba 5 οὐ πρόσω ⟨ἀ⟩π' B οὐ μακρὰν ἀπ' Krebs Praepositionsadv. I 13 cf. Schenkl p. 240 6 οἱ στρατιῶται εἰς ἓν πάντες O εἰς ἓν οἱ στρατιῶται πάντες verba collocanda esse censet Tegge de usu praep. p. 5 n. 7 Σικινίου A Σικυνίου Ba Σικιννίου B 8 βέλλου O βελλούτου Sylburg 11 νομίζεται Kiessling | *περὶ ἁπάντων O 24 ὅποι O ὁποία Reiske

XXXXVI. Ὡς δ' ἠγγέλθη ταῦτα τοῖς ἐν τῇ πόλει,
πολὺς θόρυβος καὶ οἰμωγὴ ἦν καὶ διὰ τῶν στενωπῶν
δρόμος, τοῦ μὲν δήμου καταλιπεῖν τὴν πόλιν παρασκευ-
αζομένου, τῶν δὲ πατρικίων ἀποτρέπειν ἀξιούντων καὶ
βίαν τοῖς μὴ βουλομένοις προσφέρειν· βοή τε περὶ
τὰς πύλας καὶ πολὺς ἀνακλαυθμὸς ἦν λόγοι τε κατ'
ἀλλήλων ἐχθροὶ καὶ ἔργα πολεμίων ἐγίνοντο οὐκέτι
διακρίνοντος οὐδενὸς οὔτε ἡλικίαν οὔτε ἑταιρίαν οὔτε
2 ἀξίωσιν ἀρετῆς. ἐπειδὴ δ' οἱ ταχθέντες ὑπὸ τῆς βου- 1144
λῆς φρουρεῖν τὰς ἐξόδους· ἦσαν γὰρ δὴ ὀλίγοι καὶ
οὐχ ἱκανοὶ ἔτι ἀντέχειν· ἐκβιασθέντες ὑπὸ τοῦ δήμου
κατέλιπον τὴν φυλακήν, τότε ἤδη τὸ δημοτικὸν πολὺ
ἐξεχεῖτο, καὶ τὸ πάθος ἦν ἁλώσει πόλεως ἐμφερές,
οἰμωγή τε τῶν ὑπομενόντων καὶ κατάμεμψις ἀλλήλων
ἐγίνετο ἐρημουμένην τὴν πόλιν ὁρώντων. μετὰ τοῦτο
βουλαί τε συχναὶ καὶ κατηγορίαι τῶν αἰτίων τῆς ἀπο-
στάσεως ἐγίνοντο. ἐν δὲ τῷ αὐτῷ καιρῷ καὶ τὰ πολέμια
ἔθνη ἐπετίθεντο αὐτοῖς προνομεύοντα τὴν γῆν ἄχρι
τῆς πόλεως. οἱ μέντοι ἀποστάται τὸν ἀναγκαῖον ἐπι-
σιτισμὸν ἐκ τῶν πλησίον ἀγρῶν λαμβάνοντες, ἄλλο δ'
οὐδὲν τὴν χώραν κακουργοῦντες, ἔμενον ὑπαίθριοι καὶ
τοὺς προσιόντας ἐκ τῆς πόλεως καὶ τῶν πέριξ φρου-
3 ρίων ὑπελάμβανον συχνοὺς ἤδη γινομένους. οὐ γὰρ
μόνον οἱ τὰ χρέα καὶ τὰς καταδίκας καὶ τὰς προσδο-
κωμένας ἀνάγκας διαφυγεῖν προαιρούμενοι συνέρρεον

6 ἀνακλαυθμὸς Cobet Obs. p. 121 Sylburgio monente ἀνα-κλαυσμὸς O 10 verba ἦσαν usque ad δήμου add. in mge Bb superscript. κείμενον 12 τότε δὴ c. Portus 18 ἔθνη add. B | ἐπετίθετο c. Kiessling 19 τῶν ἀναγκαίων Ba | ἀγορῶν A ἀγ.ρῶν B 24 μόν.. Ba μόνοι$^{ον}$ Bb

.45ὡς αὐτούς, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσοις ὁ βίος ἦν ἀργὸς ἢ ῥᾴθυμος ἢ ταῖς ἐπιθυμίαις χορηγεῖν οὐχ ἱκανὸς ἢ πονηρῶν ἐπιτηδευμάτων ζηλωτὴς ἢ φθονερὸς ταῖς ἑτέρων εὐτυχίαις ἢ δι' ἄλλην τινὰ συμφορὰν ἢ αἰτίαν ἀλλοτρίως διακείμενος τῇ καθεστώσῃ πολιτείᾳ.

XXXXVII. Τοῖς δὲ πατρικίοις ἐν μὲν τῷ παραυτίκα ταραχὴ ἐνέπεσε πολλὴ καὶ ἔκπληξις, καὶ ὡς αὐτίκα δὴ μάλα τῶν ἀποστατῶν ἅμα τοῖς ἀλλοεθνέσι πολεμίοις ἐπὶ τὴν πόλιν ἡξόντων δέος. ἔπειθ' ὡς ἐξ ἑνὸς παρακελεύσματος ἁρπάσαντες τὰ ὅπλα σὺν τοῖς οἰκείοις ἕκαστοι πελάταις, οἱ μὲν ἐπὶ τὰς ὁδοὺς ἃς ἥξειν ἐνόμιζον τοὺς πολεμίους παρεβοήθουν, οἱ δ' ἐπὶ τὰ φρούρια φυλακῆς ἕνεκα τῶν ἐρυμάτων ἐξῄεσαν, οἱ δ' ἐν τοῖς προκειμένοις τῆς πόλεως πεδίοις ἐστρατοπεδεύοντο· ὅσοι δὲ διὰ γῆρας ἀδύνατοι τούτων τι δρᾶν ἦσαν ἐπὶ τοῖς τείχεσιν ἐτάξαντο. ἐπεὶ δὲ τοὺς ἀποστάτας κατέ- 2
146μαθον οὔτε τοῖς πολεμίοις προστιθεμένους οὔτε τὴν χώραν δῃοῦντας οὔτε ἄλλο βλάπτοντας οὐδὲν ὅ τι καὶ λόγου ἄξιον, τοῦ δέους ἐπαύσαντο· καὶ μεταθέμενοι τὰς γνώμας, ἐφ' οἷστε διαλλαγήσονται πρὸς αὐτούς, ἐσκόπουν· καὶ ἐλέχθησαν ὑπὸ τῶν ἡγουμένων τοῦ συνεδρίου λόγοι παντοδαποὶ καὶ πλεῖστον ἀλλήλων διάφοροι, μετριώτατοι ⟨δὲ⟩ καὶ πρεπωδέστατοι ταῖς παρούσαις τύχαις, οὓς οἱ πρεσβύτατοι αὐτῶν ἔλεξαν διδάσκοντες, ὡς οὐδεμιᾷ κακίᾳ πεποίηται τὴν ἀπόστασιν ἀπ' αὐτῶν ὁ δῆμος, ἀλλὰ τὰ μὲν ὑπὸ τῶν ἀναγκαίων συμφορῶν βιασθείς, τὰ δ' ὑπὸ τῶν συμβούλων ἐξη-

9 παρακελεύσματας O cf. Ambrosch ad l. II 14 4  11 καθ' ἃς c. Portus  20 ἐφ' οἷςτισι c. Cobet Obs. p. 121  23 δὲ add. Sylburg

XXXXVI. Ὡς δ' ἠγγέλθη ταῦτα τοῖς ἐν τῇ πόλει,
πολὺς θόρυβος καὶ οἰμωγὴ ἦν καὶ διὰ τῶν στενωπῶν
δρόμος, τοῦ μὲν δήμου καταλιπεῖν τὴν πόλιν παρασκευ-
αζομένου, τῶν δὲ πατρικίων ἀποτρέπειν ἀξιούντων καὶ
βίαν τοῖς μὴ βουλομένοις προσφέρειν· βοή τε περὶ
τὰς πύλας καὶ πολὺς ἀνακλαυθμὸς ἦν λόγοι τε κατ'
ἀλλήλων ἐχθροὶ καὶ ἔργα πολεμίων ἐγίνοντο οὐκέτι
διακρίνοντος οὐδενὸς οὔτε ἡλικίαν οὔτε ἑταιρίαν οὔτε
2 ἀξίωσιν ἀρετῆς. ἐπειδὴ δ' οἱ ταχθέντες ὑπὸ τῆς βου- 1144
λῆς φρουρεῖν τὰς ἐξόδους· ἦσαν γὰρ δὴ ὀλίγοι καὶ
οὐχ ἱκανοὶ ἔτι ἀντέχειν· ἐκβιασθέντες ὑπὸ τοῦ δήμου
κατέλιπον τὴν φυλακήν, τότε ἤδη τὸ δημοτικὸν πολὺ
ἐξεχεῖτο, καὶ τὸ πάθος ἦν ἁλώσει πόλεως ἐμφερές,
οἰμωγή τε τῶν ὑπομενόντων καὶ κατάμεμψις ἀλλήλων
ἐγίνετο ἐρημουμένην τὴν πόλιν δρώντων. μετὰ τοῦτο
βουλαί τε συχναὶ καὶ κατηγορίαι τῶν αἰτίων τῆς ἀπο-
στάσεως ἐγίνοντο. ἐν δὲ τῷ αὐτῷ καιρῷ καὶ τὰ πολέμια
ἔθνη ἐπετίθεντο αὐτοῖς προνομεύοντα τὴν γῆν ἄχρι
τῆς πόλεως. οἱ μέντοι ἀποστάται τὸν ἀναγκαῖον ἐπι-
σιτισμὸν ἐκ τῶν πλησίον ἀγρῶν λαμβάνοντες, ἄλλο δ'
οὐδὲν τὴν χώραν κακουργοῦντες, ἔμενον ὑπαίθριοι καὶ
τοὺς προσιόντας ἐκ τῆς πόλεως καὶ τῶν πέριξ φρου-
3 ρίων ὑπελάμβανον συχνοὺς ἤδη γινομένους. οὐ γὰρ
μόνον οἱ τὰ χρέα καὶ τὰς καταδίκας καὶ τὰς προσδο-
κωμένας ἀνάγκας διαφυγεῖν προαιρούμενοι συνέρρεον

6 ἀνακλαυθμὸς Cobet Obs. p. 121 Sylburgio monente ἀνα-κλαυσμὸς O 10 verba ἦσαν usque ad δήμου add. in mge Bb superscript. κείμενον 12 τότε δὴ c. Portus 18 ἔθνη add. B | ἐπετίθετο c. Kiessling 19 τῶν ἀναγκαίων Ba | ἀγο-ρῶν A ἀγ.ρῶν B 24 μόν.. Ba μόνοι$^{ον}$ Bb

5ὡς αὐτούς, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσοις ὁ βίος ἦν ἀργὸς ἢ ῥᾴθυμος ἢ ταῖς ἐπιθυμίαις χορηγεῖν οὐχ ἱκανὸς ἢ πονηρῶν ἐπιτηδευμάτων ζηλωτὴς ἢ φθονερὸς ταῖς ἑτέρων εὐτυχίαις ἢ δι' ἄλλην τινὰ συμφορὰν ἢ αἰτίαν ἀλλοτρίως διακείμενος τῇ καθεστώσῃ πολιτείᾳ.

XXXXVII. Τοῖς δὲ πατρικίοις ἐν μὲν τῷ παραυτίκα ταραχὴ ἐνέπεσε πολλὴ καὶ ἔκπληξις, καὶ ὡς αὐτίκα δὴ μάλα τῶν ἀποστατῶν ἅμα τοῖς ἀλλοεθνέσι πολεμίοις ἐπὶ τὴν πόλιν ἡξόντων δέος. ἔπειθ' ὡς ἐξ ἑνὸς παρακελεύσματος ἁρπάσαντες τὰ ὅπλα σὺν τοῖς οἰκείοις ἕκαστοι πελάταις, οἱ μὲν ἐπὶ τὰς ὁδοὺς ἃς ἥξειν ἐνόμιζον τοὺς πολεμίους παρεβοήθουν, οἱ δ' ἐπὶ τὰ φρούρια φυλακῆς ἕνεκα τῶν ἐρυμάτων ἐξῄεσαν, οἱ δ' ἐν τοῖς προκειμένοις τῆς πόλεως πεδίοις ἐστρατοπεδεύοντο· ὅσοι δὲ διὰ γῆρας ἀδύνατοι τούτων τι δρᾶν ἦσαν ἐπὶ τοῖς τείχεσιν ἐτάξαντο. ἐπεὶ δὲ τοὺς ἀποστάτας κατέ- 2
6μαθον οὔτε τοῖς πολεμίοις προστιθεμένους οὔτε τὴν χώραν δῃοῦντας οὔτε ἄλλο βλάπτοντας οὐδὲν ὅ τι καὶ λόγου ἄξιον, τοῦ δέους ἐπαύσαντο· καὶ μεταθέμενοι τὰς γνώμας, ἐφ' οἷστε διαλλαγήσονται πρὸς αὐτούς, ἐσκόπουν· καὶ ἐλέχθησαν ὑπὸ τῶν ἡγουμένων τοῦ συνεδρίου λόγοι παντοδαποὶ καὶ πλεῖστον ἀλλήλων διάφοροι, μετριώτατοι ⟨δὲ⟩ καὶ πρεπωδέστατοι ταῖς παρούσαις τύχαις, οὓς οἱ πρεσβύτατοι αὐτῶν ἔλεξαν διδάσκοντες, ὡς οὐδεμιᾷ κακίᾳ πεποίηται τὴν ἀπόστασιν ἀπ' αὐτῶν ὁ δῆμος, ἀλλὰ τὰ μὲν ὑπὸ τῶν ἀναγκαίων συμφορῶν βιασθείς, τὰ δ' ὑπὸ τῶν συμβούλων ἐξη-

9 παρακελεύσματας O cf. Ambrosch ad l. II 14 4   11 καθ' ἃς c. Portus   20 ἐφ' οἷςτισι c. Cobet Obs. p. 121   23 δὲ add. Sylburg

πατημένος, ὀργῇ δὲ μᾶλλον ἢ λογισμῷ τὰ συμφέροντα κρίνων, οἷα ἐν ἀμαθεῖ ⟨πλήθει⟩ γίγνεσθαι φιλεῖ· ἔπειθ' ὅτι συνοίδασιν αὑτοῖς κακῶς βεβουλευμένοις οἱ πλείους καὶ ζητοῦσιν ἀναλύσασθαι τὰς ἁμαρτίας εὐσχή-
μονας ἀφορμὰς λαμβάνοντες· τὰ γοῦν ἔργα δρῶσιν 114
ἤδη μετεγνωκότων, καὶ εἰ λάβοιεν ἐλπίδα χρηστὴν περὶ τοῦ μέλλοντος χρόνου, ψηφισαμένης αὐτοῖς ἄδειαν τῆς βουλῆς καὶ διαλλαγὰς ποιησαμένης εὐπρεπεῖς, ἀγα-
3 πητῶς τὰ σφέτερα δέξονται. ἠξίουν τε ταῦτα παραινοῦντες μὴ χείρους ὀργὴν εἶναι τῶν κακιόνων τοὺς κρείττονας, μηδ' εἰς ἐκεῖνον ἀναβάλλεσθαι τὸν χρόνον τὰς διαλλαγάς, ὅτε ἢ νοῦν ἔχειν ἀναγκασθήσεται τὸ ἀνόητον, ἢ τῷ μείζονι κακῷ τοὔλαττον ἰᾶσθαι ὅπλων παραδόσει καὶ σωμάτων ἐπιτροπῇ τὴν ἐλευθερίαν ἀφαιρεθὲν αὐτὸ ὑφ' ἑαυτοῦ· ταῦτα γὰρ ἐγγὺς εἶναι τοῦ ἀδυνάτου· μετρίως δὲ χρησαμένους ἀρχηγοὺς τῶν συμφερόντων βουλευμάτων γενέσθαι καὶ προτέρους ἐκείνων ἐπὶ τὰς διαλλαγὰς χωρεῖν ἐνθυμουμένους, ὅτι τὸ μὲν ἄρχειν καὶ ἐπιτροπεύειν τοῖς πατρικίοις ὑπάρχει,
4 φιλότητος δὲ καὶ εἰρήνης . . . . . . . τοῖς ἀγαθοῖς. τὸ δ' ἀξίωμα τῆς βουλῆς οὐκ ἐν τῷδε μάλιστα ἐλαττώσεσθαι ἀπέφαινον, ἐν ᾧ μάλιστα τὰς ἀναγκαίας συμφορὰς γενναίως φέροντες ἀσφαλῶς πολιτεύσουσιν, ἀλλ' ἐν ᾧ δυσοργήτως ταῖς τύχαις ὁμιλοῦντες ἀνατρέψουσι
τὸ κοινόν. ἀνοίας δ' ἔργον εἶναι τῆς εὐπρεπείας ὀρε- 114

2 ἐν ἀμαθεῖ O ἐν ἀμαθεῖ ὄχλῳ Reiske ἐν ἀμαθεῖ πλήθει Kiessling Pr. Bas. p. 18 3 αὐτοῖς O corr. Kiessling 14 ἀφαιρεθῆναι τοῦ Ba 20 *φιλότητος δὲ καὶ εἰρήνης ἄρχειν τοῖς ἀγαθοῖς c. Reiske ὑπάρχει φιλότητος τε καὶ εἰρήνης τοῖς ἀγαθοῖς c. Meutzner p. 265 cf. Schenkl p. 37 post εἰρήνης la-*cunam* significavi 22 μάλιστα del. Reiske

γομένους τῆς ἀσφαλείας ὑπερορᾶν· ἀγαπητὸν μὲν γὰρ ἀμφοῖν τυγχάνειν, εἰ δ' ἐξείργοιτό τις θατέρου, τὰ σωτήρια τῶν εὐπρεπεστέρων νομιστέα ἀναγκαιότερα. τέλος δ' ἦν τῶν ταῦτα παραινούντων, πρέσβεις ἀποστέλλειν τοὺς διαλεξομένους τοῖς ἀφεστηκόσι περὶ φιλίας, ὡς οὐδὲν αὐτοῖς ἡμάρτηται ἀνήκεστον.

XXXXVIII. Ἐδόκει ταῦτα τῇ βουλῇ· καὶ μετὰ ταῦτα προχειρισαμένη τοὺς ἐπιτηδειοτάτους διεπέμψατο πρὸς τοὺς ἐπὶ τοῦ χάρακος, ἐντειλαμένη πυνθάνεσθαι παρ' αὐτῶν, τίνος δέονται καὶ ἐπὶ τίσι δικαίοις ἀξιοῦσιν εἰς τὴν πόλιν ἀναστρέφειν· εἰ γὰρ εἴη τι μέτριον καὶ δυνατὸν τῶν αἰτημάτων, οὐκ ἐναντιώσεσθαι σφίσι τὴν βουλήν. νῦν μὲν οὖν αὐτοῖς ἀποθεμένοις τὰ ὅπλα καὶ κατιοῦσιν εἰς τὴν πόλιν ἄδειαν ὑπάρξειν τῶν ἡμαρτημένων, καὶ εἰς τὸν ἀπὸ τοῦδε χρόνον ἀμνηστίαν· ἐὰν δὲ τὰ κράτιστα βουλεύωσι τῷ κοινῷ καὶ προθύμως
149 κινδυνεύωσι περὶ τῆς πατρίδος, ἀμοιβὰς καλὰς καὶ
λυσιτελεῖς. ταύτας οἱ πρέσβεις τὰς ἐντολὰς κομισά- 2
μενοι ἀπέδοσαν τοῖς ἐπὶ στρατοπέδου καὶ τὰ ἀκόλουθα διελέχθησαν. οὐ δεξαμένων δὲ τῶν ἀποστατῶν τὰς προκλήσεις, ἀλλ' ὑπεροψίαν καὶ βαρύτητα καὶ πολλὴν εἰρωνείαν τοῖς πατρικίοις ὀνειδισάντων, εἰ προσποιοῦνται μὲν ἀγνοεῖν, ὧν ὁ δῆμος δεῖται καὶ δι' ἃς ἀνάγκας ἀπ' αὐτῶν ἀπέστη, χαρίζονται δ' αὐτῷ τὴν ἄδειαν τοῦ μηδεμίαν ὑποσχεῖν τῆς ἀποστάσεως δίκην, ὥσπερ ἔτι κύριοι, τῆς βοηθείας γε αὐτοὶ δεόμενοι τῆς πολιτικῆς οἱ ἐπὶ τοὺς ὀθνείους πολέμους οὐκ εἰς μακρὰν

15 ἀπὸ] πρὸ c. Reiske 16 τὰ om. O praeter C 26 βοηθείας τε O β. γε Sylburg 27 πολιτικῆς οἱ B οἱ om. R | post τε videtur οὐδὲν deesse Reiskio | πολέμους AB πολεμίους vulgo

ἐλευσομένους πανστρατιᾷ, πρὸς οὓς οὐδ' ἀντᾶραι δυνήσονται, οἳ οὐ σφέτερον ἡγοῦνται τὸ σωθῆναι ἀγαθόν, ἀλλὰ τῶν συναγωνιουμένων εὐτύχημα· τέλος δὲ τοῦτον προσθέντων τὸν λόγον, ὡς ἄμεινον ἤδη αὐτοὶ μαθόντες τὰς κατεχούσας τὴν πόλιν ἀπορίας, γνώσονται πρὸς οἵους ἀντιπάλους αὐτοῖς ἔσται ὁ ἀγών, καὶ πολ-
3 λὰς καὶ χαλεπὰς ἀπειλὰς ἐπανατειναμένων· οἱ μὲν 115
πρέσβεις οὐδὲν ἔτι πρὸς ταῦτα ἀντειπόντες ἀπηλλάττοντο καὶ τὰ παρὰ τῶν ἀποστατῶν τοῖς πατρικίοις ἐδήλωσαν, ἡ δὲ πόλις, ἐπειδὴ τὰς ἀποκρίσεις ταύτας ἔλαβεν, ἐν ταραχαῖς καὶ δείμασι πολλῷ χαλεπωτέροις ἢ πρόσθεν ἐγένετο, καὶ οὔτε ἡ βουλὴ πόρον εὑρεῖν οἷά τε ἦν οὔτ' ἀναβολάς, δυσφημιῶν δὲ καὶ κατηγοριῶν, ἃς οἱ προεστηκότες αὐτῆς ἐποιοῦντο κατ' ἀλλήλων, ἐπὶ πολλὰς ἀκούουσα ἡμέρας διελύετο· οὔτε τὸ δημοτικὸν πλῆθος, ὅσον ἔτι παρέμενεν εὐνοίᾳ τῶν πατρικίων ἢ πόθῳ τῆς πατρίδος ἠναγκασμένον, ὅμοιον ἦν, ἀλλὰ καὶ τούτου φανερῶς τε καὶ κρύφα πολὺ μέρος διέρρει, βέβαιον δ' οὐδὲν τῶν καταλειπομένων ἐδόκει εἶναι. τούτων δὲ γενομένων οἱ μὲν ὕπατοι· καὶ γὰρ ἦν βραχὺς ὁ λειπόμενος αὐτοῖς ἔτι τῆς ἀρχῆς χρόνος· ἡμέραν ἔστησαν ἀρχαιρεσιῶν.

XXXXVIIII. Ὁ δὲ δῆμος, ἐπειδὴ παρῆν ὁ χρόνος, ἐν ᾧ τὰς ἀρχὰς ἐπικυροῦν ἔδει συνελθόντας εἰς τὸ πεδίον, οὐδενὸς οὔτε μετιόντος τὴν ὑπατείαν οὔτε διδομένην ὑπομένοντος λαβεῖν, αὐτὸς ἀποδείκνυσιν ὑπά- 115

1 ἐλευσομένοις A ἐλευσόμενοι B ἐλευσομένους Kiessling cf. Meutzner p. 265 eqs. 2 οἳ οὐ O εἰ οὐ Reiske οἳ del. Kiessling 7 ἀπειλὰς om. Ba 11 πολλοῖς χαλεπώτερον ABb πολλῶ//// χ. Ba πολλῷ χαλεπωτέροις Reiske 15 ἀκούσασα c. Reiske 24 συνελθόντες AB

τους ἐκ τῶν εἰληφότων ἤδη τὴν ἀρχὴν ταύτην δήμῳ
⟨τε⟩ κεχαρισμένους ἄνδρας καὶ ἀριστοκρατίᾳ, Πόστο-
μον Κομίνιον καὶ Σπόριον Κάσσιον, ὑφ' οὗ Σαβῖνοι
καταπολεμηθέντες τῆς ἡγεμονίας ἀπέστησαν, ἐπὶ τῆς
ἑβδομηκοστῆς καὶ δευτέρας ὀλυμπιάδος, ἣν ἐνίκα στά-
διον Τισικράτης Κροτωνιάτης, ἄρχοντος Ἀθήνησι Διο-
γνήτου. οὗτοι παραλαβόντες τὴν ἀρχὴν καλάνδαις 2
Σεπτεμβρίαις θᾶττον ἢ τοῖς προτέροις ἔθος ἦν, πρὶν
ἤ τῶν ἄλλων τι διαπράξασθαι βουλὴν συγκαλέσαντες
περὶ τῆς καθόδου τῶν δημοτικῶν λέγειν ἠξίουν, ἥν
τινα διάνοιαν ἔχει, πρῶτον ἀποφήνασθαι παρακαλοῦν-
τες ἄνδρα ἡλικίας ἐν τῇ κρατίστῃ τότε ὄντα καὶ συν-
έσει δοκοῦντα τῶν ἄλλων διαφέρειν, μάλιστα δ' ἐπὶ
τῇ προαιρέσει τῶν πολιτευμάτων ἐπαινούμενον, ὅτι
152 τῆς μέσης τάξεως ἦν, οὔτε τὴν αὐθάδειαν τῶν ἀριστο-
κρατικῶν αὔξων οὔτε τῷ δήμῳ ὅσα βουληθείη πράτ-
τειν ἐπιτρέπων, Ἀγρίππαν Μενήνιον· ὃς ἐπὶ τὰς διαλ-
λαγὰς τὴν βουλὴν παρεκάλει τάδε λέγων· Εἰ μὲν 3
ἅπασιν, ὦ βουλή, τοῖς παροῦσι τὴν αὐτὴν γνώμην
συνέβαινεν ἔχειν, καὶ μηδεὶς ἔμελλε ταῖς πρὸς τὸν
δῆμον διαλλαγαῖς ἐμποδὼν ἔσεσθαι, ἐφ' οἷς ⟨δὲ⟩ δια-
λυσόμεθα πρὸς αὐτοὺς εἴτε δικαίοις οὖσιν εἴτε μή,
ὅμως ταῦτα προὔκειτο μόνον σκοπεῖν, δι' ὀλίγων ἂν
ὑμῖν ἐδήλωσα λόγων, ἃ φρονῶ. ἐπεὶ δὲ καὶ αὐτὸ τοῦτό 4

2 τε add. Reiske | ποστούμιον B υ postea add. 3 Καμίνιον B 5 ἑβδομηκοστῆς καὶ ἑβδόμης O ἑ. καὶ δευτέρας Sylburg ex Lapo 7 οὗτοι παραλαβόντες τὴν ἀρχὴν verba ante ἐπὶ τῆς v. 4 ponenda esse c. Kiessling Pr. Bas. p. 18 12 ἐν τῷ κρατίστῳ τῆς ἡλικίας c. Kiessling Pr. Bas. p. 6 21 δὲ add. Pflugk 23 *ὁμόσε τε AD ὅμως ἦν BC ὁμολογήμασιν Bücheler ὁμοσθενῆ γε ταῦτα Meutzner p. 266 ὁμοίως τοῦτο προύκειτο Schenkl p. 37 cf. Observat. meas criticas p. 336

τινες οἴονται βουλῆς ἔτι δεῖν, πότερον ἡμῖν ἄμεινόν ἐστι συμβῆναι πρὸς τοὺς ἀφεστηκότας ἢ πολεμεῖν, οὐχ ἡγοῦμαι ῥᾴδιον εἶναί μοι δι' ὀλίγης δηλώσεως, ὅ τι χρὴ πράττειν παραινέσαι, ἀλλ' ἀνάγκη διὰ πλειόνων διδάξαι λόγων τοὺς πρὸς τὰς διαλλαγὰς ἀλλοτρίως ἔχοντας ὑμῶν, ὅτι τἀναντία συμπείθουσιν ἢ καὶ δεδίττεσθαι μέλλοντες ὑμᾶς τὰ φαυλότατα τῶν χαλεπῶν 1153 καὶ ῥᾳδίας ἔχοντα τὰς ἐπανορθώσεις ὀρρωδοῦντας τῶν μεγίστων τε καὶ ἀνιάτων ἱκανῶς ἀπερισκέπτως ἔχουσι. καὶ τοῦτο πεπόνθασι παρ' οὐδὲν ἕτερον ἢ ὥστε λογισμῷ μὴ κρίνειν τὸ συμφέρον, ἀλλὰ θυμῷ καὶ μανίᾳ.

5 πῶς γὰρ ἂν οὗτοι λέγοιντο προορᾶσθαί τι τῇ διανοίᾳ τῶν χρησίμων ἢ δυνατῶν, οἵ τινες ὑπολαμβάνουσι τηλικαύτην πόλιν καὶ τοσούτων πραγμάτων κυρίαν ἤδη ἐπίφθονόν τε καὶ λυπηρὰν τοῖς περιοίκοις γιγνομένην, ἢ δίχα τοῦ δημοτικοῦ δυνήσεσθαι κατέχειν τε καὶ σώζειν τὰ ἔθνη ῥᾳδίως, ἢ ἕτερον ἐπάξεσθαι δῆμον ἀντὶ τοῦ πονηροτέρου κρείττονα, ὃς αὐτοῖς προπολεμήσει τε τῆς ἀρχῆς καὶ κατὰ πολλὴν ἡσυχίαν συμπολιτεύσεται, παρέχων καὶ ἐν εἰρήνῃ καὶ κατὰ πολέμους ἑαυτὸν μέτριον; οὐδὲν γὰρ ἂν ἕτερον ἔχοιεν εἰπεῖν, ᾧ πιστεύοντες ἀξιώσουσιν ὑμᾶς μὴ δέχεσθαι τὰς διαλλαγάς.

5 ἄλλως O ἀλλοτρίως Kiessling 6 ἢ καὶ O ἢ del. Kiessling | συμπείθουσιν ἑαυτοῖς, οἵ γε Reiske 7 μέλλοντας O μέλλοντες Sylburg | ὑμᾶς ὡς dubitanter Kiessling 9 ἱκανῶς O κακῶν c. Reiske ἰταμῶς καὶ ἀπερισκέπτως c. Kiessling 10 ἢ ὥστε O οὕτως ἢ ὥστε c. Pflugk ἢ τὸ Hertlein Hermes X 415 12 λέγοιντο] ἐπιδέχοιντο τὸ Kiessling 14 ἤδη δὲ Reiske 15 γιγνομένην O γενομένην Kiessling 17 τὰ om. AB | δυνήσεσθαι om. Ba σώζειν δυνήσεσθαι A 20 ἐν πολέμοις O κατὰ πολέμους Grasberger Philologus 28 (1869) p. 548

154 L. Ὧν ἑκάτερον ὅσης ἐστὶ μεστὸν εὐηθείας, ἐξ
αὐτῶν ὑμᾶς ἀξιώσαιμ' ἂν ἔγωγε τῶν ἔργων σκοπεῖν
ἐνθυμηθέντας, ὅτι διαστασιασάντων πρὸς ὑμᾶς τῶν
ταπεινοτέρων διὰ τοὺς οὔτε πολιτικῶς οὔτε μετρίως
ταῖς ἀτυχίαις χρησαμένους, καὶ ὑπαναχωρησάντων μὲν
ἐκ τῆς πόλεως, ἄλλο δὲ μηδὲν ὑμᾶς δεινὸν μήτε ἐργα-
ζομένων μήτε διανοουμένων, ἀλλ' ὡς διαλλαγήσονται
χωρὶς αἰσχύνης σκοπούντων, ἀγαπητῶς δεξάμενοι τὸ
συμβὰν ἀπὸ τῆς τύχης πολλοὶ τῶν οὐκ εὖ διανοουμέ-
νων πρὸς ὑμᾶς, ἀνεπτέρωνται ταῖς γνώμαις, καὶ τοῦ-
τον οἴονται σφίσι παρεῖναι τὸν εὐκταῖον καιρόν, ἐν ᾧ
καταλύσουσιν ὑμῶν τὴν ἀρχήν. Αἰκανοὶ μέν γε καὶ 2
Οὐολοῦσκοι, Σαβῖνοί τε καὶ τὸ Ἑρνίκων ἔθνος, πρὸς
τῷ μηδένα χρόνον ἐξαίρετον πεποιῆσθαι ⟨τοῦ⟩ πρὸς
ἡμᾶς πολέμου, καὶ τοῖς ἔναγχος κακοῖς δυσανασχε-
155 τοῦντες λῃστεύουσιν ἡμῶν τοὺς ἀγρούς. Καμπανίας δὲ
καὶ Τυρρηνίας ὅσα ἐνδοιαστῶς ἡμῶν ἀφείμενα διατε-
λεῖ, τὰ μὲν ἐκ τοῦ φανεροῦ ἀφίσταται, τὰ δ' ἀφανῶς
παρασκευάζεται. δοκεῖ τ' οὐδὲ τὸ Λατίνων συγγενὲς
ἔτι βέβαιον ἡμῖν διαμένειν φίλιον εἰς πύστιν ἐλθόν,
ἀλλὰ καὶ τούτου πολὺ μέρος διαγγέλλεται νοσεῖν ἔρωτι
κρατούμενον, ἧς ἅπαντες γλίχονται, μεταβολῆς· οἱ δὲ 3
τέως ἐπιστρατοπεδεύοντες ἑτέροις, νῦν αὐτοὶ τειχήρεις

5 εὐτυχίαις Ab cf. Krüger ad Dion. Hist. p. 260 | παραχωρησάντων ABa ὑπαναχωρησάντων Bb 6 δὲ om. AB 7 ἀλλ' ὅπως c. Reudler Tiroc. p. 48 9 διανοουμένων O διακειμένων Sylburg 14 τοῦ add. Reiske 15 ὑμᾶς AB 16 δημεύουσιν O λῃστεύουσιν Sintenis Em. Dion. II 21 δῃοῦσιν Reiske 17 ἡμῶν ἀφείμενα O ἡμῖν διακείμενα c. Kiessling 20 βέβαιον O βεβαίως c. Sintenis Em. Dion. I 11 et II 22 | διαμένειν O διαμενεῖν Sintenis l. l. | πίστιν O πύστιν Sintenis l. l. 22 κρατούμενον del. Reudler Tiroc. p. 48 23 *τειχήρεις ἐν-

μένοντες καθήμεθα, γῆν τ' ἄσπορον ἀφεικότες καὶ αὐλὰς διαρπαζομένας δρῶντες λείαν τ' ἀπελαυνομένην καὶ θεράποντας αὐτομολοῦντας καὶ οὐκ ἔχοντες, ὅ τι χρησόμεθα τοῖς κακοῖς. καὶ ταῦτα πάσχοντες ἔτι διαλλαγήσεσθαι πρὸς ἡμᾶς ἐλπίζομεν τὸ δημοτικόν, [καὶ] ἐφ' ἡμῖν ὑπάρχον εἰδότες ἑνὶ καταλύσασθαι ψηφίσματι τὴν στάσιν;

LI. Οὕτω δὲ κακῶς ἐχόντων ἡμῖν τῶν ὑπαιθρίων
οὐδὲ τὰ ἐντὸς τείχους δεινὰ ἧττόν ἐστι φοβερά. οὔτε 1156
γὰρ ὡς πολιορκησόμενοι παρεσκευάσμεθα ἐκ πολλοῦ τὰ συμμαχικὰ οὔτε πλήθει αὐτοὶ ἀποχρῶντές ἐσμεν ὡς πρὸς τοσαῦτα πολεμίων ἔθνη, τοῦ δ' ὀλίγου καὶ οὐκ ἀξιομάχου πληρώματος τὸ πλεῖόν ἐστι δημοτικόν, θῆτες καὶ πελάται καὶ χειρώνακτες, οὐ πάνυ βέβαιοι τεταραγμένης ἀριστοκρατίας φύλακες. αἵ τε νῦν αὐτομολίαι συνεχεῖς αὐτῶν πρὸς τοὺς ἀφεστηκότας γινό-
2 μεναι, τὸ σύμπαν ὕποπτον εἶναι παρεσκευάκασιν. ὑπὲρ ἅπαντα δὲ ταῦτα ἡ τῶν ἐπιτηδείων συγκομιδὴ κρατουμένης ὑπὸ τῶν πολεμίων τῆς γῆς ἀδύνατος οὖσα φοβεῖ τε ἤδη λιμόν, ἐπειδάν τ' ἐν τῷ ἀπόρῳ γενώ-
μεθα ἔτι μᾶλλον φοβήσει, χωρὶς δὲ τούτων ὁ μηδένα 1157
χρόνον ἡμᾶς εὐσταθεῖν ταῖς διανοίαις ἐῶν πόλεμος. ἅπαντα ⟨δ'⟩ ὑπερβάλλει τὰ δεινὰ γύναια τῶν ἀποστατῶν καὶ παιδία νήπια καὶ γηραιοὶ γονεῖς, ἐν ἐσθῆσιν

δον O τ. γενόμενοι c. Kiessling cf. Sintenis in Zarnckii Litterar. Univers. 1865 p. 742, Kayser Heidelb. Annal. 1868 p. 675 τειχήρεις μένοντες ego
5 ἐλπίζοντες O ἐλπίζομεν Reiske | καὶ del. Sintenis Em. Dion. II 22 καίτοι c. Kiessling Pr. Bas. p. 18 6 ἡμῖν] ὑμῖν B 20 φοβεῖται Ba φοβεῖ τε ABb | ἤδη λιμὸν O λιμὸν del. *Kiessling* 23 δ' add. Portus

ἐλεειναῖς καὶ σχήμασι πενθίμοις περιφθειρόμενοι κατὰ τὴν ἀγορὰν καὶ τοὺς στενωποὺς κλαίοντες, ἱκετεύοντες, ἁπτόμενοι δεξιᾶς ἑκάστου καὶ γονάτων, ἀπολοφυρόμενοι τὴν κατέχουσαν αὐτοὺς καὶ ἔτι μᾶλλον καθέξουσαν ἐρημίαν, δεινὴ καὶ ἀνυπομόνητος ὄψις. 3 οὐδεὶς γοῦν ἐστιν οὕτως ὠμὸς τὸν τρόπον, ὃς οὐκ ἀνατρέπεται τὴν ψυχὴν ὁρῶν ταῦτα καὶ πάσχει τι πρὸς τὰς ἀνθρώπων τύχας. ὥστ' εἰ μέλλοιμεν ἀσπείστως πρὸς τὸ δημοτικὸν ἔχειν, ἀπαλλακτέον ἡμῖν καὶ ταῦτα τὰ σώματα ἐκποδών, τὰ μὲν ὡς ἄχρηστα εἰς πολιορκίαν ἐσόμενα, τὰ δ' ὡς οὐ διαμενοῦντα βεβαίως φίλα. ἀπελαυνομένων δὲ καὶ τούτων τίς ἡ φυλάξουσα τὴν πόλιν 158 ἔτι λειφθήσεται δύναμις; ἢ τίνι πιστεύσαντες ἐπικουρίᾳ τὰ δεινὰ τολμήσομεν ὑπομένειν; ἡ μέντοι οἰκεία ἡμῶν καταφυγὴ καὶ μόνη βέβαιος ἐλπίς, ἡ τῶν πατρικίων ἀκμή, βραχεῖά ἐστιν, ὥσπερ ὁρᾶτε, καὶ οὐκ ἄξιον ἐπὶ ταύτῃ μέγα φρονεῖν. τι οὖν οἱ τὸν πόλεμον ὑπομένειν εἰσηγούμενοι ληροῦσι καὶ φενακίζουσιν ἡμᾶς, ἀλλ' οὐχὶ φανερῶς παραινοῦσιν ἀναιμωτὶ καὶ δίχα πόνου παραδιδόναι τοῖς ἐχθροῖς ἤδη τὴν πόλιν;

LII. Ἀλλ' ἴσως ἔγωγε τετύφωμαι ταῦτα λέγων καὶ τὰ μὴ δεινὰ ἀξιῶ δεδιέναι· τῇ πόλει δ' οὐδὲν ἕτερον ἤδη που κινδυνεύεται ἢ μεταβολή, πρᾶγμα οὐ χαλεπόν, κατὰ πολλήν τ' ἂν ἡμῖν εὐπέτειαν ἐκ παντὸς ἔθνους καὶ τόπου θῆτά τε καὶ πελάτην ὄχλον εἰσδέξασθαι

1 περιφερόμενοι O περιφθειρόμενοι Cobet Obs. p. 121 5 ἀνυπομένητος c. Sylburg | ὄψιν διὰ χρυσὸν τὸν τύραννον οὐδεὶς C 8 μέλλοιμεν O μέλλομεν Cobet Obs. p. 122 | ἀπίστως O ἀσπείστως Reiske 9 ὑμῖν B 12 δὴ AB δὲ C 14 μέντ' οἰκεία? 17 τι μέγα A 18 πληροῦσι A 21 ἴσως] ἢ ὡσ B 23 δήπου dubitanter c. Kiessling

*γένοιτο. τουτὶ γάρ ἐστιν, ὃ πολλοὶ θρυλοῦσι τῶν
ἐναντιουμένων τῷ δημοτικῷ, καὶ μὰ Δί᾽ οὐχ οἱ φαυ-*
2 *λότατοι. εἰς τοῦτο γὰρ ἤδη τινὲς ἥκουσιν εὐηθείας,
ὥστε μὴ γνώμας εἰσηγεῖσθαι σωτηρίους, ἀλλ᾽ εὐχὰς
λέγειν ἀδυνάτους, οὓς ἡδέως ἂν ἐροίμην, ποία μὲν* 1159
*ἡμῖν χρόνου δοθήσεται περιουσία περὶ ταῦτα τὰ πράγ-
ματα γινομένοις οὕτως ἐγγὺς ὄντων τῇ πόλει τῶν
ἐχθρῶν; ποία δὲ συγγνώμη τῷ χρονισμῷ καὶ τῇ μελ-
λήσει τῶν ἐλευσομένων συμμάχων, ἐν οὐ χρονίζουσιν
οὐδὲ μέλλουσι δεινοῖς; τίς δ᾽ ὁ παρέξων τὸ ἀσφαλὲς
ἀνὴρ ἢ θεὸς καὶ κατὰ πολλὴν ἡσυχίαν συνάξων ἐκ
παντὸς τόπου καὶ παραπέμψων δεῦρο τὴν ἐπικουρίαν;
ἔτι δὲ δή, οἱ τὰς ἑαυτῶν πατρίδας ἐκλείψοντες καὶ
πρὸς ἡμᾶς μεταναστησόμενοι τίνες ἔσονται; πότερον
οἱ οἰκήσεις τε καὶ ἐφέστια καὶ βίους καὶ τὸ τιμᾶσθαι
παρὰ τοῖς πολίταις διὰ πατέρων ἐπιφάνειαν ἢ δόξαν
οἰκείας ἀρετῆς ἔχοντες; καὶ τίς ἂν ὑπομείνειε τὰ οἰκεῖα
παραλιπὼν ἀγαθὰ τῶν ἀλλοτρίων γλίσχρως μεταλαβεῖν
κακῶν; οὐ γὰρ εἰρήνης καὶ τρυφῆς μεταληψόμενοι δεῦρο
ἥξουσιν, ἀλλὰ κινδύνων καὶ πολέμου, ἐξ ὧν ἄδηλον,*
3 *εἰ κατορθωθήσεται τὸ τέλος. ἢ τὸ δημοτικὸν καὶ ἀνέ-* 1160
*στιον ἐπαξόμεθα πλῆθος, οἷον καὶ τὸ ἐνθένδε ἀπελα-
θὲν ἦν, δηλονότι καὶ ⟨διὰ⟩ χρέα καὶ καταδίκας καὶ
τὰς ὁμοιοτρόπους ταύταις συμφορὰς ἀγαπητῶς ὅποι*

1 *ἐκγένοιτο* c. Reiske 2 *οὐχὶ φαυλότατοι* O *οὐχ οἱ φ.* Reiske 10 *τοῖς δεινοῖς* c. Pflugk | *τὸ ἀσφαλὲς* om. B 12 *τρόπου* AB 14 *οἵτινες* AB | **πότερα* O correxi 16 *οἱ* ante *οἰκήσεις* add. corrector in C et Reiske 18 *αἰσχρῶς* O *εὐχερῶς* Sintenis Em. Dion. II 31 *γλίσχρως* Kiessling 23 *καὶ χρέα* O *διὰ χρέα* Cobet Obs. p. 122 auctore Sylburgio *καὶ διὰ χρέα* ego | *πενίαν* ante *δηλονότι* inseruit Reiske 24 *ὅπου τύχῃ* O

⟨ἂν⟩ τύχῃ μεθιδρυσόμενον; ὃ κἂν τἆλλα χρηστὸν ᾖ καὶ μέτριον, ἵνα καὶ τοῦτ' αὐτῷ χαρισώμεθα, διὰ τοῦτο γέ τοι τὸ μήτε οἰκεῖον εἶναι μήτε ὁμοδίαιτον, μήτε ἐθισμῶν καὶ νόμων καὶ παιδείας ἔσεσθαι τῆς παρ' ἡμῖν ἔμπειρον, μακρῷ δή που καὶ τῷ παντὶ κάκιον ἂν εἴη τοῦ παρ' ἡμῖν.

LIII. Τῷ μέν τ' ἐπιχωρίῳ καὶ τέκνων καὶ γυναικῶν καὶ γονέων καὶ πολλῶν ἄλλων σωμάτων οἰκείων ὅμηρά ἐστιν ἐνθάδε, καὶ αὐτοῦ νὴ Δία τοῦ θρέψαντος αὐτοὺς ἐδάφους ὁ πόθος, ἀναγκαῖος ὢν ἅπασι καὶ οὐκ ἐξαιρετός· ὁ δ' ἐπίκλητός γε οὑτοσὶ καὶ ἐπίσκηνος

161 ὄχλος, εἰ γένοιτο ἡμῖν σύνοικος, οὐδενὸς αὐτῷ τούτων ἐνθάδε ὄντος, ὑπὲρ τίνος ⟨ἂν⟩ ἀξιώσειε κινδυνεύειν ἀγαθοῦ, εἰ μή τις αὐτῷ γῆς τε ὑπόσχοιτο μέρη δώσειν καὶ πόλεως μοῖραν ὅσην δή τινα τοὺς νῦν κυρίους αὐτῶν ἀφελόμενος, ὧν οὐκ ἀξιοῦμεν τοῖς πολλάκις ἀγωνισαμένοις ὑπὲρ αὐτῶν πολίταις μεταδιδόναι; καὶ ἴσως ἂν οὐδὲ τούτοις ἀρκεσθείη δοθεῖσι μόνοις, ἀλλὰ καὶ τιμῶν καὶ ἀρχῶν καὶ τῶν ἄλλων ἀγαθῶν ἐξ ἴσου τοῖς πατρικίοις ἀξιώσειε μεταλαμβάνειν. οὐκοῦν εἰ
2 μὲν οὐκ ἐπιτρέψομεν ἕκαστα τῶν αἰτουμένων, ἐχθροῖς τοῖς μὴ τυγχάνουσι χρησόμεθα; εἰ δὲ συγχωρήσαιμεν,

ὅποι τύχῃ c. Reiske ὅποι ἂν τύχῃ Hertlein Hermes X p. 416 ὅποι ποτ' ἂν τύχῃ c. Baumann Obs. gram. p. 43

1 οὐκ ἂν τ' ἄλλ' ἄχρηστον Ba κἂν τἆλλα χρηστὸν ABb (/// κἂν Bb) ἵνα καὶ A ἵνα κἂν B καὶ vel κἂν del. Kiessling 2 τοῦτο] αὐτὸ c. Reiske 3 μηδὲ O μήτε Sylburg 4 ἔσεσθαι] γενήσεσθαι c. Kiessling 7 τῷ μέντ' B μέντοι A(?) μὲν γὰρ vel μέν γε Reiske 13 *τίνος ἀξιώσειε O (1 litt. post ε in ras. B) τίνος ἀξιώσειεν ἂν c. Pflugk; cf. Baumann p. 15 eqs. 21 ἐπιτρέψο///μεν B (ἐπιτρέψαιμεν?) 22 συγχωρήσαιμεν O συγχωρήσομεν c. Kiessling

ἡ πατρὶς ἡμῖν οἰχήσεται καὶ ἡ πολιτεία πρὸς ἡμῶν
αὐτῶν καταλυομένη. καὶ οὐ προστίθημι ἐνταῦθα, ὅτι
πολεμεῖν ἐπιτηδείων σωμάτων ἡμῖν ἐν τῷ παρόντι δεῖ,
οὐ γεωργῶν οὐδὲ θητῶν οὐδὲ ἐμπόρων οὐδὲ τῶν περὶ
τὰς βαναύσους τέχνας ἀσχολουμένων, οὓς ἅμα δεήσει
μανθάνειν τὰ πολεμικὰ καὶ πεῖραν αὐτῶν διδόναι·
χαλεπὴ δὲ πεῖρα τῶν μὴ ἐν ἔθει· ἀνάγκη δὲ τοιού-
τους εἶναι τοὺς σύγκλυδας καὶ ἐκ παντὸς ἔθνους μετ- 1162
3 ανισταμένους. στρατιωτικὴν γὰρ οὔτε ὁρῶ συμμαχίαν
ἡμῖν οὐδεμίαν συνεστῶσαν οὔτ', εἰ φανείη τις ἐκ τοῦ
ἀδοκήτου, παραινέσαιμ' ἂν ὑμῖν παραδέξασθαι αὐτὴν
τοῖς τείχεσι προχείρως, πολλὰς ἄλλας ἐπιστάμενος πό-
λεις ταῖς εἰσαχθείσαις ἐπὶ φυλακῇ στρατιαῖς δεδουλω-
μένας.

LIIII. Ἐνθυμούμενοί τε δὴ ταῦτα καὶ ὅσα δὴ ἕτερα
ἡμῖν εἴρηται πρότερον, ἔτι δὲ τῶν παρακαλούντων ἐπὶ
τὰς διαλλαγὰς ἀναμιμνησκόμενοι, ὅτι οὐ παρ' ἡμῖν
μόνοις ἢ πρώτοις πενία πρὸς πλοῦτον ἐστασίασε καὶ
ταπεινότης πρὸς ἐπιφάνειαν, ἀλλ' ἐν ἁπάσαις ὡς εἰπεῖν
καὶ μικραῖς καὶ μεγάλαις πόλεσι πολέμιον ὡς τὰ πολλὰ
τοῦ πλείονος τοὔλαττον καθίσταται· ἐν αἷς οἱ προ-
εστηκότες τοῦ κοινοῦ μετριάσαντες μὲν ἔσωσαν τὰς
πατρίδας, αὐθαδείᾳ δὲ χρησάμενοι μετὰ τῶν ἄλλων
2 ἀγαθῶν καὶ σφᾶς αὐτοὺς διώλεσαν· αἱ ὅτι πᾶν χρῆμα,
ὃ ἂν ἐκ πολλῶν σύνθετον ᾖ, νοσεῖν πέφυκε κατά τι
τῶν ἑαυτοῦ μορίων, καὶ ἔτι πρὸς τούτοις ὡς οὔτε 1163

3 πολεμικῶν O πολεμεῖν Reiske 7 τῷ O τῶν Reiske
12 *πολλὰς ἡμᾶς ἐπισταμένους AB πολλάς τινας ἐπιστάμενος
Reiske πολλὰς ἤδη ἐ. Sintenis Em. Dion. II 32 πολλὰς ἄλλας
ἐπ. ego

ἀνθρωπείου σώματος αἰεὶ τὸ κάμνον ἀποτεμεῖν χρὴ μέρος· αἰσχρά τε γὰρ ἡ ὄψις ἂν γίνοιτο τοῦ λειπομένου καὶ ἡ φύσις οὐκ ἐπὶ πολὺ διαρκής· οὔτε πολιτικῆς κοινωνίας τὴν νοσοῦσαν ἐξελαύνειν μοῖραν· οὐ γὰρ ἂν φθάνοι διὰ τῶν ἰδίων μερῶν τὸ σύμπαν ἀπολόμενον σὺν χρόνῳ· τῆς τ' ἀνάγκης ἐνθυμηθέντες ὅσον τὸ κράτος, ᾗ καὶ θεοὶ εἴκουσι μόνῃ, μὴ χαλεπαίνετε πρὸς τὰς τύχας, μηδ' ὡς ἁπάντων ἡμῖν κατ' εὐχὴν ἐσομένων αὐθαδείας ἐμπίμπλασθε καὶ ἀμαθίας, ἀλλ' ἐπικλάσθητε καὶ εἴξατε παραδείγμασι χρησάμενοι τῆς εὐβουλίας μὴ τοῖς ὀθνείοις, ἀλλὰ τοῖς ἡμετέροις αὐτῶν ἔργοις.

LV. Καὶ γὰρ ἄνδρα ἕνα καὶ πόλιν ὅλην ἐπὶ ταῖς καλλίσταις τῶν ἰδίων πράξεων φιλοτιμεῖσθαι χρή, καὶ τὰς λοιπὰς ὅπως ὁμολογούμεναι ταύταις ἔσονται σκοπεῖν.
164 ὑμεῖς τοίνυν ἤδη πολλοὺς πολεμίους, ὑφ' ὧν τὰ μέγιστα ἠδικήθητε, ὑποχειρίους λαβόντες, οὔτ' ἀνελεῖν οὔτ' ἐκβαλεῖν ἐκ τῶν ἰδίων ἐβουλήθητε, ἀλλὰ καὶ οἴκους καὶ κλήρους αὐτοῖς ἀπέδοτε, καὶ πατρίδας οἰκεῖν, ἐξ ὧν ἔφυσαν, εἰάσατε, ἰσοψήφοις τ' εἶναι καὶ πολίταις ὑμετέροις ἤδη τισὶν ἐξ αὐτῶν ἐχαρίσασθε. τούτου δ' 2
ἔτι θαυμασιώτερον ἔργον ὑμῶν ἔχω λέγειν, ὅτι καὶ τῶν ὑμετέρων πολιτῶν πολλοὺς μεγάλα εἰς ὑμᾶς ἐξαμαρτόντας ἀφήκατε τῶν τιμωριῶν, εἰς αὐτοὺς μόνους ἀποσκήψαντες τοὺς αἰτίους τὴν ὀργήν, ὧν ἦσαν οἵ τε

2 γὰρ om. B | γένοιτο ABa 5 φθά.νοι B | ἀπολουμένον Bb 6 σ<ὺν> Bb 8 ὑμῖν Gelenius et Portus 21 ἐχαρίσασθε AB | δὲ τὸ A δέ τι B δ' ἔτι Sylburg 23 πολλοὺς καὶ μεγάλα B πολλοὺς μ. R πολλοὺς πολλὰ καὶ μεγάλα c. Kiessling | ἐξαμαρτάνοντας O ἐξαμαρτόντας Kiessling

*Ἀντέμνας κληρουχήσαντες καὶ Κρουστομέρειαν καὶ Με-*
*δύλλειαν καὶ Φιδήνην καὶ ἄλλοι συχνοί. τί γὰρ δεῖ*
*πάντας ἐξαριθμεῖσθαι νυνί, οὓς ὑμεῖς ἐκ πολιορκίας*
*κρατηθέντας μετρίως ἐνουθετήσατε καὶ πολιτικῶς; καὶ*
*οὐκ ἔσθ' ὅπως ἢ κινδυνός τις διὰ ταῦτα κατέλαβε τὴν*
*πόλιν ἢ ψόγος, ἀλλ' ἐπαινεῖταί τε ὑμῶν τὸ ἐπιεικὲς*
3 *καὶ οὐδὲν ἠλάττωται τοῦ ἀσφαλοῦς. ἔπειτα οἱ τῶν*
*πολεμίων φειδόμενοι τοῖς φίλοις πολεμήσετε, καὶ οἱ* 1165
*τὰ ὑποχείρια γενόμενα μεθιέντες ἀζήμια τοὺς συγκα-*
*τακτησαμένους ὑμῖν τὴν ἀρχὴν ζημιώσετε, πόλιν τε τὴν*
*αὑτῶν ὑμῶν παρέχοντες ἅπασι τοῖς δεομένοις ἀσφαλῆ*
*καταφυγήν, ταύτης ἀπελαύνειν ὑπομενεῖτε τοὺς αὐθι-*
*γενεῖς, οἷς καὶ συνετράφητε καὶ συνεπαιδεύθητε καὶ*
*πολλῶν ἐκοινωνήσατε κακῶν τε καὶ ἀγαθῶν ἐν εἰρήνῃ*
*τε καὶ κατὰ πολέμους; οὐκ, ἐάν τά γε δίκαια καὶ τὰ*
*προσήκοντα τοῖς ὑμετέροις ἔθεσι βούλησθε πράττειν*
*καὶ χωρὶς ὀργῆς κρίνητε τὸ συμφέρον.*

LVI. *Ἀλλ' ὅτι μὲν δεῖ καταλύσασθαι τὴν στάσιν,*
*εἴποι τις ἄν, οὐχ ἧττον ἡμεῖς ἐγνώκαμεν καὶ πολλὴν*
*παρεσχήμεθα προθυμίαν· πῶς δ' ἂν καταλυσαίμεθ'*
*αὐτήν, τοῦτο πειρῶ λέγειν. ὁρᾷς γάρ, ὅση περὶ τὸν*
*δῆμόν ἐστιν αὐθάδεια, ὃς οὔτε πέμπει πρὸς ἡμᾶς περὶ*
*διαλύσεων αὐτὸς ἀδικῶν οὔτε τοῖς ὑφ' ἡμῶν ἀποστα-*
*λεῖσιν ἀποκρίνεται πολιτικὰς καὶ φιλανθρώπους ἀπο-* 1166
*κρίσεις, ἀλλ' ὑπερηφανεῖ καὶ ἀπειλεῖ, καὶ εἰκάσαι ῥᾴδιον*

1 *Μεδύλλιον* AB 5 *ἔσθ'* del. Cobet Obs. p. 122 | *τις* add. B 9 *τοὺς οὖν καταστησαμένους* B 10 *ἀρχὴν* .. B 12 *ἐκ ταύτης* c. Cobet l. l. | *ὑπομόνιτε* Ba 16 *ἡμετέροις* A *ὑμετέροις* B 20 *καταλυσαίμεθ'* .. *τὴν* Ba *καταλυσαίμεθ(α) ταύτην* Bb 22 *οσουτε* Ba *ὡσουτε* Bb

οὐκ ἔστιν ὅ τι βούλεται. πρὸς δὲ ταῦτα τί παραινῶ
νῦν πράττειν, ἀκούσατέ μου. ἐγὼ τὸν δῆμον οὔτ' ἀδι- 2
αλλάκτως οἴομαι πρὸς ἡμᾶς ἔχειν οὔτε δράσειν τι, ὧν
ἀπειλεῖ, τεκμαιρόμενος, ὅτι οὐκ ἔστιν ὅμοια τοῖς λόγοις
αὐτοῦ τὰ ἔργα, πολὺ δὲ μᾶλλον ἡμῶν ἐσπουδακέναι
περὶ τὰς διαλύσεις [οἴομαι]. ἡμεῖς μὲν γὰρ καὶ πα-
τρίδα τὴν τιμιωτάτην κατοικοῦμεν καὶ βίους καὶ οἴκους
καὶ γενεὰς καὶ πάντα τὰ πλείστου ἄξια ἐν ταῖς ἰδίαις
ἐξουσίαις ἔχομεν· ὁ δ' ἄπολις καὶ ἀνέστιός ἐστι καὶ
τῶν ἀναγκαιοτάτων αὐτῷ στέρεται σωμάτων βίου τε
τοῦ καθ' ἡμέραν οὐκ εὐπορεῖ. τίνος οὖν χάριν, εἴ τις 3
ἔροιτό με, τὰς προκλήσεις οὐ δέχεται τὰς ἡμετέρας
ὅμως κακοπαθῶν αὐτός τε οὐδὲν ἐπιπρεσβεύεται πρὸς
7 ἡμᾶς, ὅτι νὴ Δία, φαίην ἄν, ἄχρι τοῦδε λόγων ἀκούει
παρὰ τῆς βουλῆς, ἔργον δ' οὐδὲν ὁρᾷ γινόμενον ἐξ
αὐτῶν οὔτε φιλάνθρωπον οὔτε μέτριον, ἐξηπατῆσθαί
τε οἴεται πολλάκις ὑφ' ἡμῶν ὑπισχνουμένων ἀεί τινα
πρόνοιαν αὐτοῦ ποιήσεσθαι, μηδὲν δὲ προνοουμένων.
πρεσβείας δὲ πέμπειν οὐχ ὑπομένει διὰ τοὺς ἐνθάδε
κατηγορεῖν εἰωθότας αὐτοῦ δεδοικώς τε μή τινος, ὧν
ἄξιοι, διαμάρτῃ. τάχα δ' ἄν τι καὶ φιλοτιμίας ἀνοήτου 4
περὶ αὐτὸν εἴη πάθος· καὶ οὐδέν γε θαυμαστόν, ἐπεὶ
καὶ ἐν ἡμῖν αὐτοῖς εἰσί τινες, οἷς τὸ δύσερι τοῦτο καὶ
φιλόνεικον ἔνεστιν ἰδίᾳ τε καὶ κοινῇ οὐκ ἀξιοῦσιν ἡτ-

1 παραινῶ νῦν ABb νῦν om. Ba 6 οἴομαι del. Cobet Obs. p. 123 | καὶ] τὴν B′ 8 γενεὰς A γονέας B 9 καὶ om. A 10 ἀναγκαίων A | αὐτῶν O αὐτῷ Reiske 11 εἴ τις ἔροιτό με et v. 14 φαίην ἂν del. Cobet l. l. 13 ὅμως O ὁ δῆμος Sylburg 14 Δία superscript. B 17 ὑπισχνουμένων μὲν Cobet Obs. p. 123 18 ποιήσασθαι O corr. Kiessling 20 μὴ οὔτινος ἂν voce τε deleta c. Sintenis Em. Dion. I 19 24 ἐνοικεῖ καὶ κοινῇ A ἐνοικία κοινῇ BC ἐνοικεῖ καὶ κινεῖ οὐκ ἀξιοῦν

τᾶσθαι τοῦ ἀντιπάλου, ἀλλ' ἐκ παντὸς ἀεὶ ζητοῦσι
περιεῖναι τρόπου καὶ μὴ πρότερον χαρίζεσθαί τι, ἢ
5 λαβεῖν τὸ μέλλον εὖ πάσχειν ὑποχείριον. ἐννοούμενος
δὴ ταῦτα οἴομαι δεῖν πρεσβείαν ἀποσταλῆναι πρὸς
τοὺς δημοτικοὺς ἐκ τῶν μάλιστα πιστευομένων· τοὺς
δ' ἀποσταλησομένους ἄνδρας αὐτοκράτορας εἶναι πα-
ραινῶ, διαλυσομένους αὐτοῖς τὴν στάσιν, ἐφ' οἷς ἂν 1168
αὐτοὶ δικαιῶσι, καὶ μηδὲν ἔτι τῇ βουλῇ προσαναφέρον-
τας· αὐτοὶ γὰρ εἴσονται τοῦτο. οἱ ⟨δὲ⟩ νῦν ὑπεροπτικοὶ δοκοῦντες εἶναι καὶ βαρεῖς μαθόντες, ὅτι ἀληθῶς σπουδάζετε περὶ τὴν ὁμόνοιαν, καὶ εἰς ἐπιεικεστέρας συγκαθήσουσιν αἱρέσεις, οὐδὲν ἀξιοῦντες οὔτε τῶν αἰσχρῶν οὔτε τῶν ἀδυνάτων. τὸ γὰρ ἠρεθισμένον ἅπαν, ἄλλως τε κἂν ταπεινὸν ᾖ, πρὸς μὲν τοὺς ὑπερηφανοῦντας ἀγριαίνεσθαι φιλεῖ, πρὸς δὲ τοὺς θεραπεύοντας ἡμεροῦσθαι.

LVII. Ταῦτ' εἰπόντος τοῦ Μενηνίου θροῦς πολὺς ἐνέπεσε τῇ βουλῇ, καὶ διελάλουν ἕκαστοι κατὰ συμμορίας, οἱ μὲν οἰκείως διακείμενοι πρὸς τοὺς δημοτικοὺς παρακαλοῦντες ἀλλήλους πᾶσαν εἰσφέρεσθαι προθυμίαν, ὅπως κατάξουσι τὸν δῆμον εἰς τὴν πατρίδα, ἐπειδὴ προσειλήφεσαν ἡγεμόνα τῆς τότε γνώμης ἀνδρῶν ἀριστοκρατικῶν τὸν ἐπιφανέστατον· οἱ δ' ἀριστοκρατικοὶ

c. Reiske ἔνεστιν οἳ ἰδίᾳ τε καὶ κοινῇ Kiessling, cuius emendationem καὶ deleto in textum recepi; ἐνοικεῖ οὐκ ἀξιοῦν — ζητοῦν Cobet l. l. ἐνοικεῖ κακόν, οἳ νῦν ἀξιοῦσιν Meutzner p. 267 9 αὐτοὶ γὰρ O αὐτοὶ γὰρ πείσονται τούτοις c. Reiske | οἱ δὲ c. Schaller 10 μαθόντες τὲ ὅτι B 11 καὶ om. B 12 συγκαθήσουσιν Ba συ⟨γ⟩καθίσουσιν Bb 21 τὸν δῆμον om. Ba | verba ἐπειδὴ — ἀριστοκρατικῶν in mge add. Bb superscript. κεί. 22 γνώμης ἀνδρῶν ἀριστοκρατικοὶ καὶ περὶ παντὸς A

καὶ περὶ παντὸς θέλοντες μὴ κινεῖσθαι ἐκ τοῦ πατρίου κόσμου τὴν πολιτείαν ἀποροῦντες, ὅ τι χρήσονται τοῖς 59 παροῦσι, μεταθέσθαι μὲν οὐκ ἀξιοῦντες τὰς προαιρέσεις, μένειν δ' ἐπὶ τῶν ἐγνωσμένων οὐ δυνάμενοι· οἱ δ' ἀκέραιοί τε καὶ τῶν στάσεων οὐδετέρᾳ συμφιλονεικοῦντες εἰρήνην ἄγειν βουλόμενοι καὶ ὅπως μὴ τειχήρεις ἔσονται σκοπεῖν ἀξιοῦντες. σιωπῆς δὲ γενο- 2
μένης ὁ πρεσβύτερος τῶν ὑπάτων ἐπαινέσας τὸν Μενήνιον τῆς γενναιότητος, καὶ τοὺς λοιποὺς ἀξιώσας ὁμοίους ἐκείνῳ γενέσθαι κηδεμόνας λέγοντάς τε ὅσα φρονοῦσι μετὰ παρρησίας καὶ πράττοντας δίχα ὄκνου τὰ δόξαντα, δεύτερον ἐκάλει τὸν αὐτὸν τρόπον ἐξ ὀνόματος, ἀξιῶν γνώμην ἀποφήνασθαι, Μάνιον Οὐαλέριον ἀδελφὸν τοῦ συνελευθερώσαντος ἀπὸ τῶν βασιλέων τὴν πόλιν, ἄνδρα παρ' ὁντιναοῦν τῶν ἀριστοκρατικῶν τῷ δήμῳ κεχαρισμένον.

LVIII. Ὃς ἀναστὰς πρῶτον ὑπεμίμνησκε τὴν βουλὴν τῶν ἰδίων πολιτευμάτων, καὶ ὅτι πολλάκις αὐτοῦ προλέγοντος τὰ μέλλοντα συμβήσεσθαι δεινὰ δι' ὀλι-
60 γωρίας ἐποιήσαντο τοὺς λόγους· ἔπειτα ἠξίου τοὺς ἐναντιουμένους ταῖς διαλλαγαῖς μὴ περὶ τῶν μετρίων νῦν ζητεῖν, ἀλλ' ἐπεὶ τὴν στάσιν οὐκ εἴασαν ἐξαιρεθῆναι, ἡνίκα μικρὰ ἦν ἔτι τῇ πόλει τὰ διαφέροντα, νῦν γέ τοι σκοπεῖν, ὅπως διὰ ταχέων παύσεται καὶ μὴ

1 πρὸ παντὸς c. Hertlein Hermes X 416 cf. Tegge p. 18 καίπερ πάντως c. K. S. Kontos Athen. V 508 | ἐθέλοντας? 10 τε καὶ ὅσα B 12 ἕτερον O δεύτερον Kiessling 17 πρῶτον μὲν c. Reudler Tiroc. p. 48 21 τοῦ μετρίου O τῶν μετρίων c. Grasberger Philologus 28 (1869) p. 346 22 ἐπὶ τὴν στάσιν ἦν B ἦν superscript. Bb | ἐξ⟨αι⟩ρεθῆναι B 23 τὰ om. A 24 παύσεται Ba παύσηται ABb

προελθοῦσα ἔτι πορρωτέρω λήσει τάχα μὲν ἀνίατος, εἰ δὲ μὴ δυσίατος καὶ πολλῶν αἰτία σφίσι γενομένη κακῶν· τήν τε ἀξίωσιν τῶν δημοτικῶν οὐκέτι τὴν αὐτὴν ἀπέφαινεν ἐσομένην τῇ προτέρᾳ, οὐδ' ἐπὶ τοῖς αὐτοῖς εἴκαζε συμβήσεσθαι τὸν δῆμον ἀπαλλαγὴν μόνον τῶν χρεῶν αἰτούμενον, ἀλλὰ καὶ βοηθείας δεήσεσθαί τινος ἴσως, ἀφ' ἧς εἰς τὸν λοιπὸν χρόνον ἀσφα-
2 λὴς διατελέσει· καταλελύσθαι μὲν γὰρ ἀφ' οὗ παρῆλθεν ἡ τοῦ δικτάτορος ἀρχὴ τὸν φύλακα τῆς ἐλευθερίας αὐτοῦ νόμον, ὃς οὔτε ἀποκτείνειν πολίτην ἄκριτον οὐδένα συνεχώρει τοῖς ὑπάτοις, οὐδέ γε ⟨τοὺς⟩ παρὰ τῇ κρίσει ἐλαττουμένους ὑπὸ τῶν πατρικίων δημοτι- 1171
κοὺς παραδίδοσθαι τοῖς καταδικασαμένοις, ἔφεσιν δὲ τοῖς βουλομένοις ἐδίδου μεταφέρειν τὰς κρίσεις ἐπὶ τὸν δῆμον ἀπὸ τῶν πατρικίων καὶ ὅ τι ἂν ὁ δῆμος γνῷ, τοῦτ' εἶναι κύριον· ἀφῃρῆσθαι δὲ καὶ τὴν ἄλλην ἐξουσίαν τῶν δημοτικῶν ὀλίγου δεῖν πᾶσαν, ἧς ἐν τοῖς προτέροις χρόνοις ἦσαν κύριοι, ὅπου γε καὶ τὸν ἐκ τῶν πολέμων θρίαμβον οὐκ ἐξεγένετο αὐτοῖς εὑρέσθαι παρὰ τῆς βουλῆς ἀνδρὶ παρ' ὀντιναοῦν ἄλλον ἐπιτηδείῳ ταύτης τυχεῖν τῆς τιμῆς, Ποπλίῳ Σερουιλίῳ
3 Πρίσκῳ. ἐφ' οἷς εἰκός τι πάσχοντας τοὺς πολλοὺς ἀθυμεῖν καὶ πονηρὰς ἔχειν ὑπὲρ τῆς ἀσφαλείας ἐλπίδας, ἐπειδὴ οὔτε ὑπάτῳ οὔτε δικτάτορι κήδεσθαι αὐ- 117
τῶν βουλομένοις ἐξεγένετο, ἀλλὰ καὶ προσαπήλαυσέ τις αὐτῶν ὕβρεως καὶ ἀτιμίας διὰ τὴν ὑπὲρ τῶν πολλῶν

7 ὑφ' ἧς Cobet Obs. p. 123  11 οὐδέ γε παρὰ τῇ κρίσει O  οὔτε γε παρὰ τὰς κρίσεις Reiske | τούς addidisse Kiesslingius videtur  13 εὐθὺς παραδίδοσθαι dubitanter c. Kiessling  14 verba μεταφέρειν τὰς κρίσεις in suspicionem vocat Stephanus  16 ἔγνω B  25 *προσαπέλαυσε O

*σπουδὴν καὶ πρόνοιαν. ταῦτα δ' ἀπειργάσθαι συγκύψαντας οὐ τοὺς χαριεστάτους τῶν πατρικίων, ὑβριστὰς δέ τινας καὶ πλεονέκτας περὶ χρηματισμὸν ἄδικον δεινῶς ἐσπουδακότας, οἳ πρὸς πολὺ διάφορον καὶ ἐπὶ μεγάλοις δανεισθὲν τόκοις πολλὰ καταδουλωσάμενοι πολιτῶν σώματα, τούτοις τ' ὠμὰς καὶ ὑπερηφάνους ἀνάγκας προσφέροντες, ἀλλότριον ἐποίησαν γενέσθαι τῆς ἀριστοκρατίας ἅπαν τὸ δημοτικόν, ἑταιρίαν τε συστησάμενοι καὶ ταύτης ἀναδείξαντες Ἄππιον Κλαύδιον ἡγεμόνα, μισόδημον ἄνδρα καὶ ὀλιγαρχικόν, δι' ἐκείνου πάντα φύρουσι τὰ πράγματα τῆς πόλεως. οἷς εἰ μὴ τὸ σωφρονοῦν μέρος τῆς βουλῆς ἐμποδὼν στήσεται, κινδυνεύειν ὑπὲρ ἀνδραποδισμοῦ τινος καὶ κατασκαφῆς* 173 *τὴν πόλιν. τελευτῶν δ' ἀπεφήνατο συνδοκεῖν τῇ Μενηνίου χρῆσθαι γνώμῃ, καὶ τὴν πρεσβείαν ἠξίου πέμπειν διὰ ταχέων· τοὺς δ' ἄνδρας ἀφικομένους πειρᾶσθαι μὲν ὡς βούλονται καταλύσασθαι τὴν στάσιν, εἰ δὲ μὴ διδοίη τις αὐτοῖς, ἃ βούλονται, δέχεσθαι τὰ διδόμενα.*

LVIIII. *Μετὰ τοῦτον ἀνέστη κληθεὶς Ἄππιος Κλαύδιος ὁ τῆς ἐναντιουμένης τῷ δήμῳ στάσεως ⟨ἡγεμὼν⟩ ἀνὴρ μέγα φρονῶν ἐφ' ἑαυτῷ καὶ τοῦτ' οὐκ ἄνευ δικαίας πάσχων αἰτίας· ὅ τε γὰρ ἴδιος αὐτοῦ βίος ὁ καθ' ἡμέραν σώφρων καὶ σεμνὸς ἦν, ἥ τε προαίρεσις τῶν πολιτευμάτων εὐγενὴς καὶ τὸ ἀξίωμα σώζουσα τῆς*

1 *ἀπείργασται* B | *συγκαλύψαντες* A *συ⟨γ⟩κύψαντες* B 5 *δανείσαντες* c. Reiske 8 *ἀριστοκρα⟨τ⟩ίας* B 11 *φέρουσι* O *φύρουσι* Reiske 13 *κινδυνεύσειν* Cobet Obs. p. 124 | *τινος* et v. 15 *ἠξίου* del. idem 16 *ἀφικομένους ἐπὶ τὸ στρατόπεδον* c. Kiessling 21 *ἡγεμὼν* add. Reiske 24 post *σώφρων* eras. *ὢν* B | *προαιρέσεις* Ba

ἀριστοκρατίας· ὃς ἀφορμὴν λαβὼν τὴν Οὐαλερίου δη-
2 μηγορίαν τοιούτοις ἐχρήσατο λόγοις· Ἐν ἐλάττονι μὲν
αἰτίᾳ ⟨ἂν⟩ Οὐαλέριος ἦν, εἰ τὴν αὑτοῦ γνώμην ἀπε-
φήνατο μόνην, τῶν δὲ τἀναντία ἐγνωκότων μὴ κατη-
γόρει· περιῆν γὰρ ἂν αὐτῷ μηδὲν ἀκοῦσαι τῶν προσ-
όντων αὐτῷ κακῶν. ἐπεὶ δ' οὐκ ἀπέχρησεν αὐτῷ
τοιαῦτα συμβουλεύειν, ἐξ ὧν οὐδὲν ἄλλ' ἢ τοῖς κα-
κίστοις τῶν πολιτῶν δουλεύσομεν, ἀλλὰ καὶ τῶν ἐναν- 117
τιουμένων αὐτῷ καθήψατο κἀμοῦ ἀψιμάχως ἐμνήσθη,
πολλὴν ἀνάγκην ὁρῶ κἀμοὶ περὶ τούτων εἰπεῖν καὶ
πρῶτον ἀπολύσασθαι τὰς κατ' ἐμαυτοῦ διαβολάς. ὠνεί-
δισται γάρ μοι πρὸς αὐτοῦ ἐπιτήδευμα οὔτε πολιτικὸν
οὔτ' εὐπρεπές, ὡς ἀπὸ παντὸς χρηματίζεσθαι προῄρη-
μαι τρόπου καὶ πολλοὺς τῶν πενήτων ἀφῄρημαι τὴν
ἐλευθερίαν, καὶ ὡς ἡ ἀπόστασις τοῦ δήμου καὶ δι'
ἐμὲ οὐχ ἥκιστα γέγονεν· ὧν οὐδὲν ὅτι ἀληθές ἐστιν
3 οὐδ' ὑγιὲς ῥᾴδιον ὑμῖν μαθεῖν. ἴθι γάρ, εἰπὲ ὦ Οὐα-
λέριε, τίνες εἰσὶν οὓς κατεδουλωσάμην ἐγὼ πρὸς τὰ
χρέα; τίνας ἐν δεσμοῖς πολίτας ἔσχον ἢ νῦν ἔχω; τίς
τῶν ἀφεστηκότων διὰ τὴν ἐμὴν ὠμότητα ἢ φιλοχρη-
ματίαν στέρεται τῆς ἑαυτοῦ πατρίδος; ἀλλ' οὐκ ἂν
ἔχοις εἰπεῖν. τοσούτου γὰρ δέω τινὰ πολιτῶν κατα-
δεδουλῶσθαι διὰ χρέος, ὥστε πολλοῖς πάνυ τὰ ἐμαυ-
τοῦ προέμενος οὐδένα τῶν ἀποστερησάντων με πρόσ-
θετον ἐποιησάμην οὐδὲ ἄτιμον, ἀλλὰ πάντες εἰσὶν 117
ἐλεύθεροι καὶ πάντες οἴδασί μοι χάριν φίλων τε καὶ

1 ἀριστοκρα⟨τ⟩ίας B 3 *αἰτίᾳ ἂν ego ἂν ἦν Cobet l. l. ἂν om. O 5 ἂν om. O praeter B 10 καί μοι B 13 ἐκ παντὸς c. Cobet Obs. p. 124 15 καὶ del. Cobet l. l. 23 δεδουλῶσθαι χρέος Aa δ. διὰ χέος Ab καταδεδουλῶσθαι χρέως B καταδεδουλῶσθαι διὰ χρέος D κ. πρὸς χρέως Cobet l. l.

πελατῶν ἐν τοῖς ἀναγκαιοτάτοις ἐξετάζονται. καὶ οὐ λέγω ταῦτα κατηγορῶν ἐγὼ τῶν μὴ τὰ παραπλήσια ἐμοὶ πεποιηκότων οὐδ' εἴ τινες νόμῳ συγχωρούμενόν τι ἔδρασαν ἀδικεῖν αὐτοὺς οἴομαι, ἀλλὰ τὰς ⟨κατ'⟩ ἐμαυτοῦ διαβολὰς ἀπολύομαι.

LX. Ἃ δ' εἰς χαλεπότητα καὶ πονηρῶν ἀνθρώπων προστασίαν ὠνείδισέ μοι, μισόδημόν τε καὶ ὀλιγαρχικὸν ἀποκαλῶν, ὅτι τῆς ἀριστοκρατίας περιέχομαι, κοινὰ πάντων ὑμῶν ἐστι κατηγορήματα, ὅσοι οὐκ ἀξιοῦτε κρείττονες ὄντες ὑπὸ χειρόνων ἄρχεσθαι, οὐδ' ἣν παρελάβετε ἀπὸ τῶν προγόνων πολιτείαν ὑπὸ τῆς κακίστης
τῶν ἐν ἀνθρώποις πολιτειῶν δημοκρατίας ἀφαιρεθῆναι.
οὐ γὰρ ἂν οὗτος ὀλιγαρχίαν ὄνομα θῆται τῇ τῶν κρα- 2
τίστων ἡγεμονίᾳ, καὶ δὴ τὸ πρᾶγμα ὑπὸ τοῦ ὀνόματος
1176 διαβληθὲν ἀφανισθήσεται· ἡμεῖς δὲ πολλῷ ἂν δικαιό-
τερον ἐπενέγκαιμεν ὄνειδος καὶ ἀληθέστερον, δημοκοπίαν καὶ τυραννικῶν ἔργων ἐπιθυμίαν. οὐδενὶ γὰρ δὴ ἄδηλον, ὅτι πᾶς τύραννος ἐκ δημοκόλακος φύεται, καὶ ταχεῖα ὁδός ἐστι τοῖς καταδουλοῦσθαι τὰς πόλεις βουλομένοις ἡ διὰ τῶν κακίστων ἄγουσα πολιτῶν ἐπὶ τὰς δυναστείας, οὓς θεραπεύων οὗτος διατετέλεκε καὶ
οὐδὲ μέχρι τοῦ παρόντος παύεται. εὖ γὰρ ἴστε, ὅτι 3
οὐκ ἂν ἐτόλμησαν οἱ φαῦλοι καὶ ταπεινοὶ τηλικαῦτα ἐξαμαρτεῖν, εἰ μὴ ὑπὸ τοῦ σεμνοῦ καὶ φιλοπόλιδος

1 ἐξεταζόμενοι c. Reiske 3 συγχωρούμενοι O corr. Reiske 4 τὰς ἐμαυτοῦ O τὰς κατ' ἐμαυτοῦ Cobet Obs. p. 125 5 ἀπολυόμενος c. dubitanter Kiessling 6 χαλεπότητα καὶ O χαλεπῶν τε c. Kiessling 11 ὑπὸ O ἀπὸ Tegge de usu praepos. p. 24 παρὰ Bücheler 12 δημοκρατίας del. Cobet Obs. p. 125 13 ὀλογαρχίαν B ὀλιγαρχίας R | θῆται A θ.... Ba θεῖναι θελήσει BbC 15 δικαιότερον αὐτῷ c. Reiske 19 πολιτείας Bb 21 αὐτὸς A οὗτος B

τούτου ἐξηγέρθησαν, ὡς δὴ ἀκίνδυνον αὐτοῖς τὸ ἔργον ἐσόμενον, καὶ πρὸς τῷ μηδεμίαν ὑποσχεῖν δίκην κρείττονα μοῖραν τῆς προτέρας ἕξοντες. μάθοιτε δ' ἄν, ὡς ἀληθῆ ἐγὼ ταῦτα λέγω, μνησθέντες, ὅτι δεδιττόμενος ὑμᾶς ὑπὲρ πολέμου καὶ διαλλαγὰς ἀναγκαίας ἀποφαίνων ἅμα ἔφη καὶ ὡς οὐκ ἀγαπήσουσιν οἱ πένητες ἀφεθέντες τῶν χρεῶν, ἀλλὰ καὶ βοηθείας δεήσονταί τινος καὶ οὐκ ἀνέξονται ἔτι ὑφ' ὑμῶν ὡς καὶ πρότερον 1177 ἀρχόμενοι· τελευτῶν δ' ὑμᾶς ἠξίου στέργειν τὰ παρόντα καὶ συγχωρεῖν, ὅ τι ἂν ὁ δῆμος ἐπὶ τῇ καθόδῳ δικαιώσῃ λαβεῖν, μὴ διακρίναντας μήτ' ἀπὸ καλῶν
4 αἰσχρὰ μήτ' ἀπὸ δικαίων ἄδικα. τοσαύτης ἄρα αὐθαδείας τὸ ἀνόητον οὗτος ἐμπέπληκε τῆς πόλεως ἀνὴρ πρεσβύτερος καὶ πάσας κεκαρπωμένος τὰς παρ' ὑμῶν τιμάς. ἆρ' ἦν σοι ἄξιον, Οὐαλέριε, καθ' ἑτέρων τὰ μὴ προσόντα ὀνείδη λέγειν τοιαύταις ὄντι κατηγορίαις ἐνόχῳ;

LXI. Καὶ πρὸς μὲν τὰς ὑπὸ τούτου ῥηθείσας διαβολὰς ἀρκεῖ τὰ εἰρημένα, ὑπὲρ δ' ὧν βουλευσόμενοι συνεληλύθατε δοκεῖ μοι δίκαιά τ' εἶναι καὶ τῆς πόλεως ἄξια καὶ συμφέροντα ὑμῖν, οὐ μόνον ἃ ἐν ἀρχαῖς ἀπεφηνάμην, ἀλλὰ καὶ νῦν ἐπὶ τῆς αὐτῆς γνώμης ἐπιμένων ἀποφαίνομαι, μὴ συγχεῖν τὸν κόσμον τῆς πολιτείας, μηδὲ κινεῖν ἔθη πατέρων ἀκίνητα, μηδ' ἀναιρεῖν ἐξ ἀνθρώπων πίστιν ἱερὸν χρῆμα, μεθ' ἧς ἅπασα πόλις 1178

1 τουτουὶ Cobet Obs. p. 125 | τὸ ἔργον αὐτοῖς B 2 τῷ] τὸ B 3 μοῖραν ABb χώραν Ba | ἕξοντας O ἕξοντες Cobet l. l. 4 ἐγὼ ταῦτα B ταῦτα ἐγὼ R 6 καὶ del. Reiske 9 ⟨ἠ⟩ξίου B | τοὺς παρόντας O τὰ παρόντα Sylburg et Portus 16 αὐτῷ ὄντι c. Bücheler 22 ἀλλ' ἃ c. Bücheler | ἐπιμένων c. Kiessling 25 πᾶσα O

οἰκεῖται ἀσφαλῶς, δήμῳ τε μὴ εἴκειν ἀγνώμονι ἀδίκων
ἔργων καὶ ἀθεμίτων χρήζοντι· καὶ οὐχ ὅπως ὑποκατα- 2
κλίνομαί τι τῆς γνώμης φόβῳ ⟨τῶν⟩ διαφόρων, οἵ τὸ
ἐν τῇ πόλει δημοτικὸν ἐπ' ἐμοὶ συνιστάντες δεδίττον-
ταί με, ἀλλὰ πολὺ μᾶλλον ἢ πρότερον ἔρρωμαι τὴν
ὀργὴν καὶ ἀγανακτῶ τοῖς αἰτήμασι τοῦ δήμου διπλα-
σίως· ὑμῶν τ' ὦ βουλή, τὸ παράλογον τῆς γνώμης
τεθαύμακα, ὅτι οὐκ ἐπιτρέψαντες αὐτῷ, ὅτε οὔπω φα-
νερὸς ἦν πολέμιος, χρεῶν ἀποκοπὰς καὶ κατακριμάτων
ἀφέσεις αἰτουμένῳ, νῦν ἐπεὶ ἐν τοῖς ὅπλοις ἐστὶ καὶ
τὰ πολεμίων δρᾷ, ταῦτ' εἰ συγχωρήσετε βουλεύεσθε
179 καὶ ὅ τι κἂν ἄλλο τι αὐτῷ δοκῇ· δόξει δὲ δήπου, καὶ
πρῶτον ποιήσεται τῶν ἀξιουμένων, ἰσότιμον εἶναι καὶ
τῶν αὐτῶν ἡμῖν μετέχειν. οὐκοῦν εἰς δημοκρατίαν 3
περιστήσεται ⟨τὰ πράγματα⟩ τὴν ἀμαθεστάτην, ὥσπερ
ἔφην, τῶν ἐν ἀνθρώποις πολιτειῶν καὶ ὑμῖν ἀσύμ-
φορον τοῖς ἀξιοῦσιν ἄρχειν ἑτέρων; οὔκ, ἐάν γε σω-
φρονῆτε ὑμεῖς. ἢ πάντων ἂν εἴητε ἀφρονέστατοι, εἰ
πρὸς ἑνὸς ἄρχεσθαι τυραννικοῦ ἀνδρὸς οὐκ ἀνασχετὸν
ἡγησάμενοι δήμῳ τυραννίδι πολυκεφάλῳ νῦν ὑμᾶς αὐ-
τοὺς παραδώσετε, καὶ ταῦτ' οὐ μετὰ χαρίτων αὐτῷ
πείθοντι συγχωρήσετε ὑπό τ' ἀνάγκης κρατηθέντες καὶ
ὡς οὐκ ἐξὸν ἄλλο τι δρᾶν νῦν ἡμῖν παρὰ γνώμην

3 τῶν add. Reiske | διαφέρων O διαφόρων Reiske 8 φανερῶς ἦν A φανερὸς ἦν Bb φανερόσιν Ba 10 post ἐστὶ erasa est una litt. 11 εἰ om. A | συγχωρήσεται et βουλεύεσθαι Ba βούλεσθαι A | post βουλεύεσθε verba καὶ λόγον οὐδένα ποιεῖσθε intercidisse Meutzner p. 268 et pro δοκῇ idem δοκοίη scribendum esse censet 12 καὶ ὅτι κἂν ἄλλο τι B τι om. A καὶ ὅτι ἂν ἄλλο Sylburg 13 ποιήσεται Ba ποιήσετε ABb 15 post περιστήσεται add. ἡ πόλις Kiessling τὰ πράγματα Kayser Ann. phil. 1866 p. 44 18 εἰ οἱ A 20 ⟨ὑ⟩μᾶς B

4 εἴξαντες. ὅταν δὲ τὸ ἀνόητον ἀντὶ τοῦ κολάζεσθαι
ἐφ' οἷς ἂν πλημμελήσῃ καὶ τὸ τιμᾶσθαι δι' αὐτὰ προσ- 118
λάβῃ, πῶς δοκεῖτε αὔθαδες ἔσται καὶ ὑπερήφανον; μὴ
γὰρ δὴ ἐκείνῃ τῇ ἐλπίδι ἐπαίρεσθε, ὡς μετριάσει περὶ
τὰς ἀξιώσεις ὁ δῆμος, ἐὰν φανερὸν αὐτῷ γένηται, ὅτι
ὑμεῖς ἅπαντες ἐψηφίσασθε οὕτως.

LXII. Ἀλλὰ πλεῖστον δὴ ἐν τούτῳ Μενήνιος ἐψεύσθη
τῆς δόξης, ἀνὴρ σώφρων, [ὃς] ἐκ τῶν ἑαυτοῦ τρόπων
τεκμαίρεται χρηστὰ ὑπὲρ ἑτέρων. ἐγκείσεται γὰρ ὑμῖν
πέρα τοῦ δέοντος βαρὺς ὑπό τ' αὐθαδείας, ἣ φιλεῖ
περὶ τὸ κρατοῦν ἀεὶ γίνεσθαι, καὶ ἀφροσύνης, ἧς πλεῖ-
στον ὄχλος μετέχει μέρος· κἂν εἰ μὴ ἐν ἀρχαῖς, χρόνῳ
γοῦν ὕστερον καὶ ἐφ' ἑκάστῳ χρήματι, ὧν ἂν δεηθεὶς
μὴ τύχῃ, τὰ ὅπλα λαβὼν τὸν αὐτὸν τρόπον ὑμῖν σο-
βαρῶς ἐπιθήσεται. ὥστ' εἰ τὰ πρῶτα συγχωρήσετε συμ-
φέροντα εἶναι νομίσαντες, ἕτερόν τι χεῖρον εὐθὺς ἐπι-
ταχθήσεσθε καὶ αὖθις ἄλλο τούτου χαλεπώτερον, ὡς
φόβῳ καὶ τὰ πρῶτα ὑπακούσαντες, ἕως ἐκβάλωσιν ὑμᾶς
τελευτῶντες τῆς πόλεως, ὡς ἐν πολλαῖς ἄλλαις καὶ τὰ 118
τελευταῖα ἐν Συρακούσαις οἱ γεωμόροι πρὸς τῶν πε-
2 λατῶν ἐξηλάθησαν. εἰ δ' ἐπ' ἐκείνων ἀγανακτήσαντες
ἐναντιώσεσθε τοῖς αἰτήμασι, τί δή ποτ' οὐκ αὐτόθεν
ἄρχεσθε ἐλεύθερα φρονήματα ἔχειν; κρεῖττον γὰρ ἀπ'

2 διὰ ταῦτα Bb 4 δὴ 'κείνῃ? 7 Μ⟨ε⟩νήνιος B in ras. 2 litt. 8 σώφρων καὶ ἐκ c. Reiske | ὃς del. Kayser Ann. phil. 1866 p. 46 9 τεκμαιρόμενος O τεκμαίρεται Kiessling | γὰρ om. AB 12 ὄχλος del. Bb 13 καὶ del. Cobet Obs. p. 125 14 σοβαρὸς B 16 ἕτερόν τι καὶ χεῖρον Grasberger Tess. Herbip. p. 29 18 ὑπακουσ. . . αι . . . . . . . . . ἕωσ . . . . . ἐκ βάλωσιν Ba ἐκβάλουσιν c. Bücheler 20 Συρακούσαις αἷς ABb 21 ἐπ' ἐκείνοις c. Sylburg ἐπ' ἐκείνων ἑκάστῳ c. *Reiske*

ἐλάττονος αἰτίας ὁρμηθέντας πρὶν [ἢ] βλαβῆναί τι ἀπο-
δείξασθαι τὸ γενναῖον, ἢ πολλὰ ὑπομείναντας τότε
ἀγανακτεῖν περὶ τῶν γεγονότων καὶ μὴ ἐπιτρέπειν τὰ
λοιπὰ καὶ ὀψὲ ἄρξασθαι νοῦν ἔχειν. φοβείτω δ' ὑμῶν
μηδένα μήτε ὁ τῶν ἀποστατῶν ἀνασεισμὸς μήτε ὁ τῶν
ἀλλοφύλων πόλεμος· μήτε καταγινώσκετε τῆς οἰκείας
1182 δυνάμεως ὡς οὐχ ἱκανῆς οὔσης διασῶσαι τὴν πόλιν.
ἡ μὲν γὰρ τῶν φυγάδων βραχεῖά ἐστιν ἰσχὺς καὶ οὔτε 3
πολὺν ἀνθέξει χρόνον διαμένουσα, ὥσπερ νῦν, ὑπαί-
θριος [μένει] ὑπὸ καλύβαις ὥρᾳ ἔτους χειμερίῳ, πορί-
ζεσθαι δὲ τὰ ἐπιτήδεια οὐχ ὅπως δι' ἁρπαγῆς ἔτι δυ-
νησομένη ἐπειδὰν τὰ ὄντα ἀναλώσῃ, ἀλλ' οὐδ' ἂν
ἄλλοθεν ὠνητὰ ἐπεισάγεσθαι διὰ πενίαν, οἷς οὔτε ἰδίᾳ
οὔτ' ἐν κοινῷ χρήματά ἐστιν· οἱ δὲ πόλεμοι ταῖς πε-
ριουσίαις τῶν χρημάτων ὡς τὰ πολλὰ ἀντέχουσιν·
ἀναρχία τ' αὐτοῖς ὡς εἰκὸς καὶ στάσις ἐκ τῆς ἀναρ-
χίας ἐμπεσοῦσα ταχὺ διαχεῖ [καὶ διαλύσει] τὰ βουλεύ-
ματα. οὐ γὰρ δὴ ἀξιώσουσιν οὔτε Σαβίνοις οὔτε Τυρ- 4
ρηνοῖς οὔτ' ἄλλοις τισὶ τῶν ἀλλοφύλων παραδόντες
σφᾶς αὐτούς, ἐκείνοις δουλεύειν, ὧν καὶ αὐτοί ποτ'
ἀφείλοντο τὴν ἐλευθερίαν σὺν ὑμῖν, καὶ μάλιστα οὐδὲ
1183 πιστευθήσονται πρὸς αὐτῶν οἱ κακῶς αὐτῶν τὴν πα-
τρίδα καὶ αἰσχρῶς ἀπολέσαι προθυμηθέντες, μὴ οὐχὶ
ὅμοια δράσειν τὴν ὑποδεξαμένην. ἀριστοκρατεῖται δὲ

1 πρὶν βλαβῆναι O πρὶν ἢ β. Kiessling 8 καὶ οὔτε O καὶ οὐ Bücheler 9 διαμένουσα] διασθενοῦσα Reiske 10 μένει ABb μὲν ἡ Ba μένειν Reiske μένει seclusit Kiessling 11 δυνησομένης B 12 ἂν om. B 17 διαχέοι καὶ διαλύοι A διαχέει καὶ διαλύει B διαχεῖ καὶ διαλύσει Cobet Variae Lect. p. 362 καὶ διαλύει idem del. Obs. p. 126 cui ego commotus verbis p. 419, 4 assentior

*καὶ τὰ ἔθνη τὰ πέριξ ἡμῶν ἅπαντα, καὶ τὸ δημοτικὸν ἐν οὐδεμιᾷ πόλει μεταποιεῖται τῶν ἴσων, ὥστε οὐ δήπου οἱ προύχοντες ἐν ἑκάστῃ πόλει τὸν οἰκεῖον οὐκ ἐῶντες παρακινεῖν ὄχλον, τοῦτον εἰσδέξονται τὸν ἔπηλυν καὶ στασιαστὴν εἰς τὴν ἑαυτῶν πατρίδα, μὴ μεταδόντες αὐτοὶ τῶν ὁμοίων σὺν χρόνῳ στερήσονται τῶν*
5 *ἴσων. εἰ δ' ἄρα γε γνώμης ἁμάρτοιμι καὶ παραδέξαιτό τις αὐτοὺς πόλις, ἐνταῦθα δὴ διαγινώσκοινθ' ὡς ἂν πολέμιοί τε ὄντες καὶ τὰ πολεμίων πεισόμενοι. ἔχομεν δ' αὐτῶν ὅμηρα πατέρας καὶ γαμετὰς καὶ τὴν ἄλλην συγγένειαν, ὧν οὐδ' ἂν εὐχόμενοι κρείττονα παρὰ θεῶν αἰτησαίμεθα· οὓς ἐν ὄψει τῶν συγγενῶν στήσαντες ἀπολοῦμεν, εἰ τολμήσαιεν ὁμόσε χωρεῖν, ὡς ταῖς ἐσχάταις* 1184
*λώβαις διαχρησόμενοι. καὶ αὐτούς, εἰ τοῦτο μάθοιεν, εὖ ἴστε, ὅτι λήψεσθε ἀντιβολοῦντας, ὀλοφυρομένους, παραδιδόντας σφᾶς αὐτοὺς ἡμῖν δίχα τῶν ὅπλων, ἅπαντα ὑπομένοντας. δειναὶ γὰρ αἱ τοιαίδε ἀνάγκαι [καὶ] πάντας τοὺς αὐθάδεις λογισμοὺς κλάσαι καὶ καταβαλεῖν εἰς τὸ μηδέν.*

LXIII. *Ὧν μὲν δὴ χάριν τὸν ἐκ τῶν φυγάδων πόλεμον οὐκ ἀξιῶ δεδιέναι ταῦτ' ἐστι· τὰ δ' ἐκ τῶν ἀλλοεθνῶν φοβερὰ οὐ νῦν πρῶτον ἐξετασθήσεται μέχρι λόγου τοιαῦτα ὄντα, ἀλλὰ καὶ πρότερον, ὁσάκις ἡμῖν πεῖραν ἑαυτῶν ἔδωκαν, ἐλάττω τῆς δόξης διεφάνη.*

1 *καὶ* om. B   5 *αὐτῶν* B   6 *αὐτοῖς* Bb | *ὅπως μὴ* c. Cobet Obs. p. 126   7 *γε* del. Cobet l. l.   8 *ἂν ὡς* Hertlein Hermes X 416   10 *καὶ πατέρας* editio Kiessling.   12 *ἡγησαίμεθα* O *αἰτησαίμεθα* Sylburg   13 *ἀπολοῦμεν* O *ἀπειλοῦμεν* Kiessling   17 *τοια* Ba | *ἀνάγκαι* om. A   18 *καὶ* del. Pflugk   22 *μέχρι λόγων* c. Grasberger Philologus 28 (1869) *p. 346*   23 *τοσαῦτα* c. Kiessling

ὅσοι δ' οὐχ ἱκανὴν οἴονται τὴν οἰκείαν δύναμιν τῆς
πόλεως καὶ τῇδε μάλιστα ὀρρωδοῦσι τὸν πόλεμον, μα-
θέτωσαν οὐχ ἱκανῶς αὐτῆς ᾐσθημένοι. πρὸς μέν γε 2
τοὺς ἀφεστηκότας τῶν πολιτῶν ἀντίπαλον χεῖρα ἕξο-
85μεν, εἰ βουλοίμεθα τῶν θεραπόντων ἐπιλεξάμενοι τοὺς
ἀκμαιοτάτους ἐλευθερῶσαι. κρεῖττον γὰρ τὴν ἐλευ-
θερίαν χαρίσασθαι τούτοις ἢ τὴν ἡγεμονίαν ὑπ' ἐκείνων
ἀφαιρεθῆναι. ἔχουσι δὲ τῶν πολεμικῶν ἐμπειρίαν ἱκα-
νὴν πολλάκις ἡμῖν παραγενόμενοι κατὰ τὰς στρατείας.
πρὸς δὲ τοὺς ἔξωθεν πολεμίους αὐτοί τε χωρῶμεν 3
ἁπάσῃ προθυμίᾳ καὶ τοὺς πελάτας ἅπαντας ἐπαγώμεθα
καὶ τοῦ δημοτικοῦ τὸ περιόν. ἵνα δὲ πρόθυμον ᾖ
πρὸς τοὺς ἀγῶνας, ἄφεσιν αὐτῷ χαρισώμεθα τῶν χρεῶν,
μὴ κοινήν, ἀλλὰ κατ' ἄνδρα. εἰ γάρ τι δεῖ τοῖς και-
ροῖς εἴξαντας μετριάσαι, μὴ πρὸς τοὺς πολεμίους τῶν
πολιτῶν τοῦτ' ἔστω τὸ μέτριον, ἀλλὰ πρὸς τοὺς φί-
λους, οἷς οὐκ ἀναγκαζόμενοι τὰς χάριτας διδόναι δόξο-
μεν, ἀλλὰ πειθόμενοι. ἐὰν δὲ καὶ ἄλλης ἐπιδέῃ βοη-
θείας, ὡς ταύτης οὐκ οὔσης ἱκανῆς, τούς τ' ἐκ τῶν
φρουρίων μεταπεμπώμεθα, καὶ τοὺς ἐν ταῖς ἀποικίαις
186ἀνακαλῶμεν. τοῦτο δ' ὅσον ἐστὶ πλῆθος ἐκ τῆς ἔγ- 4
γιστα γενομένης τιμήσεως μαθεῖν ῥᾴδιον ἂν εἴη. τρισ-
καίδεκα μυριάδες εἰσὶ Ῥωμαίων τῶν ἐν ἥβῃ τετιμημέ-
νων, ὧν οὐκ ἂν εἴη μέρος ἕβδομον τὸ φυγαδικόν.
⟨οὐ⟩ λέγω δὲ τὰς Λατίνων τριάκοντα πόλεις, αἳ μετὰ
πολλῆς εὐχῆς δέξαιντ' ἂν τοὺς ὑπὲρ ἡμῶν ἀγῶνας διὰ

8 ἀφ⟨αι⟩ρεθῆναι Bb 9 τὰς om. B 22 ῥᾴδιον ἐν ᾗ — μυριάδες εἰσὶ — τετιμημέναι c. Cobet Obs. p. 126 25 οὐ om. O add. Reiske, plura verba ante λέγω intercidisse c. Kiessling

τὸ συγγενές, ἐὰν ψηφίσησθε αὐταῖς ἰσοπολιτείαν μόνον, ἧς αἰεὶ διατελοῦσι δεόμεναι.

LXIIII. Ὁ δὲ πάντων ἐστὶ κράτιστον ἐν τοῖς πολέμοις, καὶ οὔτε ὑμεῖς αὐτοὶ ἐνεθυμήθητέ πω, οὔτε τῶν συμβούλων οὐδεὶς λέγει, τοῦτο προσθεὶς παύσομαι. οὐδενὸς οὕτω δεῖ τοῖς μέλλουσιν εὐτυχὲς ἕξειν τὸ τῶν ἀγώνων τέλος, ὡς στρατηγῶν ἀγαθῶν. τού- 1187
των ἡ μὲν ἡμετέρα πλουτεῖ πόλις, αἱ δὲ τῶν ἀντιπά-
2 λων σπανίζουσιν. αἱ μὲν οὖν πολυοχλοῦσαι δυνάμεις, ὅταν λάβωσιν ἡγεμόνας οὐκ εἰδότας ἄρχειν, ἀσχημονοῦσι καὶ περὶ αὐταῖς σφάλλονται τὰ πλεῖστα, καὶ τοσούτῳ μᾶλλον κακοπαθοῦσιν, ὅσῳπερ ἂν μείζονα ἔχωσι πόνον. οἱ δ' ἀγαθοὶ στρατηλάται, κἂν μικρὰς λάβωσι δυνάμεις, ταχέως ποιοῦσιν αὐτὰς μεγάλας. ὥστ' ἄχρις ἂν ἡγεῖσθαι δυναμένους ἄνδρας ἔχωμεν, οὐκ
3 ἀπορήσομεν τῶν ἄρχεσθαι βουλομένων. ἐνθυμούμενοι δὴ ταῦτα καὶ τῶν ἔργων τῆς πόλεως μεμνημένοι μηδὲν ταπεινὸν μηδ' ἀγεννὲς μηδ' ἀνάξιον ὑμῶν αὐτῶν ψηφίσησθε. τί οὖν, εἴ τις ἔροιτό με, [τι] πράττειν ὑμῖν παραινῶ; τουτὶ γὰρ ἴσως πάλαι γνῶναι σπεύδετε. μηδένα μήτε πρεσβείαν πέμπειν πρὸς τοὺς ἀφεστηκότας, μήτε ἄφεσιν ψηφίσασθαι τῶν χρεῶν, μήτ' ἄλλο 1188
ποιεῖν μηδέν, ὅ τι δόξειεν ἂν φόβου τεκμήριον εἶναι καὶ ἀμηχανίας· ἐὰν δὲ καταθέμενοι τὰ ὅπλα κατέλθω-

4 αὐτὸ AB αὐτοὶ C et Sylburg 5 ἔλεγεν c. Kiessling 8 ἡ ἡμετέρα A ἡμ.. ἡ.μετέρα Ba ἡμῖν ἡ ἡμετέρα Bb 11 αὐταῖς O 13 *πόρον O ὄγκον c. Hertlein Hermes X 416 ὄχλον Smit Obs. p. 30 πόνον ego 15 ἃ χριαν Ba ὥστε ἄχρις ἂν ABb 19 εἴ τις ἔροιτό με del. Cobet Obs. p. 123 | τι del. Sintenis Em. Dion. II 32 20 ταυτὶ O corr. Sylburg 23 τεκμήριον εἶναι τεκμήριον Bb 24 ἀποθέμενοι c. Kayser *Ann. phil.* 1866 p. 46

σιν εἰς τὴν πόλιν καὶ παράσχωσιν ὑμῖν βουλεύσασθαι
περὶ σφῶν αὐτῶν, καθ' ἡσυχίαν ἐξετάσαντας τότε χρῆ-
σθαι μετριότητι πρὸς αὐτοὺς εἰδότας, ὅτι πᾶν τὸ ἀνό-
ητον, ἄλλως τε κἂν ὄχλος ᾖ, πρὸς μὲν τοὺς ταπεινοὺς
αὔθαδες γίνεσθαι φιλεῖ, πρὸς δὲ τοὺς αὐθάδεις ταπει-
νοῦσθαι.

LXV. Πανσαμένου δὲ τοῦ Κλαυδίου μεγάλη φωνὴ
καὶ θόρυβος ἐξαίσιος ἄχρι πολλοῦ χρόνου κατεῖχε τὸ
συνέδριον. οἱ μὲν γὰρ ἀριστοκρατικοὶ δοκοῦντες εἶναι
καὶ τὰ δικαιότερα πρὸ τῶν ἀδίκων οἰόμενοι δεῖν σκο-
πεῖν τῇ Κλαυδίου γνώμῃ προσετίθεντο καὶ τοὺς ὑπά-
τους ἠξίουν μάλιστα μὲν τῇ κρείττονι προσχωρῆσαι
μερίδι διαλογιζομένους, ὅτι βασιλικὸν ἔχουσι τὸ τῆς
ἀρχῆς κράτος, οὐ δημοτικόν· εἰ δὲ μή γε, φυλάττειν
αὐτοὺς ἴσους καὶ μὴ κατισχύειν μηδετέραν τῶν στά-
189 σεων, διαριθμησαμένους δὲ τὰς γνώμας τῶν συνέδρων
ταῖς πλείοσι [γνώμαις] στοιχεῖν. εἰ δὲ τούτων ἀμφο- 2
τέρων ὑπεριδόντες αὐτοκράτορας αὐτοὺς ποιήσουσι τῶν
διαλύσεων, οὐκ ἐπιτρέψειν αὐτοῖς ἔλεγον, ἀλλ' ἐναν-
τιώσεσθαι πάσῃ προθυμίᾳ λόγοις τ' ἄχρις ἂν ἐξῇ,
χρώμενοι καὶ ὅπλοις, ὅταν ἀναγκαῖον γένηται· ἦν δὲ
τοῦτο στῖφος καρτερὸν καὶ σχεδὸν ἅπασα τῶν πατρι-
κίων ἡ νεότης ταύτης εἴχετο τῆς προαιρέσεως. οἱ δὲ 3
τῆς εἰρήνης ἐπιθυμοῦντες τῇ Μενηνίου τε καὶ Οὐα-
λερίου γνώμῃ προσέκειντο καὶ μάλιστα οἱ προβεβηκότες
ταῖς ἡλικίαις ἐνθυμούμενοι τὰς συμφοράς, ὅσαι κατα-
λαμβάνουσι τὰς πόλεις ἐκ τῶν ἐμφυλίων πολέμων.

2 τοὺς χρῆσθαι O τότε χρ. c. Kiessling 10 καὶ del. Stephanus 16 μὴ δ' ἑτέρα B 17 γνώμαις del. Cobet Obs. p. 126 18 ὑπεριδόντας B 20 ἄχρι Ba

*ἐξηττώμενοι δὲ τῆς κραυγῆς τῶν νέων καὶ τῆς ἀκοσμίας τό τε φιλότιμον αὐτῶν ὑφορώμενοι καὶ τὸν ἐπιπολασμόν, ὃν ἐποιοῦντο κατὰ τῶν ὑπάτων, δεδιότες,* 1190 *ὡς οὐ πρόσω χειροκρασίας ἐλευσόμενον, εἰ μή τις αὐτοῖς εἴξειεν, εἰς δάκρυα καὶ δεήσεις τῶν ἐναντιουμένων τελευτῶντες ἐτράποντο.*

LXVI. *Λωφήσαντος δὲ τοῦ θορύβου καὶ σιωπῆς γενομένης σὺν χρόνῳ διαλεχθέντες τι πρὸς αὐτοὺς οἱ ὕπατοι τέλος ἐξήνεγκαν τῆς ἑαυτῶν γνώμης τοιόνδε· Ἡμεῖς, ὦ βουλή, μάλιστα μὲν ἠξιοῦμεν ἅπαντας ὑμᾶς ὁμογνωμονεῖν, ἄλλως τε καὶ ταῦτα περὶ κοινῆς σωτηρίας βουλευομένους· εἰ δὲ μή, τοῖς πρεσβυτέροις ὑμῶν εἴκειν τοὺς νεωτέρους καὶ μὴ φιλονεικεῖν ἐνθυμουμένους, ὅτι κἀκείνοις εἰς ταύτην ἐλθοῦσι τὴν ἡλικίαν τῆς ἴσης ὑπάρξει τυγχάνειν τιμῆς παρὰ τῶν ἐγγόνων. ἐπεὶ δ' ὁρῶμεν εἰς ἔριν ὑμᾶς ἐκπεπτωκότας ὀλεθριωτάτην τῶν ἀνθρωπίνων νόσων καὶ πολλὴν τὴν αὐθάδειαν ὁμιλοῦσαν ὑμῶν τοῖς νέοις, νῦν μὲν ἐπεὶ βραχὺ τὸ λειπόμενόν ἐστι τῆς ἡμέρας καὶ οὐκ ἂν δύναιτο* 1191 *τέλος ἐν τούτῳ λαβεῖν τὰ δόξαντα ὑμῖν, ἄπιτ' ἐκ τοῦ συνεδρίου· εἰς δὲ τὸν ἐπιόντα σύλλογον ἥξετε μετριώ-*
2 *τεροι γενόμενοι καὶ γνώμας ἔχοντες ἀμείνους. εἰ δὲ παραμενεῖ τὸ φιλόνεικον ὑμῖν, νέοις μὲν οὔτε δικασταῖς οὔτε συμβούλοις ἔτι τῶν συμφερόντων χρησό-*

2 *ἐπιπελασμὸν* B 4 *χειροκρατίας* c. Cobet Obs. p. 127 | *ἐλευσομένους* c. Grasberger Tess. Herbip. p. 30 8 *τι* Ba *ἔτι* ABb 11 *ἄλλως τε* ABb *ἀλλ' ὥστ'* Ba *ἄλλως τε* vel *ταῦτα* del. esse c. Reiske 13 *καὶ μὴ φιλονεικεῖν* om. B 15 *τιμῆς τυγχάνειν* B | *ἐγγόνων* ABa *ἐκγόνων* Bb | *ἐπειδὴ δὲ* Bb 16 *ἐκπεπτωκότας*] *ἐμπεπτωκότας* c. Bücheler 17 *νόσον* c. Cobet Obs. p. 127 18 *ἡμῶν* B 21 *ἥκετε* Cobet l. l. 23 *παραμένει* B *παραμένοι* R *παραμενεῖ* Cobet l. l.

μεθα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν ἀνείρξομεν αὐτῶν τὴν
ἀκοσμίαν νόμῳ τάξαντες ἀριθμὸν ἐτῶν, ὃν δεήσει τοὺς
βουλεύσοντας ἔχειν· τοῖς δὲ πρεσβυτέροις ἀποδόντες
λόγον αὖθις, ἐὰν μηδὲν συμφέρωνται ταῖς γνώμαις,
ταχείᾳ τὴν φιλονεικίαν αὐτῶν λύσομεν ὁδῷ, ἣν ἄμει-
νόν ἐστιν ὑμᾶς προακοῦσαι καὶ μαθεῖν. ἴστε δήπου 3
νόμον ἡμῖν ὑπάρχοντα, ἐξ οὗ τήνδε οἰκοῦμεν τὴν πόλιν,
πάντων εἶναι κυρίαν τὴν βουλήν, πλὴν ἀρχὰς ἀπο-
δεῖξαι καὶ νόμους ψηφίσαι καὶ πόλεμον ἐξενεγκεῖν ἢ
τὸν συνεστῶτα καταλύσασθαι· τούτων δὲ τῶν τριῶν
192 τὸν δῆμον ἔχειν τὴν ἐξουσίαν ψῆφον ἐπιφέροντα. ἐν
δὲ τῷ παρόντι οὐχ ὑπὲρ ἑτέρου τινὸς ἢ πολέμου καὶ
εἰρήνης βουλευόμεθα, ὥστε πολλὴ ἀνάγκη τὸν δῆμον
ἐπικυρῶσαι τὰς ἡμετέρας γνώμας ψήφου γενόμενον
κύριον. παραγγείλαντες δὴ τῷ πλήθει παρεῖναι κατὰ 4
τόνδε τὸν νόμον εἰς τὴν ἀγοράν, ἐπειδὰν ὑμεῖς ἀπο-
δείξησθε τὰς γνώμας, ἀποδώσομεν αὐτῷ τὴν ψῆφον,
οὕτως ἂν μάλιστα νομίσαντες ἀρθῆναι τὴν ἔριν ὑμῶν·
ὅ τι δ' ἂν οἱ πλείους ψηφίσωνται, τοῦθ' ἡγησόμεθα
κύριον. ἄξιοι δὲ δήπου ταύτης εἰσὶ τῆς τιμῆς τυγχά-
νειν οἱ διαμένοντες εὖνοι τῇ πόλει καὶ μέλλοντες ἰσο-
μοιρεῖν ἡμῖν κακῶν τε καὶ ἀγαθῶν.

LXVII. Ταῦτ' εἰπόντες διέλυσαν τὸν σύλλογον·
ταῖς δ' ἑξῆς ἡμέραις παραγγεῖλαι κελεύσαντες ἅπασι
τοῖς κατὰ τοὺς ἀγροὺς καὶ τὰ φρούρια παρεῖναι καὶ
τῇ βουλῇ προαγορεύσαντες ἥκειν εἰς τὴν αὐτὴν ἡμέ-
ραν, ἐπειδὴ κατέμαθον ὄχλου μεστὴν οὖσαν τὴν πόλιν

3 βουλεύσοντας B βουλεύσαντας R 4 μηδὲ τότε c. Reiske 18 ἐξαιρεθῆναι c. Kiessling dubitanter 21 εὐνοίᾳ B 24 ἡμέρας A

καὶ τὰς γνώμας τῶν πατρικίων ἐξηττωμένας τῶν δεήσεων, ἃς ἐποιοῦντο σὺν οἰμωγῇ καὶ ὀδυρμῷ πατέρες τε καὶ παιδία νήπια τῶν ἀποστατῶν, τῇ κυρίᾳ τῶν ἡμερῶν ἐξήεσαν ἐπὶ τὴν ἀγορὰν στενοχωρουμένην ἐκ 1193
2 πολλῆς ἔτι νυκτὸς ἅπασαν ὄχλῳ παντοδαπῷ. καὶ παρελθόντες ἐπὶ τὸ ἱερὸν τοῦ Ἡφαίστου, ἔνθα ἦν ἔθος αὐτοῖς τὰς ἐκκλησίας ἐπιτελεῖν, πρῶτον μὲν ἐπήνεσαν τὸν δῆμον ἐπὶ τῇ σπουδῇ καὶ προθυμίᾳ τῆς κατὰ πλῆθος ἀφίξεως· ἔπειτα παρεκάλεσαν ἐκδέχεσθαι μεθ' ἡσυχίας, ἕως ἂν γένηται τὸ προβούλευμα τῆς βουλῆς· τοῖς δ' οἰκείοις τῶν ἀποστατῶν ἀγαθὰς παρῄνουν ἐλπίδας ἔχειν, ὡς οὐ διὰ μακροῦ κομιουμένοις τὰ φίλτατα, καὶ μετὰ τοῦτο παρελθόντες εἰς τὸ συνέδριον αὐτοί τε διελέχθησαν ἐπιεικεῖς καὶ μετρίους λόγους, καὶ τοὺς ἄλλους ἠξίουν χρηστὰς καὶ φιλανθρώπους ἀποδείκνυσθαι γνώμας. πρῶτον δὲ τῶν ἄλλων ἐκάλουν τὸν Μενήνιον· ὃς ἀναστὰς τοῖς αὐτοῖς ἐχρήσατο λόγοις οἷς καὶ πρότερον ἐπὶ τὰς διαλλαγὰς τὴν βουλὴν παρακαλῶν καὶ γνώμην ἀπεφήνατο τὴν αὐτὴν ἀξιῶν πρε- 1194
σβείαν ἀποστέλλειν πρὸς τοὺς ἀφεστηκότας διὰ ταχέων αὐτοκράτορα τῶν διαλλαγῶν.

LXVIII. *Μετὰ τοῦτον ἀνίσταντο καλούμενοι καθ'* ἡλικίαν οἱ τὴν ὑπατικὴν ἐσχηκότες ἀρχήν, οἷς ἅπασιν ἐδόκει τῇ Μενηνίου χρῆσθαι γνώμῃ, τέως καθῆκεν ὁ λόγος εἰς τὸν Ἄππιον. ὁ δ' ἀναστάς, Ὁρῶ μέν, ἔφησεν, ὅτι καὶ τοῖς ὑπάτοις ἐστὶ κεχαρισμένον, ὦ βουλή, καὶ τοῖς ἄλλοις ὑμῖν ὀλίγου δεῖν πᾶσι κατάγειν τὸν δῆμον, ἐφ' οἷς ἂν αὐτὸς ἀξιοῖ· καὶ μόνος ἐξ ἁπάντων

5 παρελθόντες O quod def. Garrer Obs. p. 23 προελθόντες c. Kiessling 9 παρεκέλευσαν B 12 καὶ add. B

ἐγὼ λείπομαι τῶν ἐναντιωθέντων πρὸς τὰς διαλύσεις ἐκείνοις τ᾽ ἀπεχθὴς διαμένων καὶ ὑμῖν οὐδὲν ἔτι χρήσιμος ὤν. οὐ μὴν διὰ ταῦτά γ᾽ ἀποστήσομαι τῶν ἐξ 2
ἀρχῆς ἐγνωσμένων οὐδὲ καταλείψω τὴν τάξιν τῆς πολιτείας ἑκών. ὅσῳ δ᾽ ἂν ἐρημότερος γένωμαι τῶν τὰ αὐτά μοι προελομένων, τοσούτῳ τιμιώτερος ὑμῖν ἔσομαί ποτ᾽ ἐν χρόνῳ, καὶ περιέσται μοι ζῶντι μὲν ἔπαινος, τελευτήσαντι δ᾽ ἡ παρὰ τῶν ἐπιγινομένων μνήμη. εἴη μὲν οὖν, ὦ Καπετώλιε Ζεῦ καὶ θεοὶ πόλεως ἐπίσκοποι
195 τῆς ἡμετέρας ἥρωές τε καὶ δαίμονες, ὅσοι γῆν τὴν Ῥωμαίων ἐφορᾶτε, καλὴ καὶ συμφέρουσα πᾶσιν ἡ τῶν φυγάδων κάθοδος, καὶ ψευσθείην ἐγὼ τῶν ἐλπίδων, ἃς ὑπὲρ τοῦ μέλλοντος ἔχω χρόνου. ἐὰν δέ τι δεινὸν 3
ἐκ τούτων καταλάβῃ τῶν βουλευμάτων τὴν πόλιν· ἔσται δὲ τοῦτο φανερὸν οὐκ εἰς μακράν· τούτοις μὲν ταχεῖαν ἐπανόρθωσιν αὐτοὶ δοίητε καὶ σωτηρίαν τοῖς πράγμασιν ἀσφαλῆ, ἐμοὶ δ᾽, ὃς οὔτ᾽ ἐν ἄλλῳ καιρῷ πώποτε τὰ ἥδιστα εἱλόμην λέγειν ἀντὶ τῶν ὠφελιμωτάτων οὔτε νῦν προδίδωμι τὸ κοινὸν ἰδίαν καταπραττόμενος ἀσφάλειαν, εὐμενεῖς εἴητε καὶ μειλίχιοι. θεοῖς μὲν δὴ ταῦτα 4
εὔχομαι, λόγων γὰρ οὐδὲν ἔτι δεῖ· γνώμην δ᾽, ἣν καὶ πρότερον ἀποφαίνομαι, τοὺς μὲν ἐν τῇ πόλει διαμένοντας τῶν δημοτικῶν ἀφίεσθαι χρεῶν, τοῖς δ᾽ ἀποστάταις πολεμεῖν ἁπάσῃ προθυμίᾳ, τέως ἂν ἔτι διαμένωσιν ἐν τοῖς ὅπλοις.

4 οὐδὲ καταλήψομαι τὴν γνώμην τῆς πολιτείας O praeter B 6 ὑμῖν B ὑμῶν R 7 σὺν χρόνῳ c. Kiessling τῷ χρόνῳ c. Grasberger Tess. Herbip. p. 30 8 ἐπιγενομένων AB ἐπιγινομένων vulgo ἐπιγιγνομένων c. Garrer Obs. p. 43 22 προτέρων Ba 23 ἀφίσθαι Ba ἀφεῖσθαι ABb corr. Sylburg 24 *ἕως O

LXVIIII. *Ταῦτ' εἰπὼν ἐπαύσατο. ἐπεὶ δ' αἱ τῶν
πρεσβυτέρων γνῶμαι τῇ Μενηνίου προσέθεντο, καὶ
καθῆκεν ὁ λόγος ἐπὶ τοὺς νεωτέρους, ὀρθῆς οὔσης* 1196
*ἁπάσης τῆς βουλῆς ἀνίσταται Σπόριος Ναύτιος, οἰκίας
ἐν τοῖς πάνυ λαμπροτάτης διάδοχος· ὁ γὰρ ἡγεμὼν
αὐτῶν τοῦ γένους Ναύτιος ἀπὸ τῶν σὺν Αἰνείᾳ στει-
λάντων τὴν ἀποικίαν, ὃς ἦν Ἀθηνᾶς ἱερεὺς Πολιάδος
καὶ τὸ ξόανον ἀπηνέγκατο τῆς θεᾶς μετανιστάμενος,
ὃ διεφύλαττον ἄλλοι παρ' ἄλλων μεταλαμβάνοντες οἱ
τοῦ γένους ὄντες τοῦ Ναυτίων· ὃς ἐδόκει καὶ διὰ τὴν
οἰκείαν ἀρετὴν λαμπρότατος εἶναι τῶν νέων, καὶ οὐκ*
2 *εἰς μακρὰν τῆς ὑπατικῆς ἐξουσίας τεύξεσθαι. ἀρξάμε-
νος δ' ἀπολογεῖσθαι κοινὴν ἀπολογίαν ὑπὲρ ἁπάντων
τῶν νέων, ὡς οὔτε φιλονεικίᾳ τῇ πρὸς τοὺς πατέρας
οὔτε αὐθαδείᾳ χρησαμένων, ὅτε τὴν ἐναντίαν ἔσχον
ἐν τῇ προτέρᾳ βουλῇ προαίρεσιν, ἀλλ' εἴπερ ἄρα ἡμάρ-
τανον διὰ τὴν ἡλικίαν γνώμῃ σφαλέντων, τελευτῶν
ἔφη τὸ πιστὸν τούτου παρέξεσθαι τὴν μεταβολήν.
συγχωρεῖν γοῦν αὐτοῖς ὡς ἄμεινον φρονοῦσιν ἐπιψη-
φίζεσθαι πᾶν, ὅ τι ἂν ἡγῶνται τῷ κοινῷ συμφέρειν,
ὡς οὐδὲν σφῶν γε πρὸς ταῦτ' ἐναντιωσομένων, ἀλλὰ* 1197
3 *πεισομένων τοῖς πρεσβυτέροις. ὅμοια δὲ τούτῳ καὶ
τῶν ἄλλων νέων ἀποφηναμένων ἐκτὸς ὀλίγων τινῶν
πάνυ τῶν Ἀππίου συγγενῶν ἐπαινέσαντες τὴν εὐκοσ-
μίαν αὐτῶν οἱ ὕπατοι καὶ παρακαλέσαντες εἰς πάντα*

3 *καθῆκε*. Ba 5 *ἐν ταῖς πάνυ λαμπροτάταις* O corr. Sintenis Em. Dion. II 33 6 *αὐτῶν*] *αὐτῷ* c. Sintenis l. l. 7 *ἀποικείανος* Ba *ἀποικίαν*· ὃς ABb ὃς del. Reiske *εἰς* c. Kiessling 8 *ἐπενέγκατο* B 10 *Ναυτίου* ὃς Bb *Ναυτιο//////* ος Ba 13 *πάντων* B 19 *ψηφίζεσθαι* c. dubitanter Kiessling 21 *οὐδὲ* AB

*τὰ κοινὰ τοιούτους ἑαυτοὺς παρέχειν πρεσβευτὰς εἵλοντο*
*δέκα τοὺς ἐπιφανεστάτους τῶν πρεσβυτέρων, ἐκτὸς ἑνὸς*
*ἅπαντας ὑπατικούς. οἱ δ' ἀποδειχθέντες ἦσαν οἵδε·*
*Ἀγρίππας Μενήνιος Γαΐου υἱὸς Λαινάτης, Μάνιος*
*Οὐαλέριος Οὐολούσσου υἱὸς ..... Πόπλιος Σερουίλιος*
198 *Ποπλίου υἱὸς...... Πόπλιος Ποστούμιος Κοίντου υἱὸς*
*Τούβερτος, Τῖτος Αἰβούτιος Τίτου υἱὸς Φλαούιος,*
*Σέρβιος Σολπίκιος Ποπλίου υἱὸς Καμερῖνος, Αὖλος*
*Ποστούμιος Ποπλίου υἱὸς Βάλβος, Αὖλος Οὐεργίνιος*
*Αὔλου υἱὸς Καιλιμοντανός. μετὰ ταῦτα τῆς βουλῆς* 4
*διαλυθείσης οἱ μὲν ὕπατοι προελθόντες εἰς ἐκκλησίαν*
*τὸ δόγμα τῆς βουλῆς ἀνέγνωσαν καὶ τοὺς πρεσβευτὰς*
*παρήγαγον· ἁπάντων δ' ἀξιούντων τὰς ἐντολάς, ἃς*
*ἔδωκαν αὐτοῖς, μαθεῖν, εἶπον ἐν τῷ φανερῷ, πράττειν,*
*ὅτῳ ἂν τρόπῳ δύνωνται, φιλίαν τῷ δήμῳ συνθέσθαι*
*πρὸς τοὺς πατρικίους ἄτερ δόλου καὶ ἀπάτης καὶ κατα-*
*γαγεῖν τοὺς φεύγοντας ἐπὶ τὰ σφέτερα ἐν τάχει.*

LXX. *Ταύτας οἱ πρέσβεις ⟨παρ'⟩ αὐτῶν λαβόντες*
*τὰς ἐντολὰς αὐθημερὸν ἐξῄεσαν. φθάσασα δὲ τὴν*
199 *παρουσίαν αὐτῶν ἡ φήμη διήγγειλε τοῖς ἐπὶ στρατο-*

4 *Γαυίου* B | *υἱὸς ὁ Λαινάτης* B | verba *Λαινάτης* usque ad *υἱὸς* v. 6 om. O praeter B cf. Niebuhr Hist. Rom II p. 132 not. 247   5 *Οὐελούσσου* B lacunam, in qua intercidit cognomen Valerii *Ποπλικόλας* et nomen legati tertii, fortasse Lartii, significavit Kiessling; cf. Sylburgium et Portum   6 *Ποπλίου υἱὸς Ποστούμιος* A *Σερουίλιος Πόπλιος Ποστούμιος* B lacunam, in qua cognomen Servilii *Πρίσκος* et nomen legati quinti interciderunt, Kiesslingius significavit Gelenio et Porto ducibus   7 *Φλαύουιος* B   8 *Καμερήνος* B   10 *καὶ νωμεντανὸς* A *κενομεντανὸς* Ba *καὶ νομεντανὸς* Bb *καιλιμοντανὸς* Portus   13 *προήγαγον* O *παρήγαγον* Sintenis Em. Dion. III 22 | *δι///αξιούντων* Ba   15 *δύνανται* B | *συνθέσθαι* del. Cobet Obs. p. 127   17 *σὺν τάχει* c. Garrer Obs. p. 74   18 *παρ' αὐτῶν* Reiske *αὐτῷ* O

πέδου πάντα τὰ ἐν τῇ πόλει γενόμενα, καὶ αὐτίκα πάντες ἐκλιπόντες τὸ ἔρυμα ὑπήντων ἔτι καθ' ὁδὸν οὖσι τοῖς πρεσβευταῖς. ἦν δέ τις ἐν τῷ στρατοπέδῳ πάνυ ταραχώδης καὶ στασιαστὴς ἀνήρ, ὀξὺς τῇ γνώμῃ προιδεῖν τι τῶν ἐσομένων ἐκ πολλοῦ, καὶ εἰπεῖν ὅ τι νοήσειεν ὡς λάλος καὶ κωτίλος οὐκ ἀδύνατος, ὃς ἐκαλεῖτο μὲν Λεύκιος Ἰούνιος, ὁμώνυμος τῷ καταλύσαντι τοὺς βασιλεῖς, ἐκπληρῶσαι δὲ τὴν ὁμωνυμίαν βουλόμενος ἠξίου καὶ Βροῦτος ἐπικαλεῖσθαι. τοῖς δ' ἄρα πολλοῖς γέλως ἐπὶ τῇ κενοσπουδίᾳ τοῦ ἀνθρώπου εἰσήρχετο, καὶ ὅτε βουληθεῖεν ἐπισκώπτειν αὐτὸν Βροῦτον ἐπεκάλουν.
2 οὗτος ὁ ἀνὴρ τὸν ἡγεμόνα τοῦ στρατοπέδου Σικίννιον διδάξας, ὡς οὐκ ἄμεινον εἴη τῷ δήμῳ ῥᾳδίως ἑαυτὸν ἐπιτρέπειν τοῖς προτεινομένοις, ἵνα μὴ ἀπ' ἐλάττονος ἀξιώσεως ἀτιμοτέραν εὕρηται τὴν κάθοδον, ἀλλ' ἐναντιοῦσθαι μέχρι πολλοῦ καὶ τραγῳδίαν τινὰ ἐπιθεῖναι τοῖς πράγμασι προσποιητόν, ὑποσχόμενός τ' αὐτὸς ἀναλήψεσθαι τὸν ὑπὲρ τοῦ δήμου λόγον 1200 τά τ' ἄλλα ὑποθέμενος, ἃ χρὴ πράττειν ἢ λέγειν, ἔπεισε τὸν Σικίννιον. καὶ μετὰ τοῦτο ὁ μὲν Σικίννιος συγκαλέσας εἰς ἐκκλησίαν τὸν δῆμον ἐκέλευσε τοὺς πρεσβευτὰς ὑπὲρ ὧν ἥκουσι λέγειν.

LXXI. Παρελθὼν δὲ Μάνιος Οὐαλέριος, ὅσπερ ἦν αὐτῶν πρεσβύτατός τε καὶ δημοτικώτατος, ἐπιμαρτυρήσαντος αὐτῷ τὴν προθυμίαν τοῦ πλήθους εὐμενεστάταις φωναῖς καὶ προσηγορίαις, ἐπειδὴ σιωπῆς ἔτυχε

2 ἐκλείποντες Ba 3 πρεσβ⟨ευ⟩ταῖς Bb 1 litt. in ras. 5 τι A τε B | προειπεῖν O εἰπεῖν Reiske 8 ὁμωνύμως Reiske 17 προςποιητόν B προςποιητὴν R 19 τε ABb τ' Ba

τοιούτοις ἐχρήσατο λόγοις· Οὐδὲν ὑμᾶς ἔτι ⟨τὸ⟩ κω-
λῦόν ἐστιν, ὦ δημόται, κατιέναι πάλιν ἐπὶ τὰ ὑμέτερα
καὶ διηλλάχθαι πρὸς τοὺς πατέρας. ἐψήφισται γὰρ ἡ 2
βουλὴ καλὴν καὶ συμφέρουσαν ὑμῖν κάθοδον, καὶ γνώ-
μην πεποίηται μηδενὸς τῶν γεγονότων μνησικακεῖν·
ἡμᾶς τε οὓς ἐγίγνωσκε φιλοδημοτάτους ὄντας καὶ πρὸς
ὑμῶν τὰ δίκαια τιμωμένους πρεσβευτὰς ἀπέσταλκεν
αὐτοκράτορας ἀποδείξασα τῶν διαλύσεων, ἵνα μὴ δόξαις
μηδ' εἰκασμοῖς χρώμενοι περὶ τῆς ὑμετέρας γνώμης,
ἀλλὰ παρ' αὐτῶν ὑμῶν ἀκούσαντες, ἐφ' οἷς ἀξιοῦτε
201 καταλύσασθαι τὴν διχοστασίαν, ἂν ᾖ μέτριόν τι τῶν
αἰτημάτων καὶ μήτε τῷ ἀδυνάτῳ μήτε ὑπ' ἄλλης αἰ-
σχύνης ἀνηκέστου κωλύηται, συγχωρῶμεν ὑμῖν μηκέτι
τὴν τοῦ συνεδρίου γνώμην ἐκδεχόμενοι, μηδ' εἰς χρό-
νους μακροὺς καὶ φθόνους ἀντιπάλων ἀναβάλλοντες
τὰ πράγματα. ταῦτα δὴ τῆς βουλῆς ἐψηφισμένης δέ- 3
χεσθε ἄσμενοι τὰς χάριτας αὐτῶν, ὦ δημόται, μετὰ
πάσης προθυμίας καὶ σπουδῆς, ἐν μεγάλῳ τιθέμενοι
τὴν τοσαύτην εὐτυχίαν καὶ πολλὴν τοῖς θεοῖς χάριν
εἰδότες αὐτῆς, εἰ πόλις ἡ Ῥωμαίων ἡ τοσούτων ἄρ-
χουσα ἀνθρώπων, καὶ συνέδριον, ὃ τὴν ἡγεμονίαν ἔχει
πάντων τῶν ἐν ταύτῃ καλῶν, οὐκ ὂν αὐτοῖς πάτριον
οὐδενὶ τῶν ἀντιπάλων εἴκειν, ὑμῖν μόνοις ὑποκατα-
202 κλίνονται τῆς ἀξιώσεως ἑκόντες, καὶ οὔτε ἀκριβολο-
γεῖσθαι περὶ τῶν καθηκόντων ἑκατέροις ἠξίωσαν ὡς
ὑποδεεστέροις κρείττονες, ἀλλ' αὐτοὶ πρότεροι περὶ

1 κωλύον O τὸ κωλῦον Sintenis Em. Dion. I 30 2 κατεῖναι O corr. Sylburg 9 μηδε//κασμοῖς Ba μηδὲ εἰκασμοῖς R 15 ἀναβάλλοντες B ἀναλαβόντες A 16 δὲ τῆς βουλῆς ἐπεψηφισμένης O δὴ τ. β. ἐψηφισμένης Sintenis l. l. 20 εἰ ABa ἡ Bb 23 ἥκειν Ba 26 κρείττονες διαλεγόμενοι c. Reiske

διαλύσεως ἐπρεσβεύσαντο, οὔτε τὰς αὐθάδεις ὑμῶν ἀποκρίσεις, ἃς ἐποιήσασθε πρὸς τοὺς προτέρους πρέσβεις, πρὸς ὀργὴν ἐδέξαντο, ἀλλ' ὑπέμειναν ὑμῶν τὸ σοβαρὸν τοῦτο καὶ μειρακιῶδες τῆς αὐθαδείας [βάρος], ὥσπερ ἂν παίδων ἀφρόνων χρηστοὶ πατέρες· καὶ πάλιν ἑτέραν πρεσβείαν ἀποστέλλειν ᾤοντο δεῖν καὶ τῶν δικαίων μειονεκτεῖν καὶ πάντα ὑπομένειν, ὦ πολῖται, τὰ
4 μέτρια. ἐπὶ δὴ τοσαύτης βεβηκότες εὐτυχίας μὴ μέλλετε λέγειν, ὦ δημόται, τίνων χρήζετε μηδ' ἐντρυφᾶτε ἡμῖν, καταλυσάμενοι δὲ τὴν στάσιν ἄπιτε χαίροντες εἰς τὴν γειναμένην τε καὶ θρεψαμένην ὑμᾶς πόλιν, ᾗ τροφεῖά τε καὶ χάριτας οὐ χρηστὰς ἀπεδίδοτε, καταλιπόντες αὐτὴν τὸ γοῦν ἐφ' ὑμῖν εἶναι ἔρημον καὶ μηλό- 1203
βοτον. εἰ δὲ παρήσετε τὸν καιρὸν τοῦτον, εὔξεσθε πολλάκις ὅμοιον εὑρεῖν ἕτερον.

LXXII. Παυσαμένου δὲ τοῦ Οὐαλερίου παρελθὼν ὁ Σικίννιος οὐκ ἐξ ἑνὸς ἔφη δεῖν λόγου τὸ συμφέρον ἐξετάζειν τοὺς εὖ βουλευομένους, ἀλλ' ὑποτίθεσθαι τὸν ἐναντίον αὐτοῖς λόγον, ἄλλως τε καὶ περὶ τηλικούτων πραγμάτων σκοποῦντας· ἠξίου τε λέγειν πρὸς ταῦτα τοὺς βουλομένους ἅπασαν αἰδῶ καὶ εὐλάβειαν ἀποθεμένους· οὐ γὰρ ἐπιτρέπειν τὰ πράγματα σφίσιν εἰς τὰς τοιαύτας ἀνάγκας κατακεκλεισμένοις οὔτ' ὄκνῳ οὔτ'
2 αἰσχύνῃ εἴκειν. σιωπῆς δὲ γενομένης ἐπειδὴ πάντες εἰς ἀλλήλους ἀπέβλεπον ἐπιζητοῦντες τὸν ὑπὲρ τοῦ κοινοῦ

1 διαλύσεων c. Kiessling 4 μειρακειῶδες B | βάρος Kiesslingio auctore seclusi 8 ἐπεὶ Ba ἐπὶ ABb 12 τε om. B 13 τὸ γοῦν ἐφ' ὑμῖν ἔρημον εἶναι O vocem ἔρημον transposuit Cobet Obs. p. 128 18 βουλευσομένους c. Kiessling 22 ἐπιτρέπει O corr. Sylburg 23 κατακεκλεισμένοις A κατακεκλιμένοις B

λέξοντα, ἐφαίνετο δ' οὐδείς· ὁ γὰρ Σικίννιος τοῖς αὐτοῖς πολλάκις ἐχρῆτο λόγοις· παρέρχεται κατὰ τὰς ὑποσχέσεις Λεύκιος Ἰούνιος ἐκεῖνος ὁ βουλόμενος ἐπικαλεῖσθαι Βροῦτος καὶ τυχὼν ἐπισημασίας παρὰ τοῦ πλήθους ἀθρόας τοιαύτην διέθετο δημηγορίαν· 3 Τὸ 204 δέος ὑμᾶς, ὦ δημόται, τὸ τῶν πατρικίων ἐντετηκὸς ἔτι ταῖς ψυχαῖς ἐκπλήσσειν ἔοικε, καὶ διὰ τοῦτο τεταπεινωμένοι φέρειν τοὺς λόγους εἰς μέσον, οἷς εἰώθατε χρῆσθαι πρὸς ἀλλήλους, ὀκνεῖτε. οἴεται δ' ἴσως ἕκαστος ὑμῶν τὸν πλησίον ὑπὲρ τοῦ κοινοῦ λέξειν, καὶ πάντας μᾶλλον, εἴ τι κινδύνευμά ἐστιν, ὑπομενεῖν, αὐτὸς δ' ἐν τῷ ἀσφαλεῖ βεβηκώς, ὅ τι ἂν ἐκ τοῦ τολμηροῦ χρηστὸν περιγένηται, τούτου τὸ μέρος ἕξειν ἀδεῶς· κακῶς εἰδώς. εἰ γὰρ ἅπαντες τοῦτο ὑπολάβοιμεν, ἡ καθ' ἕνα ὑμῶν ἕκαστον ἀτολμία κοινὴ πᾶσιν ἔσται βλάβη, καὶ ἐν ᾧ τὸ ἴδιόν τις ἀσφαλὲς ἀποσκοπεῖ τὸ μετὰ πάντων κοινὸν ἀπολεῖ. ἀλλ' εἰ καὶ μὴ 4 πρότερον ἔγνωτε, ὅτι λέλυται τὸ δέος ὑμῶν καὶ τὸ ἐλεύθερον ἅμα τοῖς ὅπλοις βεβαίως ἔχετε, νῦν γ' ἤδη μάθετε διδασκάλοις χρησάμενοι τούτοις. οἱ γὰρ ὑπερήφανοι καὶ βαρεῖς οὐκ ἐπιτάττοντες ὑμῖν ὡς πρότερον ἥκουσιν οὐδ' ἀπειλοῦντες, ἀλλὰ δεόμενοι καὶ παρακα-205λοῦντες, ἐπὶ τὰ ὑμέτερα ὑμᾶς κατιέναι, καὶ ὡς ἐλευ-

1 οὐδὲ εἷς B  2 προςέρχεται O  προέρχεται Portus  παρέρχεται Kayser Ann. phil. 1866 p. 46  9 οἴεται δ' om. B  11 πάντας μᾶλλον O  καὶ αὐτὸς μετὰ πάντων μᾶλλον Sylburg  πᾶν ἄσμενον c. dubitanter Kiessling  πάντας ἑαυτῶν μᾶλλον Kayser l. l. p. 44 | ὑπομένειν O  ὑπομενεῖν c. Kiessling  13 τούτου τὸ] τοῦτο B  16 ἀσφαλῶς Ba  ἀσφαλὲς ABb  17 κοινὸν del. Reiske  19 νῦν γε δὴ c. Cobet Obs. p. 128  20 οὐ γὰρ B  οἱ γὰρ R  23 ἡμέτερα ABa  ὑμέτερα Bb | κατιέναι] κατεῖναι B

5 θέροις ἐξ ἴσου ἤδη ἄρχονται ὁμιλεῖν. τί οὖν ἔτι καταπέπληχθε αὐτοὺς καὶ σιωπᾶτε, ἀλλ' οὐκ ἐλεύθερα φρονεῖτε καὶ διαρρήξαντες ἤδη ποτὲ τοὺς χαλινοὺς λέγετε εἰς τὸ κοινόν, ἃ πεπόνθατε πρὸς αὐτῶν; ὦ σχέτλιοι, τί δεδοίκατε; μή τι πάθητε ἡγεμόνι τῆς ἐλευθεροστομίας ἐμοὶ χρώμενοι; κινδυνεύσω γὰρ ὑπὲρ ὑμῶν εἰπεῖν τὰ δίκαια μετὰ παρρησίας ἐγὼ πρὸς αὐτοὺς καὶ οὐδὲν ἀποκρύψομαι. καὶ ἐπειδὴ Οὐαλέριος οὐδὲν ἔφησεν εἶναι τὸ κωλῦον ἀναστρέφειν ὑμᾶς ἐπὶ τὰ οἰκεῖα τῆς βουλῆς διδούσης τὴν κάθοδον καὶ προσεψηφισμένης τὸ μὴ μνησικακεῖν, ταῦτ' ἀποκρινοῦμαι πρὸς αὐτόν, ἅπερ ἐστὶν ἀληθῆ καὶ ἀναγκαῖα εἰρῆσθαι.

LXXIII. Ἡμᾶς, ὦ Οὐαλέριε, πολλὰ μὲν καὶ ἄλλα τὰ κωλύοντά ἐστιν ἀποθεμένους τὰ ὅπλα ἐφ' ὑμῖν γε- 1206
νέσθαι, τρία δὲ τὰ μέγιστα καὶ τὰ φανερώτατα. πρῶτον μέν, ὅτι ἐγκαλοῦντες ἡμῖν ὡς ἡμαρτηκόσιν ἥκετε καὶ ἐν εὐεργεσίας οἴεσθε μέρει διδόναι τὴν κάθοδον· ἔπειθ', ὅτι οὐδὲν ὑποδηλοῦτε παρακαλοῦντες ἐπὶ τὰς διαλλαγάς, ἐφ' οἷς αὐτὰς δικαίοις καὶ φιλανθρώποις ποιησόμεθα· τὸ δὲ τελευταῖον, ὅτι βέβαιον ἡμῖν, ὧν ἂν ὑπόσχησθε, οὐδέν ἐστιν, ἀλλὰ πολλάκις ἐξαπατῶν-
2 τές τε καὶ φενακίζοντες ἡμᾶς διατετελέκατε. ἐρῶ δ' ὑπὲρ ἑκάστου χωρὶς ἀπὸ τοῦ δικαίου ἀρξάμενος· καὶ γὰρ ἰδίᾳ ⟨τε⟩ καὶ ἐν κοινῷ λέγοντας ἀπὸ τοῦ δικαίου χρὴ ἄρχεσθαι. ἡμεῖς τοίνυν εἰ μέν τι ἀδικοῦμεν ὑμᾶς, οὐδὲν δεόμεθα οὔτ' ἀδείας οὔτ' ἀμνηστίας· καίτοι γε

5 μὴ πάθητε B 11 ἀποκρίνομαι AB ἀποκρινοῦμαι Sylburg 15 τὰ φανερώτατα BC τὰ om. R 19 καὶ C ἢ R | καὶ φιλανθρώποις del. Baumann Obs. gram. p. 41, sed cf. *p. 386, 20* 23 ⟨ἀ⟩πὸ B 24 τε add. Sylburg

οὐκ ἀξιοῦμεν οὐδὲ κοινωνεῖν ἔτι τῆς πόλεως, ἀλλ'
ἐπιμενοῦμεν, ὅποι ποτ' ἂν ἡμᾶς ἄγῃ τὸ χρεών, τῇ
τύχῃ καὶ δαίμοσιν ἐπιτρέψαντες ἡγεμόσιν. εἰ δ' ἀδι-
κούμενοι πρὸς ὑμῶν ταύτης ἠναγκάσμεθα τῆς τύχης
207 πειραθῆναι, ἐν ᾗ ἔσμεν, τί οὐχ ὁμολογεῖτε κακοὶ περὶ
ἡμᾶς αὐτοὶ γενόμενοι συγγνώμης δεῖσθαι καὶ ἀμνη-
στίας; νῦν δ', ἣν αἰτεῖσθε, ταύτην διδόναι λέγετε, καὶ
ἧς ἀφεῖσθαι ζητεῖτε ὀργῆς, ταύτης ὡς ἀφιέντες μεγα-
ληγορεῖτε, συγχέοντες τὴν τῆς ἀληθείας φύσιν καὶ τὴν
τῶν δικαίων ἀξίωσιν ἀναστρέφοντες. ὅτι δ' οὐκ ἀδι- 3
κεῖσθε, ἀλλ' ἀδικεῖτε, καὶ πολλὰ καὶ μεγάλα εὐεργετη-
θέντες ὑπὸ τοῦ δήμου, τὰ μὲν εἰς τὴν ἐλευθερίαν, τὰ
δ' εἰς τὴν ἡγεμονίαν, οὐ καλὰς ἀποδεδώκατε αὐτῷ
τὰς ἀμοιβάς, μάθετε· ποιήσομαι δ' ἀφ' ὧν ἴστε καὶ
αὐτοὶ πραγμάτων τοὺς λόγους, καὶ πρὸς θεῶν, ἐάν τι
ψεῦδος εἴπω, μὴ ἀνάσχησθε, ἀλλ' εὐθὺς ἐλέγχετε.

LXXIIII. Ἡμῖν τὸ ἀρχαῖον πολίτευμα ἦν μοναρχία,
καὶ μέχρι γενεᾶς ἑβδόμης ταύτῃ χρώμενοι διετελέσα-
μεν τῇ πολιτείᾳ, καὶ παρὰ πάσας τὰς ἡγεμονίας ταύτας
οὐδὲν ὁ δῆμος ἠλαττώθη πώποτε ὑπὸ τῶν βασιλέων
208 καὶ πάντων ἥκιστα ὑπὸ τῶν τελευταίων· ἐῶ γὰρ λέγειν,
ὅτι πολλὰ καὶ μεγάλα ἀγαθὰ ἐκ τῆς ἀρχῆς αὐτῶν ἐκαρ-
πώσατο. χωρὶς γὰρ τῆς ἄλλης αὐτῶν θεραπείας, ἢ 2
κολακεύοντας αὐτὸν οἰκεῖον μὲν σφίσιν, ἐχθρὸν δ' ὑμῖν
ἐβούλοντο εἶναι, ὃ ποιοῦσιν ἅπαντες οἱ τυραννικῶς
ἐξάγοντες τὰς δυναστείας, κρατήσαντες πολέμῳ μακρῷ

6 γενόμενοι αὐτοὶ c. Bücheler 7 ἣν δεῖ αἰτεῖσθαι c. Bücheler 11 καὶ πολλὰ om. B 12 τοῦ om. A 17 ἡμ⟨ῖ⟩ν B | μοναρχ⟨ί⟩α B 21 τελευτ⟨αι⟩ων B in ras. 1 litt. 22 μεγάλα καὶ πολλὰ B 23 ἄλλης αὐτῶν Bb αὐτῶν om. R 25 εἶναι] ποιῆσαι c. dubitanter Kiessling

Συέσσης, πόλεως πάνυ εὐδαίμονος, ἐξὸν αὐτοῖς μηδενὶ
κοινωνῆσαι τῶν λαφύρων, ἀλλ' αὐτοὶ κατασχεῖν καὶ
πάντας ὑπερβαλέσθαι πλούτῳ βασιλεῖς, οὐκ ἠξίωσαν,
ἀλλὰ φέροντες εἰς μέσον ἔθηκαν ἅπασαν τὴν ὠφέλειαν·
ὥσθ' ἡμᾶς χωρὶς ἀνδραπόδων καὶ βοσκημάτων καὶ τῆς
ἄλλης κτήσεως πολλῆς οὔσης καὶ καλῆς ἀργυρίου πέντε
3 μνᾶς κατ' ἄνδρα διανείμασθαι. ὧν ἡμεῖς ἀμελήσαντες,
ἐπειδὴ τυραννικώτερον ἐχρῶντο ταῖς ἐξουσίαις οὐκ εἰς
τὸν δῆμον πλημμελοῦντες, ἀλλ' εἰς ὑμᾶς, δυσανασχε-
τοῦντες ἐπὶ τοῖς γινομένοις τῆς μὲν τῶν βασιλέων
εὐνοίας ἀπέστημεν, ὑμῖν δὲ προσεθέμεθα· καὶ συνεκ-
αναστάντες αὐτοῖς μεθ' ὑμῶν οἵ τ' ἐν τῇ πόλει καὶ 1209
οἱ ἐπὶ στρατοπέδου τοὺς μὲν ἐξηλάσαμεν, ὑμῖν δὲ
φέροντες ἀνεθήκαμεν τὴν ἐκείνων ἀρχήν. πολλάκις
τε γενόμενον ἐφ' ἡμῖν μεταθέσθαι πρὸς τοὺς ἐξελα-
σθέντας ⟨τὰς⟩ μεγάλας δωρεάς, ἃς ὑπέτεινον ἡμῖν,
ἵνα δὴ τὸ πρὸς ὑμᾶς πιστὸν ἐγκαταλίπωμεν, οὐχ
ὑπεμείναμεν, ἀλλὰ πολλοὺς καὶ μεγάλους καὶ συνεχεῖς
πολέμους καὶ κινδύνους δι' ὑμᾶς ἀνηντλήσαμεν· καὶ
μέχρι τοῦ παρόντος ἔτος ἑπτακαιδέκατον ἤδη τρι-
βόμεθα πᾶσιν ἀνθρώποις μαχόμενοι περὶ τῆς κοινῆς
4 ἐλευθερίας. ἀκαταστάτου μὲν γὰρ ἔτι τῆς πολιτείας

1 ἐξ ὧν B 2 κοινωνεῖσθαι ABb κοινωνίσθαι Ba κοινωνῆσαι c. Kayser p. 46 κοινωνοῦσθαι Reiske 3 *βασιλέων B βασιλέας R 4 ἅπασαν A πᾶσαν B ἅπασι Kiessling 5 ὥσθ'] ὡς B 6 κτίσεως AB 9 ἐχ..ρῶντο Bb 15 ἐφ' om. B | ἐξελα.θέντας B 16 μεγάλαις δωρεαῖς O μεγάλαις πεισθεῖσι δωρεαῖς c. Reiske τὰς μεγάλας δωρεὰς c. Schaller 17 ἵνα μὴ AB corr. Reiske 18 ὑπομείναμεν B 19 καὶ κινδύνους add. in mge Bb | ὑμᾶς.. (ut videtur αν) ηντλησαμεν Ba ὑμᾶς ἠντλήσαμεν ABb ὑμᾶς ἀνηντλήσαμεν Kiessling ὑ. διηντλήσαμεν Cobet Obs. p. 128 20 μέχρι. B 22 ἀκατάστου A

οὔσης· οἷα γίγνεσθαι φιλεῖ περὶ τὰς μεταβολὰς τὰς
αἰφνιδίως γιγνομένας· δυσὶ ταῖς ἐπιφανεστάταις πό-
λεσι Τυρρηνῶν, Ταρκυνιήταις τε καὶ Οὐιεντανοῖς κατ-
άγειν βουλομένοις τοὺς βασιλεῖς μεγάλῃ στρατιᾷ, παρα-
κινδυνεύσαντες ὀλίγοι πρὸς πολλοὺς διηγωνίσμεθα, καὶ
μεγίστην ἀποδειξάμενοι προθυμίαν τούς τ' ἀντιταχ-
θέντας μάχῃ νικήσαντες ἀπεωσάμεθα, καὶ τῷ περιόντι
τῶν ὑπάτων διεσώσαμεν τὴν ἀρχήν. οὐ πολλοῖς δὲ 5
210 χρόνοις ὕστερον Πορσίναν Τυρρηνῶν βασιλέα κατάγειν
καὶ αὐτὸν ἀξιοῦντα τοὺς φυγάδας τῇ τ' ἐξ ἁπάσης
Τυρρηνίας, ἣν αὐτὸς ἐπήγετο, δυνάμει καὶ ταῖς ὑπ'
ἐκείνων ἐκ πολλοῦ συναχθείσαις, οὐκ ἔχοντες ἀξιό-
μαχον χεῖρα καὶ διὰ τοῦτο κατακλεισθέντες εἰς πολιορ-
κίαν τε καὶ ἀμηχανίαν καὶ παντὸς πράγματος ἀπορίαν,
τῷ πάντα ὑπομεῖναι τὰ δεινὰ φίλον γενόμενον ἠναγκά-
σαμεν ἀπελθεῖν. τὰ δὲ τελευταῖα τρίτον κάθοδον τῶν 6
βασιλέων παρασκευασαμένων διὰ τοῦ Λατίνων ἔθνους
καὶ τριάκοντα πόλεις ἐπαγομένων, ἀντιβολοῦντας ὑμᾶς
ὁρῶντες καὶ ὀλοφυρομένους καὶ ἕνα ἕκαστον ἐπιβοώ-
μενον ἑταιρίας τε καὶ συντροφίας καὶ ὁμαιχμίας ἀνα-
μιμνήσκοντας οὐχ ὑπεμείναμεν ἐγκαταλιπεῖν· ἡγησά-
μενοι δὲ κάλλιστον εἶναι καὶ λαμπρότατον ἀγῶνα τὸν
ὑπὲρ ὑμῶν ὁμόσε τοῖς δεινοῖς ἐχωρήσαμεν, μέγιστον
211 δὴ κινδύνων ἀναρρίψαντες ἐκεῖνον, ἐν ᾧ πολλὰ μὲν
τραύματα λαβόντες, πολλὰ δὲ σώματα συγγενῶν τε

2 ⟨αι⟩φνιδίως Bb in ras. 1 litt. 4 στρατιᾷ A στρατεια Bb στρατειαι Ba 5 διηγωνισάμεθα c. Sylburg 7 νικήσαντ⟨ες⟩ B 11 τυραννίας B 15 γενόμενον add. B 18 καὶ τὰς τριάκοντα Kiessling 19 καὶ ὀλοφυρομένους ὁρῶντες A | ἐπιβοωμένους c. Sylburg et Portus 24 κινδύνων B κίνδυνον R | ἐκεῖνον' ἀναρρίψαντες B

καὶ ἑταίρων καὶ ὁμοσκήνων ἀποβαλόντες, ἐνικήσαμεν τοὺς πολεμίους καὶ τοὺς ἡγεμόνας αὐτῶν ἀπεκτείναμεν καὶ τὴν βασιλικὴν συγγένειαν ἅπασαν διεφθείραμεν.

LXXV. Ἃ μὲν δὴ εἰς τὸ συνελευθερῶσαι ὑμᾶς ἀπὸ τῶν τυράννων παρεσχόμεθα ὑπὲρ δύναμιν ⟨διὰ⟩ τὸ ἑαυτῶν πρόθυμον, οὐχ ὑπὸ τοῦ ἀναγκαίου μᾶλλον εἰς αὐτὸ καταστάντες ἢ ὑπ' ἀρετῆς, ταῦτ' ἐστιν. ἃ δ' εἰς τὸ τιμᾶσθαί τε καὶ ἄρχειν ἑτέρων δυναστείαν τε περιβαλέσθαι μείζω ἢ κατὰ τὴν ἐξ ἀρχῆς δόκησιν ἀκούσατε, καὶ ὅπως, ἐάν τι παρατρέψω τὸν λόγον ἔξω τοῦ ἀληθοῦς, ὥσπερ καὶ ἀρχόμενος εἶπον, ἐναντιώσεσθέ
2 μοι. ὑμῖν γὰρ ἐπειδὴ τὸ ἀσφαλὲς τῆς ἐλευθερίας ἔδοξεν
εἶναι βέβαιον, οὐκ ἀπέχρησεν ἐπὶ τούτου μένειν, ἀλλ' 1212
ἐπὶ τὸ τολμᾶν καὶ νεωτεροποιεῖν ὁρμήσαντες, ἐχθρὸν δ' ἴσως ἅπαν ἡγούμενοι τὸ περιεχόμενον ἐλευθερίας, καὶ μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους πόλεμον ἀναδείξαντες, εἰς ἅπαντα τὰ κινδυνεύματα καὶ τοὺς ὑπὲρ τῆς πλεονεξίας ταύτης ἀγῶνας τοῖς ἡμετέροις
3 ᾤεσθε δεῖν καταχρῆσθαι σώμασιν. ὅσας μὲν οὖν πόλεις κατὰ μίαν καὶ δύο πολεμούσας ὑμῖν ὑπὲρ τῆς ἐλευθερίας, τὰς μὲν ἐκ παρατάξεως χειρωσάμενοι, τὰς δὲ τειχομαχίαις ἑλόντες ὑπηκόους ἐποιήσαμεν, ἐῶ. τί γὰρ δεῖ κατὰ μικρὸν λέγειν τὰς πράξεις τοσαύτην ἔχοντας λόγων ἀφθονίαν; ἀλλὰ Τυρρηνίαν ἅπασαν εἰς δώδεκα νενεμημένην ἡγεμονίας καὶ πολλῇ μὲν τῇ κατὰ γῆν, πολλῇ δὲ τῇ κατὰ θάλατταν δυναστείᾳ περιου-

5 διὰ add. Bücheler | πρόθυμον ἀναδειξάμενοι c. Sylburg 7 ἀπ' B 11 ἐναντιώσεσθαι Ba ἐναντιώσασθε Bb 13 βέβαιον εἶναι ἔδοξεν B 15 δεήσεως A καὶ ὡς Ba δὲ ἴσως Bb δι' ἴσης c. Reiske 17 εἰς ταῦτα A εἰς πάντα B 19 ᾤεσθαι Ba οἴεσθε Bb | οὖν om. AB

*σιάζουσαν, τίνες ἦσαν οἱ συγκατακτησάμενοι καὶ ποιή-
σαντες αὐτὴν ὑμῖν ὑπήκοον; Σαβίνους δὲ τουτουσὶ
213 ἔθνος τηλικοῦτον, οἷς διὰ παντὸς ὁ περὶ τῶν πρωτείων
πρὸς ὑμᾶς ἦν ἀγών, ποία παρέσχεν ὑμῖν βοήθεια μηκέτι
διαμιλλᾶσθαι περὶ τῶν ἴσων; τί δέ; τὰς ⟨τῶν⟩ Λατίνων
τριάκοντα πόλεις, οὐ μόνον δυνάμεως μεγέθει ἐπαιρο-
μένας, ἀλλὰ καὶ ἐπὶ τῷ δικαιότερα ἀξιοῦν μεγάλα φρο-
νούσας, τίνες ἦσαν οἱ καταδουλωσάμενοι καὶ παρα-
σχόντες ὑπὲρ ἀνδραποδισμοῦ καὶ κατασκαφῆς τῶν πό-
λεων δεομένας καταφυγεῖν ἐφ' ὑμᾶς;*

LXXVI. *Ἐῶ τἆλλα, ὅσα οὔπω διαστασιάζοντες πρὸς
ὑμᾶς καὶ αὐτοί μέν γε μεταποιούμενοι τῶν ἐκ τῆς
ἀρχῆς ἐλπίδων συνεκινδυνεύσαμεν ὑμῖν. ἀλλ' ἐπειδὴ
φανερῶς ἤδη τυραννίδα περιβεβλημένοι τὴν ἀρχὴν καὶ
ἡμῖν ὥσπερ δούλοις παραχρώμενοι ἐξηλέγχθητε, ἡμεῖς
τ' οὐκέτι ὅμοιοι ταῖς πρὸς ὑμᾶς διανοίαις διαμένοντες,
214 ἐν δὲ τούτῳ καὶ τὰ ὑπήκοα ὀλίγου δεῖν πάντα ἐπαν-
ίστατο, ἀρξάντων μὲν τῆς ἀποστάσεως Οὐολούσκων,
ἀκολουθησάντων δ' αὐτοῖς Αἰκανῶν Ἑρνίκων Σαβίνων
ἄλλων συχνῶν, ἐδόκει τε οἷος οὐχ ἕτερος εἶναι καιρός,
εἰ βουλομένοις ἡμῖν ἦν, δυεῖν ἐξεργάσασθαι θάτερον,
ἢ καταλύσασθαι τὴν ἀρχὴν ὑμῶν ἢ πρὸς τὸ λοιπὸν
ἀποδεῖξαι μετριωτέραν, ἆρα μέμνησθε, εἰς οἵαν ἀπό-
γνωσιν τῆς ἀρχῆς ἤλθετε καὶ ὡς ἐν παντὶ δὴ ἀθυμίας*

4 *ἡμᾶς* Ba | *μηκ⟨ετι⟩* B 5 *αἱ τῶν Λατίνων* A *τῶν Λ.* B *τὰς τῶν Λατίνων* c. Portus *τῶν* del. Sintenis Em. Dion. II 34 6 *ἐπαιρόμεναι* ABa 7 *μεγαλοφρονοῦσαι* A *μεγάλα φρονούσας* Bb (*φρονοῦσαι* Ba) *μέγα φρονούσας* Sintenis Em. Dion. II 34 cf. Observat. meas p. 320 10 *δεομένους* c. Sylburg 12 **αὐτοὶ μέντοι* O *αὐτοί γε τοι* c. Reiske *αὐτοί μέν γε* ego 14 *ὡς τυραννίδα* c. Stephanus 15 *ἐξηλ⟨εγχ⟩θητε* Bb in ras. 2 litt.

ἐγένεσθε, εἴτε μὴ συναρούμεθα τῶν ἀγώνων ὑμῖν, εἴτε
ὀργῇ ἐφέντες ὡς τοὺς πολεμίους τρεψόμεθα, καὶ ὅσας
2 δεήσεις καὶ ὑποσχέσεις ἐποιήσασθε; τί οὖν οἱ ταπεινοὶ
καὶ πρὸς ὑμῶν ὑβρισμένοι τότε ἐποιήσαμεν; ἡττηθέν-
τες τῶν δεήσεων καὶ πεισθέντες ταῖς ὑποσχέσεσιν, αἷς 1215
ὁ βέλτιστος οὑτοσὶ Σερουίλιος ὑπατεύων τότε πρὸς τὸν
δῆμον ἐποιήσατο, οὐθὲν μὲν ἐμνησικακήσαμεν ὑμῖν
τῶν πάλαι, χρηστὰ δὲ περὶ τοῦ μέλλοντος ἐλπίσαντες
χρόνου, παρέσχομεν ὑμῖν ἑαυτούς, καὶ πάντα τὰ πο-
λέμια ἐν ὀλίγῳ κατεργασάμενοι χρόνῳ παρῆμεν ἄγον-
3 τες αἰχμαλώτους πολλοὺς καὶ λείας καλάς. ἀνθ' ὧν
τίνας ἡμῖν χάριτας ἀπεδώκατε; ἆρά γε δικαίας καὶ τῶν
κινδύνων ἀξίας; πόθεν; πολλοῦ γε καὶ δεῖ. ἐψεύσασθε
μέν γε καὶ τὰς ὑποσχέσεις, ἃς ἐκελεύσατε τὸν ὕπατον
ὑπὲρ τοῦ κοινοῦ ποιήσασθαι, αὐτὸν δὲ τὸν ἄνδρα του-
τονὶ τὸν βέλτιστον, ᾧ κατεχρήσασθε πρὸς τὸν φενα-
κισμόν, ἄμοιρον ἐποιήσατε τοῦ θριάμβου πάντων μά-
λιστ' ἀνθρώπων ἄξιον ὄντα τῆς τιμῆς ταύτης τυχεῖν,
οὐκ ⟨ἐξ⟩ ἄλλου τινὸς προσθέντες αὐτῷ τὴν ὕβριν,
ἀλλ' ὅτι τὰ δίκαια ποιεῖν ὑμᾶς ὡς ὑπέσχεσθε ἠξίου
καὶ ἀγανακτῶν ἐπὶ τῷ φενακισμῷ δῆλος ἦν.

LXXVII. Ἔναγχος δὲ δὴ τοῦ χρόνου· τουτὶ γὰρ 1216
ἔτι προσθεὶς τῷ περὶ τοῦ δικαίου λόγῳ παύσομαι·
ὅθ' ὑμῖν Αἰκανοί τε καὶ Σαβῖνοι καὶ Οὐολοῦσκοι μιᾷ

13 γε καὶ δεῖ καὶ διέψευσθε A γε καὶ διεψεύσασθαι Ba γε καὶ δεῖ διεψεύσασθε Bb καὶ δεῖ super script. γε καὶ δεῖ. ἐψεύσασθε c. Kiessling Pr. Bas. p. 5 15 τὸν ἄνδρα add. B 17 τῶν θριάμβων O τοῦ θριάμβου Grasberger Philol. XXVIII p. 549 19 *οὐκ ἄλλου τινὸς προσθέντες O οὐκ ἀντὶ vel χάριν ἀ. τ. π. Reiske προσθέντος c. Hertlein Hermes X 416 οὐκ ἄλλου τινὸς ἕνεκα Schenkl Litterarum ann. breviar. p. 52 ἐξ addidi

γνώμῃ χρησάμενοι αὐτοί τ' ἐπανίσταντο καὶ τοὺς ἄλλους παρεκάλουν, οὐκ ἐφ' ἡμᾶς ἠναγκάσθητε καταφυγεῖν τοὺς ταπεινοὺς καὶ φαύλους οἱ σεμνοὶ καὶ βαρεῖς, πάντα ὑπισχνούμενοι ⟨ὑπὲρ⟩ τῆς τότε σωτηρίας; καὶ ἵνα μὴ ἐξαπατᾶν ἡμᾶς αὖθις δοκῆτε, ὃ πολλάκις ἐποιήσατε, προκάλυμμα τῆς ἀπάτης Μάνιον Οὐαλέριον τουτονὶ τὸν φιλοδημότατον ἄνδρα εὕρεσθε· ᾧ πιστεύσαντες ἡμεῖς ὡς οὐκ ἂν ὑπὸ δικτάτορός τε καὶ ταῦτα χρηστοῦ περὶ ἡμᾶς ἀνδρὸς φενακισθησόμενοι συνηράμεθα ὑμῖν καὶ τοῦδε τοῦ πολέμου καὶ τοὺς ἐχθροὺς ἐνικῶμεν οὐ μικροὺς οὐδ' ὀλίγους οὐδ' ἀφανεῖς ἀγῶνας ὑπομείναντες. θᾶττον δ' ἢ κατὰ τὴν ἁπάντων ἐλπίδα τέλος εἰλη- 2
117 φότος τὸ κάλλιστον τοῦ πολέμου τοσοῦτον ἀπέσχετε τοῦ χαίρειν καὶ πολλὴν εἰδέναι τῷ δήμῳ χάριν, ὥστε κατέχειν ἡμᾶς ἔτι ἠξιοῦτε ἄκοντας ὑπὸ ταῖς σημαίαις ἐν τοῖς ὅπλοις, ἵνα παρέλθητε τὰς ὑποσχέσεις ὥσπερ ἐξ ἀρχῆς διέγνωτε. οὐχ ὑπομένοντος δὲ τοῦ ἀνδρὸς τὸν φενακισμὸν οὐδὲ τὴν αἰσχύνην τοῦ ἔργου, ἀλλ' εἰσενέγκαντος εἰς τὴν πόλιν τὰ σημεῖα καὶ διαφέντος ἐπὶ τὰ οἰκεῖα τὰς δυνάμεις, πρόφασιν ποιησάμενοι ταύτην τοῦ μὴ τὰ δίκαια ποιεῖν τοῦτον ὑβρίσατε, τῶν δὲ πρὸς ἡμᾶς ὁμολογιῶν οὐδεμίαν ἐφυλάξατε, ἀλλ' ἐν τῷ αὐτῷ τρία τὰ μέγιστα παρηνομήσατε, τὸ ἀξίωμα τῆς βουλῆς καταλύσαντες καὶ τὴν πίστιν τοῦ ἀνδρὸς

3 καὶ — ὑπισχνούμενοι add. Bb in mge 4 τῆς τότε σωτηρίας O ὑπὲρ τ. τ. σ. c. Stephanus τ. τ. σ. ἕνεκα Sylburg 6 τῇ ἀπάτῃ vel ταῖς ἀπάταις c. Sylburg 7 εὕρεσθ' c. Cobet Obs. p. 128 11 οὐκ ὀλίγους B | οὐδ' ante ἀφανεῖς om. AB 12 κατὰ πάντων B 13 τὸ add. B 14 πολλοστὴν c. Kiessling 15 σημ⟨αί⟩αις Bb 16 παρέλθητε in susp. vocat. Cobet Obs. p. 128 23 παρηνομήσατε B παρενομήσατε R

διαφθείραντες καὶ τοῖς εὐεργέταις ἀνόνητον ποιήσαντες
3 τὴν χάριν τῶν πόνων. ταῦτα δὴ καὶ ἄλλα πρὸς τού-
τοις ὅμοια πολλὰ ἔχοντες λέγειν πρὸς ὑμᾶς οὐκ ἀξιοῦ-
μεν, ὦ πατρίκιοι, πρὸς ἱκεσίας καὶ δεήσεις ὑμῶν τρα-
πέσθαι, οὐδ' ὥσπερ οἱ τὰ δεινὰ δεδρακότες ἐπ' ἀδείᾳ
καὶ ἀμνηστίᾳ κάθοδον λαμβάνειν. οὐ μὴν ἀκριβολο-
γεῖσθαί γε περὶ τούτων ἐν τῷ παρόντι οἰόμεθα χρῆναι,
ἐπειδὴ περὶ ὁμονοίας διαλεξόμενοι συνεληλύθαμεν, ἀλλ' 1218
ἀμελείᾳ καὶ λήθῃ παραδόντες αὐτὰ φέρομεν.

LXXVIII. Ἐφ' οἷς δὲ πρεσβεύετε καὶ τίνων δεό-
μενοι ἥκετε, τί οὐ λέγετε φανερῶς; ἐπὶ ποίαις ἐλπίσι
κατελθεῖν ἡμᾶς εἰς τὴν πόλιν ἀξιοῦτε; ποίαν ἡγεμόνα
τῆς ὁδοῦ λαβόντας τύχην; τίνος ὑποδεξομένης ἡμᾶς
εὐθυμίας ἢ χαρᾶς; οὐδὲν γὰρ ἄχρι τοῦδε φιλάνθρω-
πον ὑμῶν ἢ χρηστὸν προτεινομένων ἀκούομεν, οὐ τι-
μάς, οὐκ ἀρχάς, οὐκ ἐπανόρθωσιν ἀπορίας, οὐκ ἄλλο
ἁπλῶς οὐδ' ὁτιοῦν. καίτοι οὐ λέγειν ὑμᾶς ἐχρῆν, ἃ
μέλλετε ποιεῖν, ἀλλὰ ποιήσαντες λέγειν, ἵνα προειλη-
φότες ἤδη τι ἔργον ἀπ' εὐνοίας γενόμενον καὶ τὰ λοιπὰ
2 τοιαῦτα ἔσεσθαι εἰκάσωμεν. οἴομαι τοίνυν πρὸς ταῦτα
ἐρεῖν αὐτούς, ὅτι περὶ πάντων ἥκουσιν αὐτοκράτορες,
ὥσθ', ὅ τι ἂν πείσωμεν ἀλλήλους, τοῦτ' ἔσται κύριον.
ἔστω ταῦτ' ἀληθῆ· γιγνέσθω τἀκόλουθα τούτοις· οὐ-
δὲν ἀντιλέγω. βούλομαι δὲ τὰ μετὰ ταῦτ' ἐσόμενα 1219
παρ' αὐτῶν μαθεῖν, ἐπειδὰν εἴπωμεν ἡμεῖς, ἐφ' οἷς
ἀξιοῦμεν ποιεῖσθαι τὴν κάθοδον καὶ συγχωρηθῇ ταῦτα

3 ἠξιοῦμεν O ἀξιοῦμεν Kiessling 5 ὡσπερὶ Ba ὥσπερ οἱ ABb 11 ἐλπίσι κατελθεῖν ἡμᾶς εἰς τ. π. B 12 ἡμᾶς ἐλπίσιν εἰς τὴν πόλιν κατελθόντες R 13 λαβόντες O corr. Portus | ὑποδεξαμένης AB | ἡμᾶς add. B 20 οἰομ⟨αι το⟩ίνυν Bb 23 τὰ ἀκόλουθα O

⟨ὑπὸ⟩ τούτων, τίς ἐγγυητὴς ἔσται τῶν ὁμολογιῶν ἡμῖν;
τίνι πιστεύσαντες ἀσφαλείᾳ τὰ ὅπλα θήσομεν ἐκ τῶν 3
χειρῶν καὶ καταστήσομεν αὖθις εἰς τὴν τούτων ἐξου-
σίαν τὰ σώματα; πότερον τοῖς ψηφίσμασι τῆς βουλῆς
τοῖς ὑπὲρ τούτων γραφησομένοις, οὐ γὰρ δὴ γεγραμ-
μένοις; καὶ τί πάλιν κωλύσει ἑτέροις ἀκυρωθῆναι ταῦτα
ψηφίσμασιν, ὅταν Ἀππίῳ καὶ τοῖς ὅμοια φρονοῦσιν
ἐκείνῳ φανῇ; ἢ τοῖς ἀξιώμασι τῶν πρεσβευτῶν, οἵ τὰς
ἑαυτῶν παρέχονται πίστεις; ἀλλὰ διὰ τῶν ἀνδρῶν τού-
των καὶ πρότερον ἡμᾶς ἐξηπάτησαν. ἢ ταῖς ⟨ἐπὶ⟩ τῶν
θεῶν ὁμολογίαις δι' ὅρκων τὰ πιστὰ πορισάμενοι παρ'
αὐτῶν; ἀλλ' ἔγωγ' ὑπὲρ ἅπασαν πίστιν ἀνθρωπίνην
ταύτην δέδοικα, ἣν ὑπὸ τῶν ἐν ταῖς ἡγεμονίαις ὄντων
καταφρονουμένην ὁρῶ, καὶ τὰς ἀκουσίους συμβάσεις
1220 τοῖς ἄρχειν ἀξιοῦσι πρὸς τοὺς ἐλευθερίας μεταποιου-
μένους, οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πολλάκις ἤδη κατα-
μαθών, ἐπίσταμαι τοσοῦτον ἰσχυούσας χρόνον, ὅσον
ἂν αὐτῶν αἱ ἀνάγκαι κρατῶσι. τίς οὖν ἡ τοιαύτη 4
φιλία καὶ πίστις, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους θερα-
πεύειν ἀναγκασθησόμεθα φυλάττοντες τοὺς οἰκείους
ἑκάτεροι καιρούς; ὑποψίαι δὲ δὴ τό γε μετὰ τοῦτο καὶ
διαβολαὶ συνεχεῖς κατ' ἀλλήλων φθόνοι τε καὶ μίση
καὶ πᾶσ' ἄλλη κακῶν ἰδέα καὶ πολὺς ὁ περὶ τοῦ φθά-
σαι διολέσαντας τὸ ἀντίπαλον ἀγών, ὡς ἐν τῷ μέλλειν
κειμένου τοῦ παθεῖν.

1 ὑπὸ add. Reiske  2 θήσομεν] καταθήσομεν c. Reiske ἀποθήσομεν c. Kiessling  7 τὰ ὅμοια c. Reiske  8 ⟨ἢ⟩ B  10 οἱ AB  ἢ R | ἐπὶ add. Reiske  11 παρωσάμενοι A πορισάμενοι B  12 αὐτῶν οὐκ ἀλλ' A  14 μάλιστα καταφρονουμένην c. Reiske  20 ἀναγκασθησόμεθα B  21 κλήρους ABC καιροὺς R  23 πᾶσ' ἄλλη Ba  πᾶσα ἄλλη ABb | δή ποτε A  24 ὡς] ὁ AB

LXXVIIII. *Πολέμου δὲ πολιτικοῦ ὡς ἅπαντες ἴσασι κάκιον χρῆμα οὐδέν, ἐν ᾧ τὰ μὲν κρατηθέντα ἀτυχεῖ, τὰ δὲ κρατήσαντα ἀδικεῖ, καὶ περίεστι τοῖς μὲν ὑπὸ τῶν φιλτάτων ἀπόλλυσθαι, τοῖς δὲ τὰ φίλτατα διολέσαι. ἐπὶ τοιαύταις δὴ τύχαις καὶ συμφοραῖς οὐκ εὐκταίαις μήτε ὑμεῖς, ὦ πατρίκιοι, καλεῖτε ἡμᾶς, μήτε ἡμεῖς αὐτοῖς ὑπακούωμεν, ὦ δημόται, ἀλλ', ὡς διήρη-* 1221
*κεν ἡμᾶς ἀπ' ἀλλήλων ἡ τύχη, στέργωμεν. ἐχέτωσαν μὲν ⟨οὖν⟩ οὗτοι τὴν πόλιν ὅλην καὶ καρπούσθωσαν ἡμῶν δίχα καὶ τῶν ἄλλων ἀγαθῶν ἁπάντων ἀπολαυέτωσαν μόνοι, τοὺς ταπεινοὺς καὶ ἀδόξους δημότας ἐκβαλόντες ἐκ τῆς πατρίδος· ἀπαλλαττώμεθα δ' ἡμεῖς, ὅποι ποτ' ἂν ἡμᾶς ὁ δαίμων ἄγῃ τόπον ἀλλότριον ἐκλι-*
2 *πεῖν νομίσαντες, οὐ πόλιν ἰδίαν. οὔτε γὰρ ἡμῶν τινι ἐνθάδε ὑπολείπεται κλῆρος γῆς οὔτε πατρῷον ἐφέστιον οὔτε ἱερὰ κοινὰ οὔτε ἀξίωμα ὡς ἐν πατρίδι, ὧν περιεχόμενοι φιλοχωροῖμεν ἂν καὶ παρὰ γνώμην [μένειν], ἀλλ' οὐδ' ἡ [μετὰ τῶν ὅπλων] τοῖς σώμασι μετὰ πολλῶν πόνων ἐλευθερία· ἐπεὶ τὰ μὲν οἱ πολλοὶ πόλεμοι διέφθειραν, τὰ δ' ἡ τῶν καθ' ἡμέραν ἀναγκαίων σπάνις ἐξανήλωσε, τὰ δ' ὑπὸ τῶν ὑπερηφάνων δανειστῶν τούτων ἀφῃρέθημεν· οἷς τελευτῶντες ἠναγκαζόμεθα* 1222
*τοὺς ἑαυτῶν κλήρους οἱ δείλαιοι γεωργεῖν, σκάπτοντες φυτεύοντες ἀροῦντες ποίμνια νέμοντες ὁμόδουλοι τοῖς ἑαυτῶν δοριχτήτοις ἀνδραπόδοις ὄντες, οἱ μὲν ἀλύσει*

9 *οὖν* add. Kiessling 12 *ἐκβάλλοντες* Ba | *ἀπαλλαττόμεθα* B 16 *περιεχόμενοι περιεχόμενοι* Bb 17 *μένειν* del. Kiessling 18 * *σώμασι καὶ μετὰ πόνων κτηθεῖσα* c. Sylburg *ἡ διὰ τῶν ὅπλων μετὰ πολλῶν πόνων ζητηθεῖσα ἐλευθερία* c. Reiske *μετὰ τῶν ὅπλων* uncis seclusi 22 *ἠναγκαζόμεθα* Reiske *ἀναγκαζόμεθα* O 25 *ἀλύσει* O *ἀλύσεσι* duce Reiskio c. Kiessling

δεθέντες, οἱ δὲ πέδαις, οἱ δ' ὥσπερ τὰ χαλεπώτατα τῶν θηρίων κλοιοῖς καὶ μύδροις. αἰκίας δὲ δὴ καὶ 3 προπηλακισμοὺς καὶ μάστιγας καὶ πόνους ἐκ νυκτὸς εἰς νύκτα καὶ πᾶσαν ἄλλην ὠμότητα καὶ ὕβριν καὶ ὑπερηφανίαν, ἣν ὑπεμείναμεν, ἐῶ. τοσούτων οὖν καὶ τηλικούτων ἀπηλλαγμένοι κακῶν ὑπὸ τοῦ δαίμονος, ὅση σπουδὴ καὶ δύναμις ἑκάστῳ πάρεστι φεύγωμεν ἀπ' αὐτῶν ἄσμενοι τύχην καὶ θεὸν οἵπερ ἡμᾶς σώζουσιν ἡγεμόνας τῆς ὁδοῦ ποιησάμενοι, πατρίδα νομίζοντες τὴν ἐλευθερίαν καὶ πλοῦτον τὴν ἀρετήν. πᾶσα γὰρ ἡμᾶς ὑποδέξεται γῆ κοινωνούς, τὰ μὲν ἀλύπους ἐσομένους τοῖς ὑποδεξαμένοις, τὰ δ' ὠφελίμους.

LXXX. Παραδείγματα δὲ τούτων γενέσθωσαν ἡμῖν πολλοί τε Ἕλληνες πολλοί τε βάρβαροι, μάλιστα δ' οἱ
1223 τούτων τε καὶ ἡμῶν πρόγονοι· ὧν οἱ μὲν μετ' Αἰνείου συναναστάντες ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην ἐν τῇ Λατίνων γῇ πόλιν ᾤκισαν, οἱ δ' ὕστερον ἐξ Ἄλβας ἀναστάντες Ῥωμύλου τὴν ἀποικίαν ἄγοντος ἐν τοῖσδε τοῖς τόποις ἱδρύσαντο τὴν ὑφ' ἡμῶν ἐκλειπομένην. ὑπάρχει τε ἡμῖν δύναμις οὐκ ὀλίγῳ πλείων μόνον τῆς 2 ἐκείνοις γενομένης, ἀλλὰ καὶ τριπλασία, καὶ πρόφασις δικαιοτέρα τῆς μεταναστάσεως. οἱ μέν γε ἐξ Ἰλίου μεταναστάντες ὑπὸ πολεμίων ἐξηλαύνοντο, ἡμεῖς δ' αὐτόθεν ὑπὸ φίλων· ἐλεεινότερον δὲ δήπου τὸ πρὸς

1 οἱ δὲ πέδαις om. A οἱ δὲ παιδ.. Ba 4 ⟨εἰς⟩ B 5 οὖν om. B 8 τυχεῖν Ba 9 ἡγεμόνα O ἡγεμόνας Sylburg 12 καὶ ὠφελίμους c. Kiessling 14 πλεῖστοι τε βάρβαροι A 15 Αἰνεία Ba 21 τριπ⟨λ⟩ασια Bb | ἐκείνοις AB ἐκείνων Sylburg 22 μέντοι γε A μέν γε B 24 φίλων A φιλείων Ba φιλίων Bb | ἐλεεινὸν O ἐλεεινότερον Sylburg et Reiske | τὸ add. B

τῶν οἰκείων ἢ τῶν ἀλλοτρίων ἐλαύνεσθαι. οἱ δὲ Ῥω-
3 μύλῳ συναράμενοι τῆς στρατείας ἐπὶ τῷ κτήσασθαι
κρείττονα γῆν ὑπερεῖδον τῆς πατρῴας· ἡμεῖς δὲ τὸν
ἄπολιν καὶ τὸν ἀνέστιον ἐκλείποντες βίον, οὔτε θεοῖς
ἐπίφθονον οὔτε ἀνθρώποις λυπηρὰν οὔτε γῇ τινι βα- 122
ρεῖαν στέλλομεν ἀποικίαν, [ἀλλ'] οὐδὲ δι' αἵματος καὶ
φόνων ἐμφυλίων ἐλθόντες πρὸς τοὺς ἀπελαύνοντας
ἡμᾶς, οὐδὲ πυρὶ καὶ σιδήρῳ κακώσαντες τὴν ἐκλειπο-
μένην γῆν, οὐδ' ἄλλο μνημόσυνον οὐδὲν αἰωνίου κατα-
λιπόντες ἔχθρας, ὡς ταῖς παρεσπονδημέναις φυγαῖς
καὶ εἰς ἀβουλήτους ἀνάγκας κατακλεισθείσαις ἔθος ἐστὶ
4 δρᾶν. θεούς τε ἐπιμαρτυράμενοι καὶ δαίμονας, οἳ τὰ
θνητὰ πάντα κατὰ δίκην ἄγουσι, καὶ καταλιπόντες
ἐκείνοις ἀναπράξασθαι τὰς ὑπὲρ ἡμῶν δίκας, ἐκεῖνο
μόνον ἀξιοῦμεν, οἷς ἐστιν ἡμῶν ἐν τῇ πόλει τέκνα
νήπια καὶ γονεῖς καὶ εἴ τινες ἄρα γυναῖκες ἡμῖν ἐθε-
λήσουσι κοινωνεῖν τῆς τύχης, τὰ σώματ' ἀπολαβεῖν.
ταῦθ' ἡμῖν ἀπόχρη λαβεῖν, καὶ οὐκέτι οὐδενὸς ἄλλου
δεόμεθα τῶν ἐκ τῆς πατρίδος. ἀλλ' εὐτυχεῖτε καὶ ζῆτε
βίον, ὃν ἂν προαιρῆσθε, οὕτως ἀπολίτευτα καὶ ἀκοι-
νώνητα πρὸς τοὺς ταπεινοτέρους φρονοῦντες.

LXXXI. Ὁ μὲν δὴ Βροῦτος τοιούτους εἰπὼν λόγους
ἐπαύσατο· τοῖς δὲ παροῦσιν, ὅσα τε περὶ τῶν δικαίων
εἶπεν, ἀληθῆ εἶναι ἐδόκει καὶ ὅσα τῆς ὑπεροψίας τοῦ 1225
συνεδρίου κατηγόρησε, μάλιστα δ' ἐν οἷς τὸ ἀσφαλὲς

1 ἐξελαύνεσθαι c. Kiessling  4 ἐκλιπόντες Bb  5 λυπηρὸν O corr. Sylburg  6 ἀλλ' οὐδὲ O  ἀλλ' del. Reiske  9 μνημ⟨όσυνον⟩ in ras. 3—4 litt. B | καταλ.ιπόντες B  10 φυλαῖς ABb  φυ///αις Ba  φυγαῖς Sintenis Em. Dion. I 29  14 ἀναπράξεσθαι A  20 προαιρήσεσθε B  25 τὸ ἀσφαλὲσ σ τῶν B

τῶν ὁμολογιῶν δόλου μεστὸν ἀπεδείκνυε καὶ ἀπάτης.
ἐπεὶ δὲ τὰς ὕβρεις τελευτῶν διῆλθεν, ἃς ἦσαν ὑβρισ-
μένοι ὑπὸ τῶν δανειστῶν, καὶ τῶν οἰκείων ἕκαστον
ἀνέμνησε κακῶν, οὐδεὶς ἦν στερρὸς οὕτω τὴν διάνοιαν,
ὃς οὐκ ἐξεχεῖτο τοῖς δάκρυσι καὶ ἀνεκλαίετο τὰς κοινὰς
συμφοράς· καὶ τοῦτ' οὐκ αὐτοῖς μόνοις συνέβαινε
παθεῖν, ἀλλὰ καὶ τοῖς παρὰ τῆς βουλῆς ἥκουσιν. οὐδὲ
γὰρ οἱ πρέσβεις τὰ δάκρυα κατέχειν ἴσχυον ἐνθυμού-
μενοι τὰς ἐκ τοῦ διοικισμοῦ τῆς πόλεως ἀτυχίας, καὶ
πολὺς ἦν χρόνος ἐν ᾧ κατηφεῖς καὶ δεδακρυμένοι καὶ
τί χρὴ λέγειν ἀποροῦντες εἱστήκεσαν. ἐπειδὴ δ' ὅ τε 2
πολὺς θρῆνος ἐπαύσατο καὶ σιωπὴ κατέσχε τὴν ἐκκλη-
σίαν, παρῆλθεν ἀπολογησόμενος ⟨πρὸς⟩ ταῦτα, ὅσπερ
ἐδόκει τῶν ἄλλων πολιτῶν ἡλικίᾳ τε προὔχειν καὶ
126 ἀξιώσει, Τῖτος Λάρκιος, ὃς δὶς ἀποδειχθεὶς ὕπατος
δυναστείᾳ τῇ καλουμένῃ δικτατορίᾳ κράτιστα πάντων
ἀνθρώπων χρησάμενος ἱερὰν καὶ σεβασμοῦ μεστὴν
ἐποίησε νομισθῆναι τὴν ἐπίφθονον ἀρχήν. ἐπιβαλλό- 3
μενος δὲ περὶ τοῦ δικαίου ποιεῖσθαι λόγους, καὶ τὰ
μὲν τοῖς δανειστικοῖς ἐγκαλῶν ὡς ὠμὰ καὶ ἀπάνθρωπα
διαπεπραγμένοις, τὰ δὲ τῶν πενήτων καθαπτόμενος
ὡς οὐ δικαίως ἀξιούντων βίᾳ μᾶλλον ἀφεῖσθαι τῶν
ὀφειλημάτων ἢ χάριτι, καὶ ὡς τὴν βουλὴν οὐκ ὀρθῶς

2 ἐπει δὴ Ba  ἐπει δὲ Bb  4 οὕτως B  5 ἐξεχεῖτο O ἐκέχυτο c. Stephanus, εἰς δάκρυα duce Reiskio Cobet Obs. p. 129 an ἐξέχει τὰ δάκρυα?  6 μόνοις τοῖς δημόταις c. Kiessling 13 πρὸς ταῦτα Sylburg  ταῦτα O  14 πολιτῶν] βουλευτῶν c. Kayser Ann. phil. 1866 p. 47  πλεῖστον c. Kiessling  15 ὃς] ὁ c. Bücheler  16 δυναστείας τῆς καλουμένης δικτατορίας ἢ ABb (ἢ Ba) corr. Pflugk nisi quod τε post δυναστείᾳ inseruit, quod delevi  19 δὲ τοὺς O praeter B  22 δίκαια O δικαίως Reiske

δι' ὀργῆς ἐχόντων ἐπὶ τῷ μηθενὸς τῶν μετρίων παρ'
4 αὐτῆς τυγχάνειν, μᾶλλον ἢ οὐχὶ τοὺς αἰτίους· πειρώ-
μενός τ' ἀποφαίνειν βραχὺ μὲν ὑπάρχον τοῦ δήμου
τὸ μὴ κατὰ γνώμην ἀδικοῦν, ὑπὸ δὲ μήκους ἀπορίας
ἠναγκασμένον αἰτεῖσθαι τὴν ἄφεσιν, τὸ δὲ πλεῖον ἀκο-
λασίᾳ καὶ ὕβρει καὶ τῷ καθ' ἡδονὰς ζῆν ἐφεικὸς καὶ
δι' ἁρπαγῆς ἐκ τῶν ἀλλοτρίων ὑπηρετεῖν ταῖς ἐπιθυ- 1227
μίαις παρεσκευασμένον, διακρίνεσθαί τε οἰόμενος δεῖν
ἀπὸ τῶν ἐλεεινῶν τὰ πονηρὰ καὶ ἀπὸ τῶν φιλανθρω-
πίας δεομένων τὰ μίσους ἄξια, καὶ τοιούτους τινὰς
ἄλλους καθιστάμενος λόγους ἀληθεῖς μέν, οὐχ ἅπασι
δὲ τοῖς ἀκούουσι κεχαρισμένους, οὐκ ἔπειθεν, ἀλλὰ
θροῦς ἦν ἐφ' ἑκάστῳ πολὺς καὶ τῶν μὲν ἀγανακτήσεις
ὡς ἐξαιμάττοντος τὰς λύπας, τῶν δ' ἐξομολογήσεις ὡς
οὐδὲν τῶν ἀληθῶν ἀποκρυπτομένου· ἔλαττον δὲ πολλῷ
τοῦτ' ἦν θατέρου τὸ μέρος, ὥστ' ἠφανίζοντο τῷ πολλῷ
καὶ περιῆν ἡ τοῦ ἀγανακτοῦντος βοή.

LXXXII. Ὀλίγα δὲ τούτοις ἔτι προσθέντος τοῦ
Λαρκίου καὶ τῆς ἐπαναστάσεως αὐτῶν καὶ τῆς προ-
πετείας τῶν βουλευμάτων καθαψαμένου παραλαβὼν
τὸν λόγον ὁ τοῦ δήμου προεστηκὼς τότε Σικίννιος
ἔτι μᾶλλον ἐτράχυνε τὰς ὀργὰς αὐτῶν λέγων, ὡς ἐκ
τούτων ἂν δύναιντο μάλιστα τῶν λόγων καταμαθεῖν,
οἷαι τιμαὶ καὶ χάριτες αὐτοὺς ὑποδέξονται κατελθόν-
2 τας εἰς τὴν πατρίδα. οἷς γὰρ ἐν ἀκμῇ τῶν δεινῶν 1228
οὖσι καὶ δεομένοις τῆς παρὰ τοῦ δήμου βοηθείας καὶ

10 τοιούτους ἄλλους τινὰς B   14 ἐξ⟨αι⟩μάττοντος Bb
16 θατερ/// Ba θάτερον R θατέρου Sylburg   19 τὴν Ba |
ἀπαναστάσεως c. Portus cf. lib. I 24 ἐπανατάσεως c. Cobet
*Obs. p. 129*

ἐπὶ τοῦθ' ἥκουσιν οὐδὲ νῦν ἐπέρχεται μετρίους καὶ
φιλανθρώπους ποιεῖσθαι λόγους, τίνα χρὴ δοκεῖν παρα-
στήσεσθαι διάνοιαν, ὅταν αὐτοῖς κατ' ἐλπίδα χωρήσῃ
τὰ πράγματα, καὶ γένηται τὰ νῦν ὑβριζόμενα τοῖς λό-
γοις ὑποχείρια τοῖς ἔργοις; ποίας ὑπερηφανίας αὐτοὺς
ἀφέξεσθαι, ποίας αἰκίας, ποίας ὠμότητος τυραννικῆς;
ἀλλ' εἰ μὲν ὑμῖν ἀπόχρη δουλεύειν ἅπαντα τὸν τοῦ 3
βίου χρόνον δεδεμένοις καὶ μαστιγουμένοις καὶ πυρὶ
καὶ σιδήρῳ καὶ λιμῷ καὶ πάσῃ λώβῃ ἀπολλυμένοις, μὴ
τρίβετε τὸν χρόνον, ἀλλὰ τὰ ὅπλα ῥίψαντές τε καὶ τὼ
χεῖρε περιαγαγόντες ἀκολουθεῖτε αὐτοῖς· εἰ δὲ τῆς
ἐλευθερίας ἔνεστιν ὑμῖν τις πόθος, μὴ ἀνέχεσθε αὐ-
τῶν. ὑμεῖς τ', ὦ πρέσβεις, ἢ λέγετε, ἐφ' οἷς καλεῖτε
ἡμᾶς δικαίοις, ἢ μὴ λέγοντες ἐκ τῆς ἐκκλησίας ἄπιτε·
οὐ γὰρ ἂν ἔτι μεταδοίημεν ὑμῖν λόγου.

229 LXXXIII. Ὡς δ' ἐπαύσατο, πάντες οἱ παρόντες
ἐπεθορύβησαν ὡς τὰ δέοντα λελογισμένῳ συγκατατι-
θέμενοι καὶ μετὰ τοῦτο ἡσυχίας γενομένης Μενήνιος
Ἀγρίππας, ὅσπερ καὶ τοὺς ἐν τῇ βουλῇ λόγους ὑπὲρ
τοῦ δήμου διέθετο καὶ τοῦ πεμφθῆναι τὴν αὐτοκρά-
τορα πρεσβείαν ⟨τὴν⟩ γνώμην ἀποφηνάμενος αἰτιώτα-
τος ἦν, διεσήμηνεν ὅτι βούλεται καὶ αὐτὸς εἰπεῖν. τοῖς
δὲ κατ' εὐχὴν τὸ πρᾶγμα ἐφάνη καὶ νυνί γέ τοι λόγων
ὑπέλαβον ἀκούσεσθαι συμβάσεις ἀληθινὰς καὶ γνώμας
σωτηρίους ἀμφοῖν ἐχόντων. καὶ τὸ μὲν πρῶτον ἐπερ- 2
ρόθησαν ἅπαντες βοῇ μεγάλῃ λέγειν κελεύοντες· ἔπειτα

1 ἐπὶ τούτῳ c. Sylburg 2 παραστήσασθαι B 6 αἰκίας] κακίας Bb 7 *πάντα O 10 τὸν om. B 11 περιάγοντες B 17 συλλελογισμένῳ c. Reiske 21 τὴν add. Kiessling 25 σωτηρίας O corr. Sylburg

*ἐπέσχον, καὶ σιγὴ τοσαύτη κατέλαβε τὴν ἐκκλησίαν, ὥστε
μηθὲν διαλλάξαι τὸν τόπον ἐρημίας. ὁ δὲ τά τε ἄλλα,
ὡς οἷόν τε ἦν, πιθανωτάτοις ἔδοξε χρήσασθαι λόγοις
καὶ τοῦ βουλήματος τῶν ἀκουόντων ἐστοχασμένοις,
τελευτῶν δὲ τῆς δημηγορίας λέγεται μῦθόν τινα εἰπεῖν
εἰς τὸν Αἰσώπειον τρόπον συμπλάσας πολλὴν ὁμοιότητα* 123
*πρὸς τὰ πράγματα ἔχοντα, καὶ τούτῳ μάλιστ' αὐτοὺς
ἑλεῖν· ὅθεν καὶ μνήμης ἀξιοῦται ὁ λόγος καὶ φέρεται
ἐν ἁπάσαις ταῖς ἀρχαίαις ἱστορίαις. ἦν δὲ τὰ λεχθέντα*
3 *ὑπ' αὐτοῦ τοιάδε. Ἡμεῖς ἀπεστάλημεν ὑπὸ τῆς βου-
λῆς, ὦ δημόται, πρὸς ὑμᾶς οὔτε ἀπολογησόμενοι ὑπὲρ
ἐκείνης οὔτε ὑμῶν κατηγορήσοντες· οὐ γὰρ ἐδόκει
ταῦτα καιρὸν ἔχειν οὐδ' εἶναι ταῖς κατεχούσαις τὸ κοι-
νὸν τύχαις πρόσφορα· ἀλλὰ διαλύσοντες ἁπάσῃ προ-
θυμίᾳ καὶ μηχανῇ τὴν στάσιν καὶ καταστήσοντες εἰς
τὸν ἐξ ἀρχῆς κόσμον τὴν πολιτείαν, ἔχοντες δὲ τούτου
τὴν ἐξουσίαν αὐτοκράτορα. ὥστε περὶ μὲν τῶν δι-
καίων οὐδὲν ἂν οἰόμεθα δεῖν, ὅπερ Ἰούνιος ἐποίησεν
οὑτοσί, εἰς μακρὸν ἐκμηκύνειν χρόνον· ἐφ' οἷς δὲ φιλ-* 1231
*ανθρώποις διαλῦσαι τὴν στάσιν οἰόμεθα δεῖν, καὶ τίς ἡ
βεβαιώσουσα τὰς ὁμολογίας ἡμῶν ἔσται πίστις, περὶ τού-*
4 *των, ἃ διεγνώκαμεν, ἐροῦμεν πρὸς ὑμᾶς. ἡμῖν ἐνθυμου-
μένοις, ὅτι πᾶσα θεραπεύεται στάσις ἐξ ἁπάσης πόλεως,
ὅταν ἐξαιρεθῶσιν αἱ παρασχοῦσαι τὴν διαφορὰν αἰτίαι,*

2 *μηθενὶ* ABb *μηθενεὶ* Ba corr. Portus | *τ.όπον* Bb 4 *βουλεύματος* O *βουλήματος* Sylburg 8 *ἠξίωται* c. Kiessling 10 *ὑπὸ τοῦ ὑπάτου* O corr. Sylburg 18 *οὐδὲν ἀνοιόμεθα δεῖν — ἐκμηκύνων* O *ἐκμηκύνειν* Sylburg *οὐδὲν δεόμεθα λέγειν — ἐκμηκύνων* c. Kiessling Pr. Bas. p. 19 19 *οὗτος εἰς* O *οὑτοσὶ εἰς* Cobet Obs. p. 130 *οὑτοσὶ μακρὸν ἐκμηκύνειν λόγον* *Meutzner* p. 269

ἀναγκαῖον ἔδοξεν εἶναι τὰς ἀρχηγοὺς τῆς διχοστασίας προφάσεις γνῶναί τε καὶ παῦσαι. εὑρόντες δὲ τὰς ἀποτόμους τῶν δανείων ἀναπράξεις τῶν παρόντων κακῶν αἰτίας γεγονυίας, οὕτως αὐτὰς διορθούμεθα. τοὺς ὀφείλοντας χρέα καὶ μὴ δυναμένους διαλύσασθαι πάντας ἀφεῖσθαι τῶν ὀφλημάτων δικαιοῦμεν· καὶ εἴ τινων ἤδη τὰ σώματα ὑπερημέρων ὄντων ταῖς νομίμοις προθεσμίαις κατέχεται, καὶ ταῦτ' ἐλεύθερα εἶναι κρίνομεν· ὅσοι τε δίκαις ἁλόντες ἰδίαις παρεδόθησαν τοῖς καταδικασαμένοις, καὶ τούτους ἐλευθέρους εἶναι 232 βουλόμεθα, καὶ τὰς καταγνώσεις αὐτῶν ἀκύρους ποιοῦμεν. περὶ μὲν δὴ τῶν ἐκ τοῦ παρεληλυθότος χρόνου συμβολαίων, ἃ τὴν ἀπόστασιν ἔδοξεν ἡμῖν ποιῆσαι, τοῦτον ἐπανορθούμεθα τὸν τρόπον· περὶ δὲ τῶν ὕστερον ἐσομένων, ὡς ἂν ὑμῖν τε τῷ δήμῳ καὶ τοῖς ἐκ τοῦ συνεδρίου κοινῇ βουλευσομένοις φανῇ, νόμου κυρωθέντος, οὕτως ἐχέτω. οὐχὶ ταῦτα μέντοι τὰ διαστήσαντα ὑμᾶς ἦν ἀπὸ τῶν πατρικίων, ὦ δημόται, καὶ τούτων εἰ τύχοιτε ἀποχρῆν ὑμῖν ᾤεσθε καὶ οὐδενὸς ἄλλου ὠρέγεσθε; δίδοται νῦν ὑμῖν· ἄπιτε ἤδη χαίροντες εἰς τὴν πατρίδα.

LXXXIIII. *Αἱ δὲ βεβαιώσουσαι τὰς ὁμολογίας ταύτας καὶ τὸ ἀσφαλὲς ὑμῖν παρέξουσαι πίστεις ἔσονται πᾶσαι νόμιμοί τε καὶ ἐν ἔθει τοῖς διαλυομένοις τὰς ἔχθρας. ἐπιψηφιεῖται μὲν ἡ βουλὴ ταῦτα καὶ νόμου*

5 ὀφ⟨εί⟩λοντες Bb 9 δίκαις ἁλόντες ἰδίαις Bb δίκαις ἁλόντες ἰδία A δίκας ἁλόντες ἰδίας c. Kiessling 16 βουλευσαμένοις O βουλευσομένοις c. Bücheler 17 μέντοι O μόνα c. Reiske 19 ᾤεσθε ABa οἴεσθε Bb 20 ὠρέγεσθε A ὠρ...σθαι Ba ὀρέγεσθε Bb | δὴ Sylburg 23 ἔσονται πᾶσι A ἔ. πᾶσαι B ἔσονται αἱ πᾶσι c. Reiske

τάξιν ἀποδώσει τοῖς γραφησομένοις· μᾶλλον δ' ὑφ' ὑμῶν
ἐνθάδε γραφέσθω τὰ δόξαντα, καὶ ἡ βουλὴ τούτοις πεί-
2 σεται. τοῦ δὲ μενεῖν βέβαια τὰ συγχωρούμενα νῦν, καὶ 1233
μηδὲν ὕστερον ἐναντίον αὐτοῖς ὑπὸ τῆς βουλῆς ἐξενε-
χθήσεσθαι, πρῶτον μὲν ἡμεῖς οἱ πρέσβεις ἀνάδοχοι, δι-
δόντες ὑμῖν σώματα καὶ ψυχὰς καὶ γενεὰς τὰς ἑαυτῶν
ἐνέχυρα· ἔπειτα οἱ ἄλλοι βουλευταί, ὅσοι τῷ ψηφίσματι
συνεγγραφήσονται· οὐ γὰρ δή ποτε ἀκόντων ἡμῶν
γραφήσεταί τι κατὰ τοῦ δήμου. οἱ γὰρ ἡγούμενοι τοῦ
συνεδρίου καὶ πρῶτοι τὰς αὐτῶν γνώμας ἀποφαινό-
3 μενοι τῶν ἄλλων ἡμεῖς ἐσμεν. τελευταία δὲ πίστις
ἅπασίν ἐστιν ἀνθρώποις Ἕλλησί τε καὶ βαρβάροις, ἣν
οὐδεὶς πώποτε ἀναιρήσει χρόνος, ἡ δι' ὅρκων καὶ σπον-
δῶν ἐγγυητὰς θεοὺς ποιουμένη τῶν συμβάσεων· ὑφ'
ἧς πολλαὶ μὲν ἰδιωτῶν ἔχθραι πικραί, πολλοὶ δὲ πό-
λεμοι πόλεσι πρὸς πόλεις συστάντες διηλλάγησαν. καὶ
ταύτην εἴ τινα λαμβάνετε τὴν πίστιν, εἴτ' ὀλίγοις ἐπι-
τρέπετε τοῖς ἡγεμόσι τοῦ συνεδρίου περὶ ὅλης ὑμῖν
δοῦναι τῆς βουλῆς τοὺς ὅρκους, εἴτε πάντας ἀξιοῦτε 1234
τοὺς ἐπιγραφομένους τοῖς δόγμασιν ὀμνύειν καθ' ἱερῶν
4 ἦ μὴν βέβαια τὰ συγκείμενα φυλάξειν. δεξιὰς δὲ καὶ
σπονδὰς καὶ πίστεις ἐπὶ θεῶν γιγνομένας μήτε σὺ
διάβαλλε, Βροῦτε, μήτ' ἀναίρει τὸ κάλλιστον ἐπιτή-

3 *μένειν* O corr. Cobet Obs. p. 130 | *νῦν*] *ὑμῖν* c. Kiessling 6 *καὶ σώματα* B | *αὐτῶν* B | *ἐνέχυρα*] *ὅμηρα* B 11 *τελευταία*] *τελεία* c. Tegge Quaest. de usu praep. p. 40 12 *ἀνθρώποις ἐστὶν* B 15 *μικραὶ* O *πικραὶ* Reiske 17 **εἴ τε λαμβάνεται* ABa *λαμβάνετε* Bb *εἴ γε λαμβάνετε* Reiske *ἤδη λ.* Pflugk *ἴτε λ.* Sintenis Em. Dion. I 25 *εἴ τινα λ.* ego cf. Meutzner p. 269 20 *ἐγγραφομένοις* c. Cobet Obs. p. 130 *ἦ μὴν* A *ἡμῖν* B *ἱερῶν ἦ μὴν* c. Reiske *ὑμῖν* c. Kiessling 22 *γιγνομένας* B *γενομένας* R

δευμα τῶν ἀνθρωπίνων, μηδ' ὑμεῖς ἀνάσχησθε αὐτοῦ λέγοντος ἀνοσίων καὶ τυραννικῶν ἀνθρώπων πονηρεύματα, ἃ τῆς Ῥωμαίων ἀρετῆς πολὺ ἀπέχει.

LXXXV. Μίαν εἰπὼν ἔτι τὴν οὔτε ἀγνοουμένην ὑπ' οὐδενὸς ἀνθρώπων οὔτε ἀμφισβητουμένην παύσομαι. τίς δ' ἐστὶν αὕτη; ἡ τὸ κοινὸν συμφέρον εἰσάγουσα καὶ δι' ἀλλήλων ἀμφότερα ποιοῦσα σώζεσθαι τὰ μέρη. αὕτη μέντοι πρώτη καὶ μόνη συνάγει τε ἡμᾶς εἰς τὸ αὐτὸ καὶ οὐκ ἐάσει ποτὲ δίχ' ἀλλήλων γενέσθαι. δεήσεται γὰρ ἀεὶ καὶ οὐδέποτε παύσεται
1235 δεόμενον τὸ μὲν ἀμαθὲς πλῆθος ἔμφρονος ἡγεμονίας, τὸ δ' ἡγεῖσθαι δυνάμενον βουλευτήριον τῶν ἄρχεσθαι βουλομένων ὄχλων· καὶ οὐ δόξῃ μόνον τοῦτ' εἰκάσαντες, ἀλλὰ καὶ ἔργῳ πειραθέντες ἴσμεν. τί οὖν δε- 2
διττόμεθα καὶ πράγματα παρέχομεν ἀλλήλοις; τί δὲ λόγους πονηροὺς λέγομεν χρηστὰ πράγματα ἔχοντες ἐν χερσίν, ἀλλ' οὐκ ἀναπτύξαντες αὐτοὺς καὶ τὼ χεῖρε περιβάλλοντες ἀλλήλοις ἄπιμεν εἰς τὴν πατρίδα παλαιὰν τέρψιν τῶν ἡδίστων καὶ πόθον ἁπάντων γλυκύτατον ἀποληψόμενοι, ἀλλ' ἐπιζητοῦμεν ἀσφαλείας ἀγενήτους καὶ πίστεις ἀπίστους, ὥσπερ οἱ πολεμιώτατοι καὶ πάντα ὑποπτεύοντες ἐπὶ τὸ χεῖρον. ἡμῖν μέν, ὦ δημόται, τοῖς ἐκ τοῦ συνεδρίου μία πίστις ἀπόχρη περὶ τοῦ μὴ ἄν ποτε ὑμᾶς γενέσθαι περὶ ἡμᾶς, εἰ κατέλθοιτε, κακοὺς τροφάς τε ὑμῶν ἀγαθὰς εἰδόσι καὶ

1 μηδ'] μήθ' c. Reiske 4 μίαν εἰπὼν ἔτι πίστιν c. Reiske 5 ἀνθρώπου A 6 κοινὸν B κοινῇ c. Kiessling 8 συνάξει c. dubitanter Kiessling 15 καὶ add. B 18 περιβάλλοντες AB περιβαλόντες R | ἀλλήλους AB | παλαιὰν O πάλαι c. Kiessling 21 ἀγενήτους O ἀνηνύτους c. Sintenis Em. Dion. II 28 22 ἡμῖν B ὑμῖν R 24 ἡμᾶς O corr. Sylburg 25 ὑμῶν ἀγαθὰς εἰδόσι O ὑμῖν ἀγαθὰς συνειδόσι Reiske

ἐπιτηδεύματα νόμιμα τήν τε ἄλλην ἀρετήν, ἣν πολλά-
3 κις ἀπεδείξασθε καὶ ἐν εἰρήνῃ καὶ κατὰ πολέμους. καὶ 1236
εἴ τι δι' ἀνάγκην τῆς πίστεως καὶ ἐλπίδος τὰ συμβό-
λαια κοινῆς ἐπανορθώσεως τύχοι, τὰ γοῦν ἄλλα πι-
στεύομεν ὑμῖν ἔσεσθαι ἀγαθοὺς καὶ οὐδὲν δεόμεθα
οὔτε ὅρκων οὔτε ὁμήρων οὔτε ἄλλης πίστεως παρὰ
τοῦ πλήθους οὐδεμιᾶς· ὑμῖν μέντοι γε πρὸς οὐδὲν τῶν
ἀξιουμένων ἐναντιωσόμεθα. καὶ περὶ μὲν τῆς πίστεως,
ἐφ' ᾗ διαβάλλειν ἡμᾶς Βροῦτος ἐπεχείρει, ταῦτα ἱκανά.
εἰ δέ τις ὑμῖν φθόνος οὐ δίκαιος ἐγκάθηται πονηρὰ
περὶ τῆς βουλῆς διανοεῖσθαι πείθων, βούλομαί τινα
καὶ πρὸς τοῦτον εἰπεῖν λόγον, ὦ δημόται· καί μου
πρὸς θεῶν μεθ' ἡσυχίας καὶ προσοχῆς ἀκούσατε.

LXXXVI. Ἔοικέ πως ἀνθρωπείῳ σώματι πόλις.
σύνθετον γὰρ καὶ ἐκ πολλῶν μερῶν ἐστιν ἑκάτερον·
καὶ οὔτε δύναμιν ἔχει ἕκαστον τὴν αὐτὴν τῶν ἐν αὐ-
2 τοῖς μερῶν οὔτε χρείας παρέχεται τὰς ἴσας. εἰ δὴ
λάβοι τὰ μέρη τοῦ ἀνθρωπείου σώματος ἰδίαν αἴσθη-
σιν καθ' αὑτὰ καὶ φωνήν, ἔπειτα στάσις ἐν αὐτοῖς
ἐμπέσοι καθ' ἓν γενομένοις τοῖς ἄλλοις ἅπασι πρὸς 1237
τὴν γαστέρα μόνην, καὶ λέγοιεν οἱ μὲν πόδες, ὅτι πᾶν
ἐπ' αὐτοῖς ἐπίκειται τὸ σῶμα· αἱ δὲ χεῖρες, ὅτι τὰς
τέχνας ἐργάζονται καὶ τἀπιτήδεια ἐκπορίζουσι καὶ μά-
χονται πολεμίοις καὶ ἄλλα πολλὰ ὠφελήματα παρέχου-
σιν εἰς τὸ κοινόν· οἱ δὲ ὦμοι, ὅτι τὰ ἄχθη πάντα ἐπ'

3 εἴ τε AB εἴ τι Reiske | ἐλπίδος τὰ ABb ἐλπι/////στα Ba 5 ἀγαθὰ O ἀγαθοὺς Reiske 8 ἐναντιωθησόμεθα B 9 ἐπεχείρει ABa ἐπιχειρεῖ Bb 15 καὶ del. Cobet Obs. p. 130 18 μέρη] μέλη c. Bücheler 19 ἐπὶ τὰς στάσεις Ba | ἐν del. Garrer Obs. p. 11 23 *τὰ ἐπιτήδεια O

*αὐτοῖς κομίζεται· τὸ δὲ στόμα ὅτι φθέγγεται· ἡ δὲ
κεφαλή, ὅτι ὁρᾷ καὶ ἀκούει καὶ τὰς ἄλλας αἰσθήσεις
περιλαβοῦσα πάσας ἔχει, δι' ὧν σώζεται τὸ πρᾶγμα·
εἶτα φαῖεν πρὸς τὴν γαστέρα· Σὺ δ', ὦ χρηστή, τί
τούτων ποιεῖς ἢ τίς ἐστιν ἡ σὴ χάρις ἡμῖν καὶ ὠφέ-
λεια; ἀλλὰ σύ γε τοσοῦτον ἀπέχεις τοῦ πράττειν καὶ
συγκατορθοῦν ἡμῖν ⟨τι⟩ τῶν κοινῇ χρησίμων, ὥστε
καὶ ἀντιπράττεις καὶ ἐνοχλεῖς καί, πρᾶγμα ἀφόρητον,*
138 *ὑπηρετεῖν ἀναγκάζεις καὶ φέρειν ἀπανταχόθεν εἰς τὴν
ἐκπλήρωσιν τῶν σεαυτῆς ἐπιθυμιῶν. φέρε, τί οὐ με-* 3
*ταποιούμεθα τῆς ἐλευθερίας, καὶ τῶν πολλῶν ἀφιέμεθα
πραγματειῶν, ἃς ἕνεκα ταύτης ὑπομένομεν; εἰ δὴ ταῦτα
δόξειεν αὐτοῖς καὶ μηδὲν ἔτι δρῴη τὸ ἑαυτοῦ ἔργον,
ἔσθ' ὅπως ἂν ἐπὶ τὸ πολὺ διαρκέσαι δυνηθείη τὸ σῶμα,
ἀλλ' οὐκ ἂν ἐντὸς ὀλίγων ἡμερῶν. τῷ κακίστῳ τῶν
μόρων ἀναλωθείη, λιμῷ; οὐκ ἂν ἔχοι ἄλλως τις εἰπεῖν.
τὸν αὐτὸν δὴ τρόπον ὑπολάβετε καὶ περὶ πόλεως. πολλὰ* 4
*γὰρ δὴ τὰ συμπληροῦντα καὶ ταύτην ἔθνη καὶ οὐδὲν
ἀλλήλοις ἐοικότα, ὧν ἕκαστον ἰδίαν τινὰ τῷ κοινῷ
χρείαν ὥσπερ τὰ μέλη τῷ σώματι παρέχεται. οἱ μὲν
γὰρ τοὺς ἀγροὺς γεωργοῦσιν, οἱ δὲ μάχονται περὶ
αὐτῶν πρὸς τοὺς πολεμίους, οἱ δ' ἐμπορεύονται πολ-
λὰς διὰ θαλάσσης ὠφελείας, οἱ δὲ τὰς ἀναγκαίας ἐρ-*
139 *γάζονται τέχνας. εἰ δὲ πάντα τὰ ἔθνη ταῦτα πρὸς*

1 *τὸ δὲ στόμα ὅτι φθέγγεται* in B exstant post *ἀκούει*, del. Kiessling 3 *περιλαβοῦσα* AB | *ἔσχε* ABb *ἔσχεν* Aa | *τὸ πρᾶγμα* quod suo iure def. Reiske O *τὸ σῶμα* vel *τὸ πᾶν* c. Sylburg 7 *τι* ante *τῶν* inserui *τῶν τι* c. Reiske *πράττειν τι καὶ* Cobet Obs. p. 130 9 *ἀναγκάζουσα* O corr. Reiske 14 *ἐπὶ* (*ἐπεὶ* Ba) *τὸ πολὺ* ABa *ἐπὶ πολὺ* Bb 19 *τῶν κοινῶν* B 19 *εἰ δὴ* c. Kiessling

*τὴν βουλὴν τὴν ἐκ τῶν ἀρίστων συνηγμένην διαστασιάσειε καὶ λέγοι· Σὺ δ' ἡμῖν, ὦ βουλή, τί ποιεῖς ἀγαθὸν καὶ ἀντὶ ποίας αἰτίας· ἄρχειν τῶν ἄλλων ἀξιοῖς; οὐθὲν γὰρ ἂν εἰπεῖν ἔχοις· ἔπειτ' οὐκ ἀπαλλαγησόμεθά σου τῆς τυραννίδος ταύτης ἤδη ποτὲ καὶ δίχ'*
5 *ἡγεμόνος οἰκήσομεν; εἰ δὴ ταῦτα διανοηθέντες τῶν συνήθων ἐπιτηδευμάτων ἀποσταῖεν, τί κωλύσει ταύτην κακὴν κακῶς ἀπολέσθαι τὴν πόλιν ὑπὸ λιμοῦ τε καὶ πολέμου καὶ παντὸς ἄλλου κακοῦ; μαθόντες οὖν, ὦ δημόται, ὅτι καθάπερ ἐν τοῖς σώμασιν ἡμῶν ἡ λοιδορουμένη κακῶς ὑπὸ τῶν πολλῶν ⟨γαστὴρ⟩ τρέφει τὸ σῶμα τρεφομένη καὶ σώζει σωζομένη, καὶ ἔστιν ὡσεί τις ἑστίασις κοινὴ τὸ πρόσφορον ἁπάντων καὶ τῆς διαλλαγῆς αἴτιον ἀποδιδοῦσα, οὕτως ἐν ταῖς πόλεσιν ἡ διοικοῦσα τὰ κοινὰ καὶ τοῦ προσήκοντος ἑκάστῳ προνοουμένη βουλὴ πάντα σώζει καὶ φυλάττει καὶ ἐπανορθοῖ, παύσασθε τὰς ἐπιφθόνους κατ' αὐτῆς φωνὰς λέγοντες, ὡς ἐξεβλήθητε τῆς πατρίδος ⟨καὶ⟩ ὡς* 1240 *ἀλῆται καὶ πτωχοὶ περιέρχεσθε δι' αὐτήν. οὐδὲν γὰρ ὑμᾶς εἴργασται δεινὸν οὐδ' ἂν ἐργάσαιτο, ἀλλ' αὐτὴ καλεῖ καὶ ἀντιβολεῖ καὶ τὰς ψυχὰς ὑμῖν ἅμα ταῖς πύλαις ἀναπετάσασα ὑποδέχεται.*

LXXXVII. *Τοιαῦτα λέγοντος τοῦ Μενηνίου πολλαὶ καὶ ποικίλαι παρ' ὅλην ἐγίγνοντο τὴν δημηγορίαν ἐκ τῶν παρόντων φωναί. ἐπειδὴ δὲ τελευτῶν τοῦ λόγου*

1 **συνηγμένην* B *συγκειμένην* R | *διαστήσειε* A *διαστάσαι* Ba 8 *κακηγκακῶς* Bb 11 *ὑπὸ τῶν πολλῶν*] *ὑπὸ τῶν ἄλλων μελῶν* Kayser Ann. phil. 1866 p. 47 | *γαστὴρ* add. Sylburg 13 *ἁπάντων*] *ἅπασι* c. Reiske 14 *διαλλαγῆς* O *διαμονῆς* c. Reiske 18 *καὶ* add. Sylburg 24 *τὴν δημηγορίαν ἐγίγνοντο* O praeter B

πρὸς ὀλοφυρμοὺς ἐτράπετο καὶ τὰς μελλούσας καθέξειν συμφορὰς τούς τε ὑπομένοντας ἐν τῇ πόλει καὶ τοὺς ἀπελαυνομένους καὶ τὰς ἀμφοῖν ἀνεκλαύσατο τύχας, δάκρυά θ' ἁπάντων ἐξεχεῖτο καὶ μιᾷ βοῇ συμφρονήσαντες ἀνεβόησαν ἀπάγειν σφᾶς εἰς τὴν πόλιν καὶ μὴ τρίβειν τὸν χρόνον· ὀλίγου τε πάνυ ἐδέησαν ἀπιέναι διὰ τάχους ἐκ τῆς ἐκκλησίας ἅπαντα τὰ πράγματα τοῖς πρεσβευταῖς ἐπιτρέψαντες καὶ μηδὲν ἄλλο τῶν εἰς
.241 ἀσφάλειαν πραγματευσάμενοι, εἰ μὴ παρελθὼν ὁ Βροῦτος ἐπέσχε τὰς ὁρμὰς αὐτῶν τὰ μὲν ἄλλα καλῶς ἔχειν τῷ δήμῳ λέγων, ὅσα ἡ βουλὴ ὑπισχνεῖτο, καὶ πολλὴν αὐτῇ τῶν συγχωρηθέντων χάριν ἔχειν ἀξιῶν· δεδοικέναι μέντοι τὸν ἅπαντα χρόνον φάσκων καὶ τοὺς αὖθίς ποτε τυραννικοὺς ἄνδρας ἐπιχειρήσοντας εἰ τύχοι,
περὶ τῶν γεγονότων τῷ δήμῳ μνησικακεῖν. μίαν δ' 2
εἶναι πᾶσι τοῖς δεδοικόσι τοὺς κρείττονας μόνην ἀσφάλειαν ταύτην, εἰ γένοιτο αὐτοῖς φανερόν, ὅτι τοῖς βουλομένοις αὐτοὺς ἀδικεῖν οὐχ ὑπάρχει δύναμις· ἕως δ' ἂν παρῇ τὸ δύνασθαι τὰ πονηρὰ δρᾶν, οὐκ ἐλλείψειν τοῖς πονηροῖς τὸ βούλεσθαι. ταύτης οὖν εἰ τύχοιεν
1242 τῆς ἀσφαλείας, οὐθὲν αὐτοῖς ἔτι δεήσειν. ὑποτυχόντος 3
δὲ τοῦ Μενηνίου καὶ κελεύσαντος λέγειν τὴν ἀσφάλειαν, ἧς ἔτι τὸν δῆμον οἴεται δεῖσθαι, Συγχωρήσατε, φησίν, ἡμῖν ἄρχοντας ἀποδεικνύναι καθ' ἕκαστον ἐνιαυτὸν ἐξ ἡμῶν ὁσουσδήτινας, οἵτινες ἄλλου μὲν οὐ-

2 ὑπομενοῦντας AB 4 *τε ἁπάντων O 6 ἀπεῖναι AB corr. Sylburg 14 τὸν ἅπαντα χρόνον O quod def. Casaubonus τὸν εἰςέπειτα χρόνον vel τὸν εἰς ἔπειτα χρόνον c. Stephanus τὸν ἅπαντα τὰ καλὰ μαραίνοντα χρόνον c. Kiessling 19 παρῇ] περιῇ c. dubitanter Kiessling | ἐλλείψει O praeter B 21 δεήσειν Sylburg δεήσει O

δενὸς ἔσονται κύριοι, τοῖς δ᾽ ἀδικουμένοις ἢ κατισχυομένοις τῶν δημοτῶν βοηθήσουσι καὶ οὐ περιόψονται τῶν δικαίων ἀποστερούμενον οὐθένα· τοῦτο ὑμᾶς ἀντιβολοῦμεν καὶ δεόμεθα πρὸς τοῖς ἄλλοις οἷς δεδώκατε, εἰ μὴ λόγος, ἀλλ᾽ ἔργον εἰσὶν αἱ διαλλαγαί, δοῦναι καὶ χαρίσασθαι.

LXXXVIII. Ὁ μὲν οὖν δῆμος ὡς τούτων ἤκουσε, μεγάλῃ βοῇ καὶ μέχρι πολλοῦ κατεχούσῃ τόν τε ἄνδρα ἐπῄνει, καὶ τοὺς πρεσβευτὰς παρεκάλει συγχωρῆσαι σφίσι καὶ τοῦτο. οἱ δὲ πρέσβεις μεταστάντες ἐκ τῆς ἐκκλησίας καὶ διαλεχθέντες ὀλίγα πρὸς ἀλλήλους παρῆσαν οὐ διὰ μακροῦ. σιωπῆς δὲ γενομένης παρελθὼν 1243
ὁ Μενήνιος εἶπε· Τὸ μὲν πρᾶγμα, ὦ δημόται, μέγα καὶ πολλῶν μεστὸν ὑποψιῶν ἀτόπων· δέος τε καὶ φροντὶς ἡμᾶς εἰσέρχεται, μή ποτε δύο πόλεις ποιήσωμεν ἐν μιᾷ· πλὴν τό γ᾽ ἐφ᾽ ἡμῖν εἶναι μέρος οὐδὲ πρὸς ταύ-
2 την ἐναντιούμεθα τὴν δέησιν ὑμῶν. τοῦτο μέντοι χαρίσασθε ἡμῖν, ὃ καὶ ὑπὲρ ὑμῶν ἐστιν· ἐπιτρέψατε τῶν πρεσβευτῶν τισιν εἰς τὴν πόλιν ἀφικομένοις δηλῶσαι τῇ βουλῇ ταῦτα· καὶ γὰρ εἰ τὴν ἐξουσίαν παρ᾽ αὐτῆς ἔχομεν, ὅπως ἂν βουλώμεθα, ποιήσασθαι τὰς διαλλαγὰς αὐτοκράτορες ὄντες τῶν ὑποσχέσεων, αὐτοί γέ τοι λαβεῖν τοῦτ᾽ οὐ δικαιοῦμεν, ἀλλ᾽ ἐπειδὴ παρὰ δόξαν ἡμῖν ἀπήντηται πρᾶγμα καινόν, ἀφελόμενοι τὴν ἰδίαν ἐξουσίαν τῷ συνεδρίῳ φέροντες ἀναθήσομεν· πεπείσμεθα μέντοι κἀκείνῳ ταὐτὰ δόξειν ἅπερ ἡμῖν. ἐγὼ μὲν οὖν ἐνθάδε μενῶ καὶ σὺν ἐμοί τι μέρος τῆς πρεσβείας, Οὐαλέριος δὲ πορεύσεται καὶ οἱ λοιποὶ σὺν

3 ἀποστερόμενον Kiessling 15 ἐκ μιᾶς c. Cobet Obs. *p. 121* 26 ταῦτα O corr. Sylburg 28 πορεύεται B

αὐτῷ. ἐδόκει ταῦτα· καὶ κατὰ σπουδὴν ἀναβάντες ἐπὶ 3
244 τοὺς ἵππους ἤλαυνον εἰς τὴν πόλιν οἱ μέλλοντες δη-
λώσειν τῇ βουλῇ τὰ γενόμενα. προθέντων δὲ τῶν
ὑπάτων λόγον τοῖς συνέδροις, Οὐαλερίου μὲν ἦν γνώμη
διδόναι καὶ ταύτην τῷ δήμῳ τὴν χάριν· Ἄππιος δέ,
ὥσπερ ἐξ ἀρχῆς ἠναντιοῦτο ταῖς διαλλαγαῖς, καὶ τότε
ἐκ τοῦ φανεροῦ ἀντέλεγε βοῶν καὶ θεοὺς ἐπιμαρτυρό-
μενος καί, ὅσων μέλλοι σπέρμα κακῶν βαλεῖν, τῇ πολι-
τείᾳ προλέγων. ἀλλ' οὐκ ἔπειθε τοὺς πολλοὺς ὡρμη-
κότας, ὥσπερ εἶπον, διαλύσασθαι τὴν στάσιν. γίνεται
δὴ ψήφισμα τῆς βουλῆς, τά τε ἄλλα, ὅσα οἱ πρέσβεις
ὑπέσχοντο τῷ δήμῳ, πάντα εἶναι κύρια, καὶ τὴν ἀσφά-
λειαν, ἣν ᾐτεῖτο, ἐπιτρέπειν. ταῦθ' οἱ πρέσβεις διοικη- 4
σάμενοι τῇ κατόπιν ἡμέρᾳ παρῆσαν ἐπὶ τὸ στρατόπεδον
1245 καὶ τὰ δόξαντα τῇ βουλῇ διεσάφησαν. μετὰ τοῦτο
Μενηνίου παραινέσαντος τοῖς δημόταις ἀποστεῖλαί τινας
εἰς τὴν πόλιν, οἷς ἡ βουλὴ τὰ πιστὰ δώσει, πέμπεται
Λεύκιος Ἰούνιος Βροῦτος, ὑπὲρ οὗ πρότερον εἴρηκα,
καὶ σὺν αὐτῷ Μάρκος Δέκιος καὶ Σπόριος Ἰκίλιος.
τῶν δὲ παρὰ τῆς βουλῆς ἀφιγμένων οἱ μὲν ἡμίσεις
ἅμα τοῖς περὶ τὸν Βροῦτον εἰς τὴν πόλιν ὑπέστρεψαν,
Ἀγρίππας δὲ μετὰ τῶν λοιπῶν κατέμεινεν ἐπὶ τοῦ
στρατοπέδου διαγράψαι παρακληθεὶς τὸν νόμον τοῖς
δημοτικοῖς καθ' ὃν ἀποδείξουσι τὰς ἀρχάς.

LXXXVIIII. Τῇ δ' ἑξῆς ἡμέρᾳ παρῆσαν μὲν οἱ περὶ τὸν Βροῦτον πεποιημένοι τὰς πρὸς τὴν βουλὴν συνθήκας διὰ τῶν εἰρηνοδικῶν, οὓς καλοῦσι Ῥωμαῖοι

8 βαλεῖν κακῶν B 9 ἀλλ' ὥσπερ εἶπον AB ὥσπερ εἰκὸς c. Kiessling 17 εἰς τὴν πόλιν οἷς ἡ βουλὴ — δώσει B εἰς τὴν βουλὴν οἷς — δώσει R 19 σπόριοσ σικίλιος O corr. Sylburg

*Φητιάλεις. νεμηθεὶς δ' ὁ δῆμος εἰς τὰς τότε οὔσας*
*φράτρας, ἢ ὅπως βούλεταί τις αὐτὰς προσαγορεύειν,*
*ἃς ἐκεῖνοι καλοῦσι κουρίας, ἄρχοντας ἐνιαυσίους ἀπο-*
*δεικνύουσι τούσδε· Λεύκιον Ἰούνιον Βροῦτον καὶ Γάιον*
*Σικίννιον Βελλοῦτον, οὓς καὶ τέως εἶχον ἡγεμόνας,* 1246
*καὶ ἔτι πρὸς τούτοις Γάιον καὶ Πόπλιον Λικιννίους*
2 *καὶ Γάιον Οὐισκέλλιον Ῥοῦγαν. οὗτοι ⟨τὴν⟩ δημαρχι-*
*κὴν ἐξουσίαν πρῶτοι παρέλαβον οἱ πέντε ἄνδρες ἡμέρᾳ*
*τετάρτῃ πρότερον εἰδῶν Δεκεμβρίων, ὥσπερ καὶ μέχρι*
*τοῦ καθ' ἡμᾶς χρόνου γίνεται. τελεσθεισῶν δὲ τῶν*
*ἀρχαιρεσιῶν τοῖς μὲν παρὰ τῆς βουλῆς ἥκουσι καλῶς*
*ἔχειν ἐδόκει πάντα, περὶ ὧν ἀπεστάλησαν· ὁ δὲ Βροῦ-*
*τος ἐκκλησίαν συναγαγὼν συνεβούλευε τοῖς δημόταις*
*ἱερὰν καὶ ἄσυλον ἀποδεῖξαι τὴν ἀρχὴν νόμῳ τε καὶ* 1247
3 *ὅρκῳ βεβαιώσαντας αὐτῇ τὸ ἀσφαλές. ἐδόκει ταῦτα*
*πᾶσι, καὶ γράφεται πρὸς αὐτοῦ καὶ τῶν συναρχόντων*
*ὅδε ὁ νόμος· δήμαρχον ἄκοντα, ὥσπερ ἕνα τῶν πολ-*
*λῶν, μηδεὶς μηδὲν ἀναγκαζέτω δρᾶν μηδὲ μαστιγούτω*
*μηδ' ἐπιταττέτω μαστιγοῦν ἑτέρῳ μηδ' ἀποκτιννύτω*
*μηδ' ἀποκτείνειν κελευέτω. ἐὰν δέ τις τῶν ἀπηγορευ-*
*μένων τι ποιήσῃ, ἐξάγιστος ἔστω, καὶ τὰ χρήματα αὐ-*
*τοῦ Δήμητρος ἱερά, καὶ ὁ κτείνας τινὰ τῶν ταῦτ'*
4 *εἰργασμένων φόνου καθαρὸς ἔστω. καὶ ἵνα μηδὲ τὸ*

1 *φιτιάλεις* ABb *φητιάλεις* Ba 2 *φρατρ⟨ι⟩ας* Bb 7 *Ἰουσίλλιον* A *Οὐεσιλλίον* B *Οὐισκέλλιον* c. Kiessling | *ῥειουγκα-νου* [illegible] Ba· *ῥιουγανον οὗτοι* Bb *ῥιουγανὸν οὗτοι* A *ῥούγαν* Gelenius | *τὴν* add. Reiske 8 *πέντε*] *πάντες* A 9 *πρὸ τριῶν εἰδῶν* ABb *πρώτερον εἰδῶν* Ba 10 *τελεσθέντων* AB 13 *συνεβούλευσε* B 15 *βεβαιώσαντ⟨ας⟩* B 17 *τῶν πολλῶν* B *τῶν* om. R 18 *μηδένα* B 22 *δήμητρος*] in A cum signo *dubiae lectionis* *δήμη πρὸς*

λοιπὸν τῷ δήμῳ ἐξουσία γένηται καταπαῦσαι τόνδε
1248 τὸν νόμον, ἀλλ' εἰς ἅπαντα τὸν χρόνον ἀκίνητος διαμείνῃ, πάντας ἐτάχθη Ῥωμαίους ὀμόσαι καθ' ἱερῶν ἦ μὴν χρήσεσθαι τῷ νόμῳ καὶ αὐτοὺς καὶ ἐγγόνους τὸν ἀεὶ χρόνον, ἀρά τε τῷ ὅρκῳ προσετέθη, τοῖς μὲν ἐμπεδοῦσι τοὺς θεοὺς τοὺς οὐρανίους ἵλεως εἶναι καὶ δαίμονας τοὺς καταχθονίους, τοῖς δὲ παραβαίνουσιν ἐναντία καὶ τὰ παρὰ θεῶν γίνεσθαι καὶ τὰ παρὰ δαιμόνων ὡς ἄγει τῷ μεγίστῳ ἐνόχοις. ἐκ τούτων κατέστη τοῖς Ῥωμαίοις ἔθος τὰ τῶν δημάρχων σώματα ἱερὰ εἶναι καὶ παναγῆ, καὶ μέχρι τοῦ καθ' ἡμᾶς χρόνου διαμένει.

LXXXX. Ἐπειδὴ ταῦτ' ἐψηφίσαντο, βωμὸν κατεσκεύασαν ἐπὶ τῆς ἀκρωρείας, ἐν ᾗ κατεστρατοπέδευσαν, ὃν ἐπὶ τοῦ κατασχόντος αὐτοὺς τότε δείματος ὠνόμασαν, ὡς ἡ πάτριος αὐτῶν σημαίνει γλῶσσα, Διὸς Δειματίου· ᾧ θυσίας ἐπιτελέσαντες καὶ τὸν ὑποδεξάμενον αὐτοὺς τόπον ἱερὸν ἀνέντες, κατῆεσαν εἰς τὴν πόλιν ἅμα τοῖς πρέσβεσιν. ἀποδόντες δὲ καὶ τοῖς ἐν 2
1249 τῇ πόλει θεοῖς χαριστήρια, καὶ τοὺς πατρικίους πείσαντες ἐπικυρῶσαι τὴν ἀρχὴν ψῆφον ἐπενέγκαντας, ἐπειδὴ καὶ τούτου παρ' αὐτῶν ἔτυχον, ἐδεήθησαν ἔτι τῆς βουλῆς ἐπιτρέψαι σφίσιν ἄνδρας ἐκ τῶν δημοτικῶν δύο καθ' ἕκαστον ἐνιαυτὸν ἀποδεικνύναι τοὺς ὑπηρετήσοντας τοῖς δημάρχοις ὅσων ἂν δέωνται καὶ δίκας, ἃς ἂν ἐπιτρέψωνται ἐκεῖνοι, κρινοῦντας ἱερῶν τε καὶ δημοσίων τόπων καὶ τῆς κατὰ τὴν ἀγορὰν εὐ-

1 καταπαῦσαι] καταλῦσαι Cobet Obs. p. 131 2 πάντα O 3 κα.θιερῶν B | ἦ μὴν ABb ἡμῖν Ba · 4 χρήσασθαι AB | ἐγγόνους ABa ἐκγόνους Bb 12 ἐπεὶ δὴ B ἐπεὶ δὲ R 15 σημ⟨αί⟩νει B in ras. 1 litt. 25 ἐπιτρέψωσιν c. Kayser Ann. phil. 1866 p. 47

3 ετηρίας ἐπιμελησομένους. λαβόντες δὲ καὶ τοῦτο τὸ
συγχώρημα παρὰ τῆς βουλῆς ἀποδεικνύουσιν ἄνδρας,
οὓς ὑπηρέτας τῶν δημάρχων καὶ συνάρχοντας καὶ δι-
καστὰς ἐκάλουν. νῦν μέντοι κατὰ τὴν ἐπιχώριον γλῶτ-
ταν ἀφ' ἑνὸς ὧν πράττουσιν ἔργων ἱερῶν τόπων ἐπι-
μεληταὶ καλοῦνται καὶ τὴν ἐξουσίαν ⟨οὐκέθ'⟩ ὑπηρετικὴν
ἑτέρων ἔχουσιν, ὡς πρότερον, ἐπιτέτραπται δ' αὐτοῖς 1250
πολλὰ καὶ μεγάλα, καὶ σχεδὸν ἐοίκασί πως κατὰ τὰ
πλεῖστα τοῖς παρ' Ἕλλησιν ἀγορανόμοις.

LXXXXI. Ἐπεὶ δὲ κατέστη τὰ πράγματα καὶ τὸν
ἀπ' ἀρχῆς κόσμον ἐκομίσατο ἡ πόλις, ἐπὶ τοὺς ἔξω
πολεμίους ὑπὸ τῶν ἡγεμόνων στρατιὰ κατελέγετο πολ-
λὴν εἰσενεγκαμένου προθυμίαν τοῦ δήμου καὶ δι' ὀλί-
γου χρόνου πάντα τὰ εἰς ⟨τὸν⟩ πόλεμον ἐπιτήδεια
εὐτρεπῆ ποιήσαντος. τῶν δ' ὑπάτων διακληρωσαμένων
περὶ τῆς ἐξουσίας, ὡς ἔστιν αὐτοῖς ἔθος, Σπόριος μὲν
Κάσσιος, ὃς ἔλαχε τὴν τῶν κατὰ τὴν πόλιν ἐπιμέλειαν,
ὑπέμεινε μέρος τῆς κατειλεγμένης δυνάμεως τὸ ἀρκοῦν
λαβών· Πόστουμος δὲ Κομίνιος ἐξῆγε τὴν λοιπὴν
στρατιὰν Ῥωμαίων τ' αὐτῶν ἀξιόχρεων ἄγων μοῖραν
2 καὶ Λατίνων τι συμμαχικὸν οὐκ ὀλίγον. κρίνας δὲ 1251
Οὐολούσκοις ἐπιχειρεῖν πρώτοις πόλιν αὐτῶν Λογγό-
λαν ἐξ ἐφόδου καταλαμβάνεται, ἐπιβαλομένων μὲν τῶν
ἐν αὐτῇ μεταποιεῖσθαί τινος ἀρετῆς καί τινα στρατιὰν
ὑπαίθριον ἀποστειλάντων, ἢ τοὺς ἐπιόντας ἀνείρξειν

4 κατεπιχώριον Ba κατ' ἐπιχώριον Bb 6 οὐκέθ' om. O add. Casaubonus 13 προ.θυμίαν B 14 τὸν add. Kiessling 17 ὃς] ὡς B | τῶν κατὰ τὴν πόλιν om. B τῶν A(?) 18 ἔπεμψε O ὑπέμεινε Reiske 19 ποστούμιος ABb πόστομ.ος Ba 23 ἐπιβαλλομένων B 24 post τινα in B 5—6 *litt. in ras.* 25 ἀπείρξειν c. Bücheler

ἐπίστευον, αἰσχρῶς δ' ἀναγκασθέντων φυγεῖν πρὶν ἢ
λαμπρόν τι ἔργον ἀποδείξασθαι καὶ οὐδ' ἐν τῇ τειχο-
μαχίᾳ γενναῖον οὐδὲν διαπραξαμένων. μιᾷ γοῦν ἡμέρᾳ
τῆς τε γῆς αὐτῶν Ῥωμαῖοι ἐκράτησαν ἀκονιτὶ καὶ τὴν
πόλιν οὐ πολλὰ πραγματευθέντες κατὰ κράτος ἔλαβον.
ὁ δὲ τῶν Ῥωμαίων στρατηγὸς τά τ' ἐγκαταληφθέντα 3
χρήματα διαρπάσαι τοῖς στρατιώταις ἐφεὶς καὶ φρου-
ρὰν ἐν τῇ πόλει καταλιπὼν ἐξῆγε τὴν δύναμιν ἐφ' ἑτέ-
ραν πόλιν τῶν Οὐολούσκων, ἣ καλεῖται μὲν Πόλουσκα,
διάστημα δ' οὐ πολὺ τῆς Λογγόλας ἀπέχει. οὐδενὸς
1252 δ' αὐτῷ τολμήσαντος ὑπαντῆσαι διανύσας τὴν χώραν
κατὰ πολλὴν εὐπέτειαν προσέβαλε τοῖς τείχεσι· τῶν
δὲ στρατιωτῶν οἱ μὲν τὰς πύλας διακόψαντες, οἱ δὲ
διὰ κλιμάκων ἐπὶ τὸ τεῖχος ἀναβάντες, αὐθημερὸν γί-
νονται καὶ ταύτης τῆς πόλεως κύριοι. ὡς δὲ παρέλαβε 4
τὴν πόλιν, ὀλίγους μέν τινας ἐπιλέξας τοὺς αἰτίους
τῆς ἀποστάσεως ἀπέκτεινε, τοὺς δὲ λοιποὺς χρημάτων
ἀφαιρέσει ζημιώσας καὶ ὅπλα ἀφελόμενος, Ῥωμαίων
εἶναι τὸ λοιπὸν ἠνάγκασεν ὑπηκόους.

LXXXXII. Καταλιπὼν δὲ κἀν ταύτῃ βραχεῖαν τῆς
στρατιᾶς μοῖραν ἕνεκα φυλακῆς, τῇ κατόπιν ἡμέρᾳ
τὴν δύναμιν ἀναλαβὼν προῆγεν ἐπὶ Κοριόλαν, πόλιν
ἐπιφανῆ σφόδρα καὶ ὥσπερ ἂν μητρόπολιν τῶν Οὐο-
λούσκων· ἔνθα καὶ δύναμις ἦν συνειλεγμένη καρτερὰ
καὶ τὸ τεῖχος οὐ ῥᾴδιον ἁλῶναι τά τε πρὸς τὸν πόλε-
μον ἐπιτήδεια παρεσκευασμένα τοῖς ἔνδον ἐκ πολλοῦ.

2 ἀποδείξασθαι] δρᾶσαι c. Kayser Ann. phil. 1866 p. 47
3 *ἀποδεξαμένων O διαπραξαμένων ego 6 ἐγκαταλειφθέντα
O corr. Sylburg 7 διὰ πα.σαι Ba 8 κατ//λειπον Ba 9
πολούσκατα AB corr. Sigonius 18 ἀφ⟨αι⟩ρέσει B

ἐπιχειρήσας δὲ τῇ τειχομαχίᾳ μέχρι δείλης ὀψίας ἀποκρούεται πρὸς τῶν ἐναντίων πολλοὺς τῶν οἰκείων ἀπο-
2 λέσας. τῇ δ' ἑξῆς ἡμέρᾳ κριούς τε καὶ γέρρα καὶ κλί-
μακας εὐτρεπισάμενος παρεσκευάζετο μὲν ὡς ἁπάσῃ 1253
τῇ δυνάμει πειρασόμενος τῆς πόλεως, ἀκούσας δ' ὅτι πολλῇ χειρὶ μέλλουσιν Ἀντιᾶται βοηθεῖν τοῖς Κοριολανοῖς κατὰ τὸ συγγενὲς καὶ εἰσὶν οἱ πεμφθέντες ἐν ὁδῷ ἤδη, μερίσας τὸν ἑαυτοῦ στρατὸν τῷ μὲν ἡμίσει τειχομαχεῖν ἔγνω Τῖτον Λάρκιον ἐπ' αὐτοῦ καταλιπών,
3 τῷ δὲ λοιπῷ κωλύειν τοὺς ἐπιόντας διενοεῖτο. καὶ
γίνονται δύο τῆς αὐτῆς ἡμέρας ἀγῶνες· Ῥωμαῖοι δ' ἐνίκων ἁπάντων μὲν προθύμως ἀγωνισαμένων, ἑνὸς δ' ἀνδρὸς ἄπιστον ἀρετὴν καὶ παντὸς λόγου κρείττονας ἀποδειξαμένου πράξεις, ὃς ἦν μὲν ἐκ τοῦ γένους τῶν πατρικίων καὶ οὐκ ἀσήμων πατέρων, ἐκαλεῖτο δὲ Γάιος Μάρκιος, σώφρων δὲ τὸν καθ' ἡμέραν βίον ἀνὴρ καὶ φρονήματος ἐλευθέρου μεστός. ἐγένετο δ' ὁ τρόπος τῆς ἑκατέρας μάχης τοιόσδε· ὁ μὲν Λάρκιος ἐξαγαγὼν
τὴν στρατιὰν ἅμ' ἡμέρᾳ προσῆγε τοῖς τείχεσι τῆς Κο- 1254
ριόλας καὶ κατὰ πολλοὺς τόπους ἐποιεῖτο τὰς προσβολάς· οἱ δὲ Κοριολάνοι μέγα φρονοῦντες ἐπὶ τῇ παρὰ τῶν Ἀντιατῶν βοηθείᾳ, ἣν οὐ διὰ μακροῦ σφίσι παρέσεσθαι ἐπίστευον, ἀνοίξαντες ἁπάσας τὰς πύλας ὥρ-
4 μησαν ἐπὶ τοὺς πολεμίους ἀθρόοι. Ῥωμαῖοι δὲ τὴν
μὲν πρώτην ἔφοδον αὐτῶν ἐδέξαντο καὶ πολλὰς πληγὰς τοῖς ὁμόσε χωροῦσιν ἔδοσαν, ἔπειτα πλειόνων ἐπιόντων ὠθούμενοι κατὰ πρανοῦς χωρίου ἐνέκλιναν.

4 *πάσῃ O 9 καταλειπὼν Ba 11 Ῥωμαῖοι δ' ἀμφοτέρους ἐνίκων c. Reiske 12 *πάντων O 15 γ//αιος B 18 μάρκιος O corr. Sylburg 23 πάσας O

τοῦτο κατιδὼν ὁ Μάρκιος, ὑπὲρ οὗ πρότερον ἔφην,
ἵσταται σὺν ὀλίγοις καὶ δέχεται τὸ ἐπιφερόμενον τῶν
πολεμίων στῖφος· καταβαλὼν δὲ συχνοὺς αὐτῶν, ὡς
ἐνέκλιναν οἱ λοιποὶ καὶ πρὸς τὴν πόλιν ἔφευγον, ἠκο-
λούθει κτείνων ἀεὶ τοὺς ἐν χερσὶ καὶ ἐπικελευόμενος
255 τοῖς φεύγουσι τῶν σφετέρων ἀναστρέφειν τε καὶ θαρ-
ρεῖν καὶ αὐτῷ ἕπεσθαι. οἱ δ' αἰδεσθέντες ἐπὶ τῷ ἔργῳ 5
ἀνέστρεφον αὖθις καὶ τοῖς καθ' ἑαυτοὺς ἐπέκειντο παί-
οντες καὶ διώκοντες, καὶ δι' ὀλίγου χρόνου τοὺς συμπλα-
κέντας ἕκαστοι τρεψάμενοι προσέκειντο τοῖς τείχεσι· καὶ
ὁ Μάρκιος θρασύτερον ἤδη κινδυνεύων προσωτέρω
μᾶλλον ἐχώρει καὶ πρὸς αὐταῖς γενόμενος ταῖς πύλαις
συνεισέπιπτε τοῖς φεύγουσιν εἰς τὸ τεῖχος. συνεισ-
πεσόντων δ' αὐτῷ καὶ ἄλλων συχνῶν κατὰ πολλὰ
μέρη τῆς πόλεως φόνος ἐγίνετο ἐξ ἀμφοῖν πολύς· τῶν
μὲν ἀνὰ τοὺς στενωπούς, τῶν δὲ περὶ ταῖς ἁλισκομέ-
ναις οἰκίαις μαχομένων. συνελάμβανον δὲ τοῦ ἔργου 6
τοῖς ἔνδον καὶ γυναῖκες ἀπὸ τῶν τεγῶν βάλλουσαι
τοὺς πολεμίους τοῖς καλυπτῆρσι, καὶ καθ' ὅσον ἑκάστῳ
τις ἰσχὺς καὶ δύναμις ἦν προθύμως ἐβοήθουν τῇ πα-
256 τρίδι. οὐ μέντοι ἐπὶ πολύν γε χρόνον τοῖς δεινοῖς
ἀντεῖχον, ἀλλ' ἠναγκάσθησαν παραδιδόναι σφᾶς αὐτοὺς
τοῖς κεκρατηκόσι. τοῦτον δὲ τὸν τρόπον ἁλούσης τῆς
πόλεως οἱ μὲν ἄλλοι Ῥωμαῖοι πρὸς ἁρπαγὴν τῶν ἐγκα-
ταληφθέντων ἐτράποντο καὶ μέχρι πολλοῦ διετέλουν

6 φεύγουσι τῶν B φεύγουσιν ἀεὶ τῶν R 9 τοὺς καθ' ἑαυτοὺς A 13 συνειςπίπτει B 15 ἐγίνετο B ἐγένετο R | ἀμφοῖν] ἀμφοτέρων c. Garrer Obs. p. 48 18 καὶ αἱ γυναῖκες B | τεγῶν AB στεγῶν R 19 ἑκάστοις ἰσχὺς c. Bücheler 21 γε add. B 24 ἐγκαταλειφθέντων O corr. Sylburg

προσκείμενοι ταῖς ὠφελείαις χρημάτων τε πολλῶν ὑπαρχόντων ἐν τῷ χωρίῳ καὶ ἀνδραπόδων,

LXXXIII. Ὁ δὲ Μάρκιος ὁ πρῶτος καὶ πρὸ ⟨πολλῶν⟩ ὑποστὰς τοὺς πολεμίους καὶ λαμπρότατος ἁπάντων γενόμενος Ῥωμαίων ἔν τε τῇ τειχομαχίᾳ καὶ τοῖς ἐντὸς τείχους ἀγῶσι, λαμπρότερος ἐν τῷ δευτέρῳ ἀγῶνι τῷ πρὸς τοὺς Ἀντιάτας συστάντι ἐφάνη. οὐδὲ γὰρ ταύτης ἐδικαίωσεν ἀπολειφθῆναι τῆς μάχης, ἀλλ' ἅμα τῷ κρατηθῆναι τὴν πόλιν ὀλίγους τοὺς ἀκολουθῆσαι δυνηθέντας ἐπαγόμενος ἐχώρει δρόμῳ, καὶ καταλαβὼν παρατεταγμένας ἤδη τὰς δυνάμεις καὶ μελλούσας εἰς χεῖρας ἰέναι, τήν τε ἅλωσιν τῆς πόλεως πρῶτος ἀναγγέλλει 1257 τοῖς σφετέροις, τεκμήριον αὐτῆς ἀποδεικνὺς τὸν καπνόν, ὃς ἀπὸ τῶν ἐμπρησθεισῶν οἰκιῶν πολὺς ἐφέρετο, καὶ δεηθεὶς τοῦ ὑπάτου κατὰ τὸ καρτερώτατον
2 τῶν πολεμίων εἵλεῖτο. καὶ ἐπειδὴ τὰ σημεῖα ἤρθη τῆς μάχης, πρῶτος ὁμόσε τοῖς ἐναντίοις ἐχώρει καὶ πολλοὺς τῶν εἰς χεῖρας ἐλθόντων ἀποκτείνας εἰς μέσην αὐτῶν τὴν φάλαγγα ὠθεῖται. οἱ δ' Ἀντιάται συστάδην μὲν οὐκέτι μάχεσθαι πρὸς αὐτὸν ὑπέμενον, ἀλλ' ἐξέλειπον τὰς τάξεις καθ' οὓς γένοιτο ἐπιών, κύκλῳ δὲ περιίσταντο ἀθρόοι καὶ ἔβαλλον ὑποχωροῦντες ἐπιόντα τε καὶ ἑπόμενον. ὁ δὲ Πόστουμος ὡς ἔγνω

1 ταῖς λείαις c. Kayser Ann. phil. 1866 p. 47 | τε add. B 2 ἐν τῷ χωρίῳ om. O praeter B 3 *καὶ προυποστὰς O καὶ μόνος ὑποστὰς c. Reiske καὶ πρῶτος καὶ πρότερον ὑποστὰς c. Meutzner p. 271 καὶ πρὸ πολλῶν ὑποστὰς c. ego 4 λαμπρότερος ἔτι ἐν c. Kiessling 6 τῷ add. B 7 τῷ πρὸς τοὺς Ἀντιάτας συστάντι B τῷ συστάντι π. τ. Ἀ. R 16 ἐλίττει A ἔλιττε Ba εἵλεῖτο Bb 21 ἐγ⟨ι⟩νετο B 22 ὑποχωροῦντες.. (εσ ut videtur) ἐπι...οντα B τε add. Bb 23 ἑπόμενον ABb ἑπομενο////ν Ba ἑπόμενοι c. Reiske | ποστούμιος O

τοῦτο, δείσας μή τι μονωθεὶς ὁ ἀνὴρ πάθῃ, τοὺς κρατίστους τῶν νέων ἀρωγοὺς αὐτῷ πέμπει· κἀκεῖνοι ποιήσαντες πυκνοὺς τοὺς λόχους ἐμβάλλουσι τοῖς πολεμίοις. οὐ δεξαμένων δ' αὐτοὺς τῶν κατὰ μέτωπον, ἀλλ' εἰς φυγὴν τραπέντων, προσωτέρω προχωροῦντες εὑρίσκουσι τὸν Μάρκιον τραυμάτων μεστὸν καὶ περὶ
1258 αὐτὸν ὁρῶσι νεκρούς τε κειμένους πολλοὺς καὶ ἡμιθανεῖς. μετὰ τοῦτ' ἤδη κοινῶς ἐχώρουν ἡγεμόνα τὸν 3
Μάρκιον ἔχοντες ἐπὶ τοὺς ἔτι διαμένοντας ἐν τάξει, κτείνοντες τοὺς ὑφισταμένους καὶ ὥσπερ ἀνδραπόδοις παραχρώμενοι. ἄξιοι μὲν δὴ λόγου καὶ οἱ ἄλλοι Ῥωμαῖοι ἐν ταύτῃ τῇ μάχῃ ἐγένοντο, κράτιστοι δ' αὐτῶν οἱ προασπίσαντες τὸν Μάρκιον· ὑπὲρ ἅπαντας δ' αὐτὸς ὁ Μάρκιος, ὃς καὶ τῆς νίκης ἀναμφιλόγως αἰτιώτατος ἦν. ἐπεὶ δὲ συνεσκόταζεν ἤδη, οἱ μὲν Ῥωμαῖοι ἀνεχώρουν ἐπὶ τὸ στρατόπεδον μέγα ἐπὶ τῇ νίκῃ φρονοῦντες καὶ πολλοὺς μὲν ἀνῃρηκότες τῶν Ἀντιατῶν, πολλοὺς δ' αἰχμαλώτους ἄγοντες.

LXXXXIIII. Τῇ δ' ἑξῆς ἡμέρᾳ συγκαλέσας ὁ Πόστουμος εἰς ἐκκλησίαν τὸν στρατὸν ἔπαινον τοῦ Μαρκίου διεξῆλθε πολὺν καὶ στεφάνοις αὐτὸν ἀριστείοις ἀνέδησεν ἀμφοτέρων χαριστήρια τῶν ἀγώνων ἀποδιδούς. ἐδωρήσατο δ' αὐτὸν ἵππῳ πολεμιστῇ στρατηγικοῖς
1259 ἐπισήμοις κεκοσμημένῳ καὶ δέκα σώμασιν αἰχμαλώτοις, ἐπ' ἐκείνῳ ποιήσας, οὓς βούλοιτο λαβεῖν, ἀργυρίῳ τε,

2 *καὶ ἐκεῖνοι O  5 ὑποχωροῦντες O  χωροῦντες c. Sylburg  προχωροῦντες c. Portus  7 ἡμιθανεῖς O  ἡμιθνῆτας c. Smit Obs. p. 31  10 ἀνδραπόδοις in susp. vocat Smit Obs. p. 31  11 οἱ add. B  12 ἐν τῇ μάχῃ ταύτῃ B  13 αὐτοὺς O corr. Sylburg  14 ἀναμφιβόλως ἀναμφιβόλως Bb  18 ⟨αἰ⟩χμαλώτους Bb  19 ποστόμιος Ba  ποστούμιος ABb

ὅσον ἂν ἐξενέγκασθαι δύναιτο αὐτός, καὶ ἀπὸ τῆς ἄλ-
2 λης λείας πολλαῖς καὶ καλαῖς ἀπαρχαῖς. βοῆς δὲ γε-
νομένης ἐξ ἁπάντων μεγάλης, ὡς ἂν ἐπαινούντων τε
καὶ συνηδομένων, προσελθὼν ὁ Μάρκιος τῷ τε ὑπάτῳ
χάριν εἰδέναι μεγάλην ἔφη καὶ τοῖς ἄλλοις ἅπασιν ἐπὶ
ταῖς τιμαῖς, ὧν αὐτὸν ἠξίουν· οὐ μέντοι καταχρήσε-
σθαί γ' αὐταῖς, ἀρκεσθήσεσθαι δὲ τῷ θ' ἵππῳ τῆς
λαμπρότητος τῶν σημείων ἕνεκεν καὶ ἑνὶ αἰχμαλώτῳ,
ὃς ἔτυχεν αὐτῷ ξένος ὤν. οἱ δὲ στρατιῶται καὶ πρό-
τερον ἀγάμενοι τὸν ἄνδρα τῆς γενναιότητος, ἔτι μᾶλ-
λον ἐθαύμασαν. τῆς ὑπεροψίας τοῦ πλούτου καὶ ὅτι
μετρίως ἤνεγκε τὴν τοσαύτην εὐτυχίαν. ἐκ τούτου
Κοριολανὸς ἐπεκλήθη τοῦ ἔργου, καὶ πάντων ἐγεγόνει
3 τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν ἐπιφανέστατος. τῆς δὲ
πρὸς τοὺς Ἀντιάτας μάχης τοῦτο λαβούσης τὸ τέλος
αἱ λοιπαὶ τῶν Οὐολούσκων πόλεις διελύοντο τὴν πρὸς 1260
τοὺς Ῥωμαίους ἔχθραν, καὶ ὅσοι τὰ ὅμοια ἐκείνοις
ἐφρόνουν, οἵ τ' ἐν τοῖς ὅπλοις ἤδη ὄντες, καὶ οἱ παρα-
σκευαζόμενοι τὸν πόλεμον ἐπέπαυντο. οἷς ἅπασιν ὁ
Πόστουμος ἐπιεικῶς χρησάμενος, ἀνέστρεψεν ἐπὶ τὰ
οἰκεῖα, καὶ διαφῆκε τὴν στρατιάν. Κάσσιος δ' ὁ ἕτερος
τῶν ὑπάτων ὁ καταλειφθεὶς ἐν τῇ Ῥώμῃ τὸν νεὼν
τῆς τε Δήμητρος καὶ Διονύσου καὶ Κόρης ἐν τῷ μεταξὺ
χρόνῳ καθιέρωσεν, ὅς ἐστιν ἐπὶ τοῖς τέρμασι τοῦ με-
γίστου τῶν ἱπποδρόμων ὑπὲρ αὐτὰς ἱδρυμένος τὰς
ἀφέσεις, εὐξαμένου μὲν αὐτὸν Αὔλου Ποστουμίου τοῦ

2 πολλαῖς καὶ add. B 3 ὡς συνεπαινούντων c. Sylburg 4 ⟨τε⟩ Bb in ras. 2 litt. 5 μεγάλην add. B 6 καταχρήσασθαι AB 20 ποστόμιος Ba ποστούμιος ABb 26 ποστομίου Ba ποστουμίου ABb

δικτάτορος ὑπὲρ τῆς πόλεως ἀναθήσειν τοῖς θεοῖς, καθ' ὃν χρόνον ἔμελλεν ἀγωνίζεσθαι πρὸς τὴν Λατίνων στρατιάν, τῆς τε βουλῆς μετὰ τὸ νίκημα τὴν κατασκευὴν αὐτοῦ ψηφισαμένης ἐκ τῶν λαφύρων ποιήσασθαι πᾶσαν, τότε δὲ τοῦ ἔργου λαβόντος τὴν συντέλειαν.

LXXXXV. Ἐγένοντο δ' ἐν τῷ αὐτῷ χρόνῳ καὶ
261πρὸς τὰς τῶν Λατίνων πόλεις ἁπάσας συνθῆκαι και-
ναὶ μεθ' ὅρκων ὑπὲρ εἰρήνης καὶ φιλίας, ἐπειδὴ παρα-
κινῆσαί τ' οὐδὲν ἐπεχείρησαν ἐν τῇ στάσει, καὶ συνη-
δόμενοι τῇ καθόδῳ τοῦ δήμου φανεροὶ ἦσαν, τοῦ τε
πολέμου τοῦ πρὸς τοὺς ἀποστάντας ἑτοίμως ἐδόκουν
συνάρασθαι. ἦν δὲ τὰ γραφέντα ἐν ταῖς συνθήκαις 2
τοιάδε· Ῥωμαίοις καὶ ταῖς Λατίνων πόλεσιν ἁπάσαις
εἰρήνη πρὸς ἀλλήλους ἔστω, μέχρις ἂν οὐρανός τε καὶ
γῆ τὴν αὐτὴν στάσιν ἔχωσι· καὶ μήτ' αὐτοὶ πολεμεί-
τωσαν πρὸς ἀλλήλους μήτ' ἄλλοθεν πολέμους ἐπαγέ-
τωσαν, μήτε τοῖς ἐπιφέρουσι πόλεμον ὁδοὺς παρεχέ-
τωσαν ἀσφαλεῖς βοηθείτωσάν τε τοῖς πολεμουμένοις
ἁπάσῃ δυνάμει, λαφύρων τε καὶ λείας τῆς ἐκ πολέμων
κοινῶν τὸ ἴσον λαγχανέτωσαν μέρος ἑκάτεροι· τῶν τ'
ἰδιωτικῶν συμβολαίων αἱ κρίσεις ἐν ἡμέραις γιγνέσθω-
σαν δέκα, παρ' οἷς ἂν γένηται τὸ συμβόλαιον. ταῖς
δὲ συνθήκαις ταύταις μηδὲν ἐξέστω προσθεῖναι μηδ'
ἀφελεῖν ἀπ' αὐτῶν, ὅ τι ἂν μὴ Ῥωμαίοις τε καὶ Λα-
262τίνοις ἅπασι δοκῇ. ταῦτα μὲν δὴ Ῥωμαῖοί τε καὶ Λα- 3

4 ψηφησαμένης B 9 παρακινῆσ⟨αί τε⟩ B in ras. 3—4 litt. 11 φανεροὶ ἦσαν τοῦ τε πολέμου om. A 18 *πολεμίους O correxi 22 γινέσθωσαν B · 24 ἐξεστ///ω B 26 ἅπασι usque ad Λατῖνοι in mge add. Bb superscript. κείμενον | δοκεῖ B

τῖνοι συνέθηκαν πρὸς ἀλλήλους ὀμόσαντες καθ' ἱερῶν. ἐψηφίσατο δὲ καὶ θυσίας ἀποδοῦναι τοῖς θεοῖς ἡ βουλὴ χαριστηρίους ἐπὶ ταῖς πρὸς τὸν δῆμον διαλλαγαῖς, προσθεῖσα μίαν ἡμέραν ταῖς καλουμέναις Λατίναις ἑορταῖς δυσὶν οὔσαις, τὴν μὲν πρώτην ἀνιερώσαντος βασιλέως Ταρκυνίου, καθ' ὃν χρόνον ἐνίκησε Τυρρηνούς· τὴν δ' ἑτέραν τοῦ δήμου προσθέντος, ὅτε τοὺς βασιλεῖς ἐκβαλὼν ἐλευθέραν ἐποίησε τὴν πόλιν· αἷς ἡ τρίτη τότε προσενεμήθη τῆς καθόδου τῶν ἀποστάν-
4 των ἕνεκα. τὴν δὲ προστασίαν καὶ τὴν ἐπιμέλειαν τῶν ἐν αὐταῖς γινομένων θυσιῶν τε καὶ ἀγώνων οἱ τῶν δημάρχων ὑπηρέται παρέλαβον, οἱ τὴν νῦν ἀγορανομικὴν ἔχοντες ἐξουσίαν, ὥσπερ ἔφην, κοσμηθέντες ὑπὸ τῆς βουλῆς πορφύρᾳ καὶ θρόνῳ ἐλεφαντίνῳ καὶ τοῖς ἄλλοις ἐπισήμοις, οἷς εἶχον οἱ βασιλεῖς.

LXXXVI. Οὐ πολλῷ δ' ὕστερον χρόνῳ τῆς ἑορ- 1263
τῆς τῶν ὑπατικῶν εἷς Μενήνιος Ἀγρίππας ἐτελεύτησε τὸν βίον, ὁ νικήσας Σαβίνους καὶ τὸν ἐξ αὐτῶν θρίαμβον ἐπιφανέστατον καταγαγών, ᾧ πεισθεῖσα ἡ βουλὴ τὴν κάθοδον ἐπέτρεψε τοῖς φυγάσι, καὶ ὁ δῆμος πιστεύσας ἀπέστη τῶν ὅπλων· καὶ αὐτὸν ἔθαψεν ἡ πόλις δημοσίᾳ καὶ καλλίστῃ πάντων ἀνθρώπων καὶ λαμπροτάτῃ ταφῇ. οὐσία γὰρ οὐκ ἦν τῷ ἀνδρὶ εἰς μεγαλοπρέπειαν ἐκκομιδῆς καὶ ταφῆς ἀποχρῶσα· ὥστε

1 συνεθήκαντο c. Reiske 4 ταῖς τῆς καλουμένης Λατίνης ἑορτῆς vel ταῖς τῶν καλουμένων Λατίνων ἑορτῶν c. Sylburg 5 καὶ τὴν μὲν — ἀνιερώσαντο A 6 ἐνίκησαν O corr. Portus 9 τότε add. B 14 θρόνοις ἐλεφαντίνοις B 17 τῶν ὑπάτων A 18 ἐπ' O ἐξ Kiessling 19 ἀγαγὼν O καταγαγὼν Kiessling Pr. Bas. p. 5

καὶ τοῖς ἐπιτρόποις αὐτοῦ τῶν παίδων βουλευομένοις
ἔδοξεν ὡς ἕνα τῶν πολλῶν εὐτελῶς ἐκκομίσαι τε καὶ
θάψαι. οὐ μέντοι γε ὁ δῆμος εἴασεν, ἀλλὰ συναγαγόν- 2
τες οἱ δήμαρχοι τὸ πλῆθος εἰς ἐκκλησίαν καὶ πολλὰ
διελθόντες ἐγκώμια τῶν τε κατὰ πόλεμον ἔργων τοῦ
ἀνδρὸς καὶ τῶν πολιτικῶν, τήν τε σωφροσύνην αὐτοῦ
καὶ τὴν λιτότητα τοῦ βίου, μάλιστα δὲ τὴν εἰς χρη-
1264 ματισμὸν ἐγκράτειαν ἐπὶ μήκιστον ἄραντες τοῖς ἐπαί-
νοις, αἴσχιστον ἔφησαν εἶναι τῶν πραγμάτων ἄνδρα
τηλικοῦτον ἀσήμου καὶ ταπεινῆς κηδείας τυχεῖν διὰ
πενίαν· παρῄνεσάν τε τῷ δήμῳ τὴν δαπάνην ἀναδέ-
ξασθαι, καὶ συνεισενεγκεῖν κατ' ἄνδρα, ὅσον ἂν αὐτοὶ
τάξωσι. τοῖς δ' ἀκούσασιν ἄσμενον ἐγένετο, καὶ αὐτίκα 3
φέροντος ἑκάστου τὸ ταχθὲν πολύ τι χρῆμα συνήχθη
διαφόρου. μαθοῦσα δὲ τοῦθ' ἡ βουλὴ δι' αἰσχύνης
τὸ πρᾶγμα ἔλαβε καὶ ἔκρινε μὴ κατ' ἄνδρα ἐρανισμῷ
τὸν ἐπιφανέστατον Ῥωμαίων περιιδεῖν θαπτόμενον,
ἀλλ' ἐκ τῶν δημοσίων ἐδικαίωσε τὸ ἀνάλωμα γενέσθαι
τοῖς ταμίαις ἐπιτρέψασα τὴν ἐπιμέλειαν. οἱ δὲ πολλῶν
πάνυ μισθώσαντες χρημάτων τὰς παροχὰς κόσμῳ τε
πολυτελεστάτῳ κοσμήσαντες αὐτοῦ τὸ σῶμα καὶ πάντα
τὰ λοιπὰ ἐπιχορηγήσαντες εἰς μεγαλοπρέπειαν ἔθαψαν
αὐτὸν ἀξίως τῆς ἀρετῆς. ἀντιφιλοτιμούμενος δ' ὁ 4
δῆμος πρὸς τὴν βουλὴν οὐδ' αὐτὸς ἠξίωσε τὸ συν-
1265 εισενεχθὲν διάφορον ἀποδιδόντων τῶν ταμιῶν ἀπο-
λαβεῖν, ἀλλ' ἐχαρίσατο τοῖς παισὶ τοῦ ἀνδρὸς οἰκτεί-
ρων τὴν ἀπορίαν, ἵνα μηδὲν ἀνάξιον ἐπιτηδεύσωσι

2 ἐκκομισ⟨αι τε⟩ B in ras. 3—4 litt. 13 ἀσμένοις c. Cobet Obs. p. 132 15 διαφόρου add. B | δὲ om. B 16 ἐρανισμοῦ AB 24 κατενεχθὲν B

τΐνοι σιν
ἐψηφίσα
χαριστη
προσθ
ἑορται
βασιλ
τοὺς
μο
ημι
ιω

... ντο δὲ καὶ τίμησις ἐν
... ἐξ ἧς εὑρέθησαν
... τιμησάμεναι. καὶ
... πραχθέντα Ῥωμαίοις

τῆς τοῦ πατρὸς ἀρετῆς. ἐγένετο δὲ καὶ τίμησις ἐν τῷ χρόνῳ τούτῳ διὰ τῶν ὑπάτων· ἐξ ἧς εὑρέθησαν ὑπὲρ ἕνδεκα πάντων μυριάδες αἵ τιμησάμεναι. καὶ τὰ μὲν ἐπὶ τῆς τούτων ὑπατείας πραχθέντα Ῥωμαίοις ταῦτ' ἦν.

3 πάντων] πολιτῶν c. Sylburg

---

# CORRIGENDA.

p. 27, 14 lege *γειτόνων*
p. 49, 20 aliisque locis *σφίσι*
p. 130, 26 *δεήσεις*
p. 191, 14 not. *καλούμενος* A
p. 192, 7 *ληιζομένους*
p. 233, 22 *ἐμποδὼν*
p. 260, 24 *τινες*
p. 282, 20 *πταῖσμα*
p. 294, 24 not. corruptum esse et — latere videtur
p. 339, 17 *τί*
p. 341, 2 *αὐτοῖς*
p. 341, 3 *τοῦτό γε τοι*

Stanford University Libraries
3 6105 124 429 213

404
D6
1885
V.2

NOV 1993

STANFORD UNIVERSITY LIBRARY